umbras, ad Styga Taenaria est ausus descendere porta perque leves populos simulacraque functa sepulcro Persephonen adiit inamoenaque regna tenentem umbrarum dominum pulsisque ad carmina nervis sic ait . . . 40 talia dicentem nervosque ad verba moventem exsangues flebant animae; nec Tantalus undam captavit refugam, stupuitque Ixionis orbis, nec carpsere iecur volucres, urnisque vacarunt Belides, inque tuo sedisti, Sisyphe, saxo. tunc primum lacrimis victarum carmine fama est Eumenidum maduisse genas, nec regia coniunx sustinet oranti nec, qui regit ima, negare, Eurydicenque vocant: umbras erat illa recentes inter et incessit passu de vulnere tardo. Alia congessit Gruppe ap. Rosch. III 1160.

73. Serv. Verg. Georg. IV 492 *quasi exultarent umbrae reditu Eurydices. Lucanus in Orpheo* (fr. 4 Hos.) *dicit factum strepitum redeunte Eurydice ob hoc, quia 'gaudent a luce relictam* (*reductam* Burm.) *Eurydicen iterum sperantes Orphea manes'.*

74. Ovid. Metam. X 72 *orantem frustraque iterum transire volentem portitor arcuerat: septem tamen ille diebus squalidus in ripa Cereris sine munere sedit; cura dolorque animi lacrimaeque alimenta fuere. esse deos Erebi crudeles questus, in altam se recipit Rhodopen pulsumque aquilonibus Haemum.*

75. Vergil. Georg. IV 507 de Orpheo ex inferis reverso *septem illum totos perhibent ex ordine menses rupe sub aëria deserti ad Strymonis undam flevisse et gelidis haec evolvisse sub antris mulcentem tigris et agentem carmine quercus.*

Veneris contemptor.

76. Vergil. Georg. IV 516 *nulla Venus, non ulli animum flexere hymenaei,* unde mythogr. Vaticanus I 76 (nr. 65) *reversus deinde ad superos, qui parum prosperas expertus erat nuptias, perosus omne genus femineum, solitudinibus se dedit.* Ovid. Metam. X 78 *Tertius aequoreis inclusum Piscibus annum finierat Titan, omnemque refugerat O. femineam Venerem, seu quod male cesserat illi, sive fidem dederat; multas tamen ardor habebat iungere se vati, multae doluere repulsae* v. sequentia nr. 77. Hygin. Astron. VII 2 nr. 77; v. etiam Plato Respubl. X 620 a nr. 139.

Amor puerorum.

77. Phanocl. ap. Stob. Eclog. IV 20, 47 (IV 461, 3 Hense) Anthol. lyr. ed. Bergk[2] p. 165 fr. 1: *Ἢ ὡς Οἰάγροιο πάϊς Θρηΐκιος*

Ὀ. ἐκ θυμοῦ Κάλαϊν στέρξε Βορηϊάδην, πολλάκι δὲ σκιεροῖσιν ἐν ἄλσεσιν ἕζετ' ἀείδων ὃν πόθον, οὐδ' ἦν οἱ θυμὸς ἐν ἡσυχίηι, ἀλλ' αἰεί μιν ἄγρυπνοι ὑπὸ ψυχῆι μελεδῶναι ἔτρυχον, θαλερὸν δερκομένου Κάλαϊν. τὸν μὲν Βιστονίδες κακομήχανοι ἀμφιχυθεῖσαι ἔκτανον εὐήκη φάσγανα θηξάμεναι, οὕνεκα πρῶτος ἔδειξεν ἐνὶ Θρήικεσσιν ἔρωτας ἄρρενας, οὐδὲ πόθους ἤινεσε θηλυτέρων. τοῦ δ' ἀπὸ μὲν κεφαλὴν χαλκῶι τάμον, αὐτίκα δ' αὐτὴν εἰς ἅλα Θρηϊκίην ῥῖψαν ὁμοῦ χέλυϊ ἥλωι καρτύνασαι, ἵν' ἐμφορέοιντο θαλάσσηι ἄμφω ἅμα, γλαυκοῖς τεγγόμεναι ῥοθίοις. τὰς δ' ἱερῆι Λέσβωι πολιὴ ἐπέκελσε θάλασσα· ἠχὴ δ' ὣς λιγυρῆς πόντον ἐπέσχε λύρης, νήσους τ' αἰγιαλούς θ' ἁλιμυρέας, ἔνθα λιγεῖαν ἀνέρες Ὀρφείην ἐκτέρισαν κεφαλήν. ἐν δὲ χέλυν τύμβωι λιγυρὴν θέσαν, ἣ καὶ ἀναύδους πέτρας καὶ Φόρκου στυγνὸν ἔπειθεν ὕδωρ. ἐκ κείνου μολπαί τε καὶ ἱμερτὴ κιθαριστὺς νῆσον ἔχει, πασέων δ' ἐστὶν ἀοιδοτάτη. Θρῆικες δ' ὡς ἐδάησαν ἀρήϊοι ἔργα γυναικῶν ἄγρια, καὶ πάντας δεινὸν ἐσῆλθεν ἄχος, ἃς ἀλόχους ἔστιζον, ἵν' ἐν χροῒ σήματ' ἔχουσαι κυάνεα στυγεροῦ μὴ λελάθοιντο φόνου. ποινὰς δ' Ὀρφῆϊ κταμένωι στίζουσι γυναῖκας εἰς ἔτι νῦν κείνης εἵνεκεν ἀμπλακίης.

1 *θρηϊκίου* codd., corr. A^2. 4 *οὐδέ οἱ ἦν* Herm. Orph. p. 785. 8 *εὐ μήκη* Tr. 9 *πρῶτος ἔδειξεν* Nauck Mél. gréco-rom. IV 1879, 497 n.] *πρῶτον* (*πρῶτος* A^2) *δεῖξεν* codd.; *πρῶτον ἔδειξεν* Gesn.[1]. 11 *αὐτὴν* Gesn.[1] marg., inde A^2] *υπῆν* S, *ὑπῆν* M, *ἀπῆν* A^1. 20 *ἔπειθεν* codd. praeter *ἔπυθεν* Tr.] *ἔπεισεν* (cf. Lob. Agl. II 865) Bergk l. l. p. XIX. 23 *ἀρήϊα* Tr. 25 *ἃς δ'* vel *ἃς τ' ἀλόχ.* Bergk 26 *πόνου* A. 27 *στίζουσι* S] *στίξουσι* MA.

Phanoclem sequitur Ovidius Metam. X 83 (nr. 76) *ille etiam Thracum populis fuit auctor amorem in teneros transferre mares citraque iuventam aetatis breve ver et primos carpere flores*; Preller *Rhein. Mus.* IV 1845, 402 = *Ausgew. Aufs.* 373; R. Heinze *Ber. Sächs. Ges. Wiss.* LXXI 1919, 90. Hygin. Astron. II 7 *nonnulli aiunt, quod O. primus puerilem amorem induxerit, mulieribus visum contumeliam fecisse; hac re ab his interfectum* (*DGN*] *fecisse illis ab hac re interfectum* vulgo). Philargyr. in Verg. Georg. IV 520 (II 346 Lion) *O. autem quoniam post obitum Eurydices omnes feminas fastidiit, translato in pueros amore, discerptus est.* Ad v. 25 v. Plutarch. De sera num. vind. 12 p. 557 d *οὐδὲ γὰρ Θρᾷκας ἐπαινοῦμεν ὅτι στίζουσιν ἄχρι νῦν, τιμωροῦντες Ὀρφεῖ, τὰς αὐτῶν γυναῖκας.*

Contra Apollon Orphei *ἐραστής* Apion ap. Clem. Rom. Hom. V 15 cf. Wilamowitzii Comment. grammat. II 1879, 14, qui hoc ex Pindari de Orpheo loco (nr. 58) ortum esse iure opinatur.

Argonauta.

78. Antiquissimus testis thesauri quem dicunt Sicyoniorum Delphici metopa, in qua O. (*Ορφας*) et Philammon (.*ΕΠΛΜ*? emendavit Robert *Heldens.* I 416 n. 6) lyras manu tenentes inter Argonautas stant v. nr. 1. Pindar. Pyth. IV1 76 v. nr. 58. Eurip. Hypsipyl. fr. I col. 3 v. 8 (de Arnim *Suppl. Euripid.* 51): *μέσσωι δὲ παρ' ἱστῶι Ἀσιὰς ἔλεγον ἰήϊον Θρῆισσ' ἐβόα κίθαρις Ὀρφέως μακροπόλων πιτύλων ἐρέτηισι κελεύσματα μελπομένα, τότε μὲν ταχύπλοον τότε δ' εἰλατίνας ἀνάπαυμα πλάτας.*

9 *ἔλεγεν* pap., corr. Wilamowitz. 11 *μακροπόλων* pap., *μακροπόδων* Wilam., *μακροπόνων* Wecklein. 12 *μελπομεναν* pap., corr. Hunt. Versus Euripideos imitatur Statius Theb. V 343 ss; v. A. Reußner De Statio et Euripide diss. Halens. 1921, 40.

79. Eurip. Hypsipyl. fr. LXIV col. 2 v. 35 ss. (de Arnim 66): *Εὔνεως· Ἀργώ με καὶ τόνδ' ἤγαγ' εἰς Κόλχων πόλιν. Ὑψιπύλη· ἀπομαστίδιον γ' ἐμῶν στέρνων. Εὔν.· ἐπεὶ δ' Ἰάσων ἔθαν' ἐμός, μῆτερ, πατήρ — Ὑψ.· οἴμοι κακ⟨ὰ⟩ λέγεις, δάκρυά τ' ὄμμασιν, τέκνον, ἐμοῖς δίδως. Εὔν.· Ὀ. με καὶ τόνδ' ἤγαγ' εἰς Θράικης τόπον. Ὑψ.· τίνα πατέρι ποτὲ χάριν ἀθλίωι τιθέμενος; ἔνεπέ μοι, τέκνον. Εὔν.· μοῦσάν με κιθάρας Ἀσιάδος διδάσκεται· τοῦτ⟨ο⟩ν δ' ἐς Ἄρεως ὅπλ' ἐκόσμησεν μάχης.*

36 *ἀπομαστιδίω*? Diels II³ 165 n. 9b. 38 *κακων* pap., corr. Murray. 43 *κιθαρις* pap., corr. Hunt.

Robert *Herm.* XLIV 1909, 376; Herodori testimonia v. nr. 5.

80. Apollon. Argonaut. I 32 *Ὀρφέα μὲν δὴ τοῖον ἑῶν ἐπαρωγὸν ἀέθλων Αἰσονίδης Χείρωνος ἐφημοσύνηισι πιθήσας δέξατο, Πιερίηι Βιστωνίδι κοιρανέοντα* (v. praecedentia nrr. 23 et 51), quem posteriores secuti sunt, quorum locos collegit Gruppe ap. Rosch. III 1155; Kern *Orph.* 27 et Robert *Heldens.* l. l. De Orpheo in Argonauticorum carmine Orphico v. etiam C. Hoffmann De Pseudo-Orphei catalogo Argonautarum diss. Erlang. 1888, 3 et Kern l. l. 33. De Orphei amore in Calain ap. Phanoclem nr. 77. V. quoque nrr. 99. 105.

Isthmionica.

81. Anonym. or. Corinth. = Dion. Prus. XXXVII 15 (II 20, 11 de Arnim) de ludis Argonautarum in Isthmo celebratis: *Ὀ. κιθάραι, Ἡρακλῆς πύμμαχον κτλ.*; Hygin. f. 273 v. p. II s. *Ἐπιγράμματα.*

Magus et medicus (Lob. I 235).

82. Eurip. Alcest. 962 (anni 438) ἐγὼ καὶ διὰ μούσας καὶ μετάρσιος ᾖξα καὶ πλείστων ἁψάμενος λόγων 965 κρεῖσσον οὐδὲν Ἀνάγκας ηὗρον, οὐδέ τι φάρμακον Θρῄσσαις ἐν σανίσιν, τὰς Ὀρφεία κατέγραψεν γῆρυς, οὐδ' ὅσα Φοῖβος Ἀ(970)σκληπιάδαις ἔδωκε (Musgrave] παρέδωκε codd.) φάρμακα πολυπόνοις ἀντιτεμὼν βροτοῖσιν. Diels II³ 165 n. 7, v. Wilamowitz *Hom. Unters.* 224 n. 22, qui confert Hel. 513 (a. 412) λόγος γάρ ἐστιν οὐκ ἐμός, σοφῶν δ' ἔπος, δεινῆς Ἀνάγκης οὐδὲν ἰσχύειν πλέον. Ad vs. 967 v. etiam Heraclid. Ponticum ap. schol. Eurip. Alcest. 968 (II 239 Schw.) ὁ δὲ φυσικὸς Ἡρακλείδης (O. Voss De Heraclid. Pontic. vita et scriptis diss. Rostoch. 1896, 91 fr. 100) εἶναι ὄντως φησὶ σανίδας τινὰς Ὀρφέως, γράφων οὕτως 'τὸ δὲ τοῦ Διονύσου κατεσκεύασται [ἐπὶ del. Wilam.] τῆς Θρᾴκης ἐπὶ τοῦ καλουμένου Αἵμου, ὅπου δή τινας ἐν σανίσιν ἀναγραφὰς εἶναί φασιν ⟨Ὀρφέως add. Wilam.⟩; v. p. II s. Χρησμοί. Susemihl Ind. XVI; Kern *Orph.* 33.

83. Eurip. Cycl. 646 (chorus Satyrorum) ἀλλ' οἶδ' ἐπῳδὴν Ὀρφέως ἀγαθὴν πάνυ, ὡς αὐτόματον τὸν δαλὸν εἰς τὸ κρανίον στείχονθ' ὑφάπτειν τὸν μονῶπα παῖδα γῆς Diels ll. n. 9.

84. Strab. VII 330 fr. 18 (nr. 40) ἄνδρα γόητα ἀπὸ μουσικῆς ἅμα καὶ μαντικῆς καὶ τῶν περὶ τὰς τελετὰς ὀργιασμῶν ἀγυρτεύοντα. Plin. Nat. hist. XXX 7 *Orphea putarem e propinquo primum pertulisse ad vicina usque superstitionem a medicina* (Gronov.] *ac* vel *ae medicinae* codd.) *provectum, si non expers sedes eius tota Thrace magices fuisset.* Pausan. VI 20, 18 nr. 54.

85. Apollon. Tyan. epist. XVI p. 113 Herch. μάγους οἴει δεῖν ὀνομάζειν τοὺς ἀπὸ Πυθαγόρου φιλοσόφους, ὧδέ που καὶ τοὺς ἀπὸ Ὀρφέως, Apuleius Apologia 27 p. 31, 21 Helm *qui providentiam mundi curiosius vestigant et impensius deos celebrant, eos vero vulgo magos nominent, quasi facere etiam sciant quae sciant fieri, ut olim fuere Epimenides et O. et Pythagoras et Ostanes, ac dein similiter suspectata Empedocli catharmoe, Socrati daemonion, Platonis* τὸ ἀγαθόν (Diels II³ 129 n. 12). Augustin. De civ. dei XVIII 14 (nr. 20).

86. Homerus in Aegypto didicit cum alias artes tum τὴν παρὰ τῷ Ὀρφεῖ μεγαλεγκωμίαστον μαγικήν Tzetz. Exeges. in Iliad. 17, 19 Herm.; Lob. I 751 v. nr. 95 ss.

Vates.

87. Clem. Alex. Strom. I 21, 134, 4 (II 83, 22 Staeh.) *ἤδη δὲ καὶ Ὀρφέα Φιλόχορος* (FHG I 415 fr. 190; Tresp *Fragm. der griech. Kultschriftsteller* [RVV XV 1] 190) *μάντιν ἱστορεῖ γενέσθαι ἐν τῶι πρώτωι Περὶ μαντικῆς*. Schol. Apollon. II 684 *τὸν Ὀρφέα φασὶ καὶ μάντιν εἶναι,* v. P. II s. *Χρησμοί* nec non de Orphei capite vatidico nr. 134.

88. Ovid. Metam. XI 8 *vatis Apollinei* Kern *Orph.* 7 n. 1, Stat. Silv. V 1, 23 *licet ipse levandos ad gemitus silvis comitatus et amnibus O. adforet atque omnis pariter matertera vatem, omnis Apollineus tegeret Bacchique sacerdos* v. Raschke De Alberico myth. 86. *Ὀ. Ἀπόλλωνος ἑταῖρος* nr. 141.

89. Plin. Nat. hist. VII 203 *auguria ex avibus Car, a quo Caria appellata; adiecit ex ceteris animalibus* O.

Mysteria.

90. Aristophan. Ran. 1032 *Ὀ. μὲν γὰρ τελετάς θ' ἡμῖν κατέδειξε φόνων τ' ἀπέχεσθαι, Μουσαῖος δ' ἐξακέσεις τε νόσων καὶ χρησμούς.* Diels II³ 166 n. 11. Schol. (Diels II³ 180 n. 6) *ὅτι πολλὴ δόξα κατεῖχε περὶ Ὀρφέως, ὡς τελετὰς συντετάχοι. τὸν Μουσαῖον παῖδα Σελήνης καὶ Εὐμόλπου Φιλόχορός* (FHG I 416 fr. 200) *φησιν. οὗτος δὲ παραλύσεις* (? ni fallor ortum ex Plat. Rep. II 364 e *ἄρα λύσεις τε καὶ καθαρμοὶ . . . ἃς δὴ τελετὰς καλοῦσιν* P. II fr. 3) *καὶ τελετὰς καὶ καθαρμοὺς συνέθηκεν. ὁ δὲ Σοφοκλῆς* (Nauck² fr. 1012) *χρησμολόγον αὐτόν φησι.*

91. [Eurip.] Rhes. 943 (Musa) *μυστηρίων τε τῶν ἀπορρήτων φανὰς ἔδειξεν Ὀ., αὐτανέψιος νεκροῦ* (sc. Rhesi) *τοῦδ' ὃν κατακτείνεις σύ* (Both.] *τοῦδ' οὖν κατακτείνασα* vel *τοῦδ' οὕνεκα κτείνασα* codd., *τοῦδ' οὗ γελᾶις κτείνασα* Reisk.)· *Μουσαῖόν τε, σὸν σεμνὸν πολίτην κἀπὶ πλεῖστον ἄνδρ' ἕνα ἐλθόντα Φοῖβος σύγγονοί τ' ἠσκήσαμεν.* Diels II³ 166 n. 10.

92. Platon Protagor. 316 d *ἐγὼ δὲ τὴν σοφιστικὴν τέχνην φημὶ μὲν εἶναι παλαιάν, τοὺς δὲ μεταχειριζομένους αὐτὴν τῶν παλαιῶν ἀνδρῶν, φοβουμένους τὸ ἐπαχθὲς αὐτῆς, πρόσχημα ποιεῖσθαι* (*πρόσχημα ποιεῖσθαι καὶ* secl. Herwerden) *καὶ προκαλύπτεσθαι* (*καὶ προκαλύπτεσθαι* secl. Cobet.), *τοὺς μὲν ποίησιν, οἷον Ὅμηρόν τε καὶ Ἡσίοδον καὶ Σιμωνίδην, τοὺς δὲ αὖ τελετάς τε καὶ χρησμωιδίας, τοὺς ἀμφί τε Ὀρφέα καὶ Μουσαῖον.*

93. Pausan. IX 30, 4 *πολλὰ μὲν δὴ καὶ ἄλλα πιστεύουσιν οὐκ ὄντα Ἕλληνες καὶ δὴ καὶ Ὀρφέα Καλλιόπης τε εἶναι Μούσης καὶ οὐ τῆς Πιέρου καί οἱ τὰ θηρία ἰέναι πρὸς τὸ μέλος ψυχαγωγούμενα, ἐλθεῖν δὲ καὶ ἐς τὸν Ἅιδην ζῶντα αὐτὸν παρὰ τῶν κάτω θεῶν τὴν γυναῖκα αἰτοῦντα. ὁ δὲ Ὀ. ἐμοὶ δοκεῖν ὑπερεβάλετο ἐπῶν κόσμωι τοὺς πρὸ αὐτοῦ καὶ ἐπὶ μέγα ἦλθεν ἰσχύος οἷα πιστευόμενος εὑρηκέναι τελετὰς θεῶν καὶ ἔργων ἀνοσίων καθαρμοὺς νόσων τε ἰάματα καὶ τροπὰς μηνιμάτων θείων.*

Bacchi mysteriorum auctor.

94. Damagetus Anth. Pal. VII 9 nr. 126. Apollodor. Bibl. I 15 *εὗρε δὲ Ὀ. καὶ τὰ Διονύσου μυστήρια* nr. 63. Procl. ad Platon. Remp. I 174 Kr. nr. 119. Hygin. Astron. II 6 n. 137. Cicero De nat. deor. III 58 p. 375, 3 Plasb.[1] *Dionysos multos habemus — quartum Iove et Luna, cui sacra Orphica putantur confici.* Lyd. De mens. IV 51 p. 107, 10 W. *τέταρτος ὁ Διὸς καὶ Σεμέλης, ὧι* (corr. Creuzer, *ὧν* X) *τὰ Ὀρφέως μυστήρια ἐτελεῖτο, καὶ ὑφ' οὗ οἶνος ἐκεράσθη.* W. Michaelis De origine ind. deorum cognomin. diss. Berol. 1898, 60.

95. Diodor. I 23, 2. 3 ex Hecataeo Milesio (∼ Euseb. Praep. evang. II 1, 23; I 58 Dind.) *Ὀρφέα γὰρ εἰς Αἴγυπτον* (sc. *φασι*) *παραβαλόντα καὶ μετασχόντα τῆς τελετῆς καὶ τῶν Διονυσιακῶν μυστηρίων μεταλαβεῖν* (*μεταλαβόντα* AE), *τοῖς δὲ Καδμείοις φίλον ὄντα καὶ τιμώμενον ὑπ' αὐτῶν μεταθεῖναι τοῦ θεοῦ τὴν γένεσιν ἐκείνοις χαριζόμενον· τοὺς δ' ὄχλους τὰ μὲν διὰ τὴν ἄγνοιαν, τὰ δὲ διὰ τὸ βούλεσθαι τὸν θεὸν Ἕλληνα νομίζεσθαι, προσδέξασθαι προσηνῶς τὰς τελετὰς καὶ τὰ μυστήρια. ἀφορμὰς δ' ἔχειν τὸν Ὀρφέα πρὸς τὴν μετάθεσιν τῆς τοῦ θεοῦ γενέσεως τε καὶ τελετῆς τοιαύτας.* — 6. 7 *ἐν δὲ τοῖς ὕστερον χρόνοις Ὀρφέα, μεγάλην ἔχοντα δόξαν παρὰ τοῖς Ἕλλησιν ἐπὶ μελωιδίαι καὶ τελεταῖς καὶ θεολογίαις, ἐπιξενωθῆναι τοῖς Καδμείοις καὶ διαφερόντως ἐν ταῖς Θήβαις τιμηθῆναι. μετεσχηκότα δὲ τῶν παρ' Αἰγυπτίοις θεολογουμένων μετενεγκεῖν τὴν Ὀσίριδος τοῦ παλαιοῦ γένεσιν ἐπὶ τοὺς νεωτέρους χρόνους, χαριζόμενον δὲ τοῖς Καδμείοις ἐνστήσασθαι καινὴν τελετήν, καθ' ἣν παραδοῦναι τοῖς μυουμένοις ἐκ Σεμέλης καὶ Διὸς γεγεννῆσθαι τὸν Διόνυσον. τοὺς δ' ἀνθρώπους τὰ μὲν διὰ τὴν ἄγνοιαν ἐξαπατωμένους, τὰ δὲ διὰ τὴν Ὀρφέως ἀξιοπιστίαν καὶ δόξαν ἐν τοῖς τοιούτοις προσέχοντας* (CG] *καιροῖς ἔχοντος* cet. codd.), *τὸ δὲ μέγιστον ἡδέως προσδεχομένους τὸν θεὸν Ἕλληνα νομιζόμενον, καθάπερ*

προείρηται, χρήσασθαι ταῖς τελεταῖς. ἔπειτα παραλαβόντων τῶν μυθογράφων καὶ ποιητῶν τὸ γένος, ἐμπεπλῆσθαι τὰ θέατρα, καὶ τοῖς ἐπιγινομένοις ἰσχυρὰν πίστιν καὶ ἀμετάθετον γενέσθαι. De itinere Aegyptio v. praecipue nr. 98.

96. Diodor. I 96, 4—6 ex Hecataeo Milesio (∼ Euseb. Praep. evang. X 8, 4. 5; I 555 Dind.) Ὀρφέα μὲν γὰρ τῶν μυστικῶν τελετῶν τὰ πλεῖστα καὶ τὰ περὶ τὴν ἑαυτοῦ πλάνην ὀργιαζόμενα, καὶ τὴν τῶν ἐν Ἅιδου μυθοποιίαν παρ' Αἰγυπτίων ἀπενέγκασθαι. τὴν μὲν γὰρ Ὀσίριδος τελετὴν τῆι (καὶ τὴν D) Διονύσου τὴν αὐτὴν εἶναι, τὴν δὲ τῆς Ἴσιδος τῆι τῆς Δήμητρος ὁμοιοτάτην ὑπάρχειν, τῶν ὀνομάτων μόνων ἐνηλλαγμένων· τὰς δὲ τῶν ἀσεβῶν ἐν Ἅιδου τιμωρίας καὶ τοὺς τῶν εὐσεβῶν λειμῶνας καὶ τὰς παρὰ τοῖς πολλοῖς εἰδωλοποιίας ἀναπεπλασμένας παρεισαγαγεῖν μιμησάμενον τὰ γινόμενα τὰ περὶ τὰς ταφὰς τὰς κατ' Αἴγυπτον. τὸν μὲν γὰρ ψυχοπομπὸν Ἑρμῆν, κατὰ τὸ παλαιὸν νόμιμον παρ' Αἰγυπτίοις ἀναγαγόντα τὸ τοῦ Ἄπιδος σῶμα μέχρι τινὸς παραδιδόναι τῶι περικειμένωι τὴν τοῦ Κερβέρου προτομήν. τοῦ δὲ Ὀρφέως τοῦτο καταδείξαντος παρὰ τοῖς Ἕλλησι τὸν Ὅμηρον (Od. ω 1) ἀκολούθως τούτωι θεῖναι κατὰ τὴν ποίησιν· Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο ἀνδρῶν ἡρώων (μνηστήρων Hom.)· ἔχε δὲ ῥάβδον μετὰ χερσίν.

97. Diodor. IV 25, 1—4 πρὸς δὲ τοῦτον τὸν ἆθλον ὑπολαβὼν (sc. Hercules) συνοίσειν αὐτῶι, παρῆλθεν εἰς τὰς Ἀθήνας καὶ μετέσχε τῶν ἐν Ἐλευσῖνι μυστηρίων, Μουσαίου τοῦ Ὀρφέως υἱοῦ τότε προεστηκότος τῆς τελετῆς (v. nr. 166 ss.). ἐπεὶ δ' Ὀρφέως ἐμνήσθημεν, οὐκ ἀνοίκειόν ἐστι παρεκβάντας βραχέα περὶ αὐτοῦ διελθεῖν. οὗτος γὰρ ἦν υἱὸς μὲν Οἰάγρου, Θρᾶιξ δὲ τὸ γένος, παιδείαι δὲ καὶ μελωιδίαι καὶ ποιήσει πολὺ προέχων τῶν μνημονευομένων· καὶ γὰρ ποίημα συνετάξατο θαυμαζόμενον καὶ τῆι (add. Dind.) κατὰ τὴν ὠιδὴν εὐμελείαι διαφέρον. ἐπὶ τοσοῦτο δὲ προέβη τῆι δόξηι ὥστε δοκεῖν τῆι μελωιδίαι θέλγειν τά τε θηρία καὶ τὰ δένδρα. περὶ δὲ παιδείαν ἀσχοληθεὶς καὶ τὰ περὶ τῆς θεολογίας μυθολογούμενα μαθών, ἀπεδήμησε μὲν εἰς Αἴγυπτον, κἀκεῖ πολλὰ προσεπιμαθὼν μέγιστος ἐγένετο τῶν Ἑλλήνων ἔν τε ταῖς θεολογίαις καὶ ταῖς τελεταῖς (τελεταῖς καὶ ταῖς θεολογίαις vulgo) καὶ ποιήμασι καὶ μελωιδίαις. συνεστρατεύσατο δὲ καὶ τοῖς Ἀργοναύταις, καὶ διὰ τὸν ἔρωτα τὸν πρὸς τὴν γυναῖκα καταβῆναι μὲν εἰς Ἅιδου παραδόξως ἐτόλμησε, τὴν δὲ Φερσεφόνην διὰ τῆς εὐμελείας (ἐμμελείας CF) ψυχαγωγήσας ἔπεισε συνεργῆσαι ταῖς ἐπιθυμίαις καὶ συγχωρῆσαι τὴν γυναῖκα

αὐτοῦ τετελευτηκυῖαν ἀναγαγεῖν ἐξ Ἅιδου παραπλησίως τῶι Διονύσωι· καὶ γὰρ ἐκεῖνον μυθολογοῦσιν ἀναγαγεῖν τὴν μητέρα Σεμέλην ἐξ Ἅιδου καὶ μεταδόντα τῆς ἀθανασίας Θυώνην μετονομάσαι. ἡμεῖς δ' ἐπεὶ περὶ Ὀρφέως διεληλύθαμεν, μεταβησόμεθα πάλιν ἐπὶ τὸν Ἡρακλέα.

98. Euseb. Praep. evang. I 6 (I 20 Dind.) *παρ' ὧν φασι πρῶτον Ὀρφέα τὸν Οἰάγρου μεταστησάμενον τὰ παρ' Αἰγυπτίοις Ἕλλησι μεταδοῦναι μυστήρια, ὥσπερ οὖν καὶ Κάδμον τὰ Φοινικικὰ τοῖς αὐτοῖς ἀγαγεῖν μετὰ καὶ τῆς τῶν γραμμάτων μαθήσεως.* Ad Orphei iter Aegyptium v. quae R. Philippson *Herm.* LV 1920, 273 de Philodem. *π. εὐσ.* 52b Gomp. scite exposuit et P. II s. *Ἱερὸς Λόγος Αἰγύπτιος.* Cf. etiam Ps.-Iustin. Coh. ad Gentil. 14 B p. 58 Otto *οὐ γὰρ λανθάνειν ἐνίους ὑμῶν οἶμαι, ἐντυχόντας πάντως που τῆι τε Διοδώρου ἱστορίαι* (v. nrr. 95—97) *καὶ ταῖς τῶν λοιπῶν τῶν περὶ τούτων ἱστορησάντων, ὅτι καὶ Ὀ. καὶ Ὅμηρος καὶ Σόλων, ὁ τοὺς νόμους Ἀθηναίοις γεγραφώς, καὶ Πυθαγόρας καὶ Πλάτων καὶ ἄλλοι τινές, ἐν τῆι Αἰγύπτωι γενόμενοι καὶ ἐκ τῆς Μωϋσέως ἱστορίας ὠφεληθέντες, ὕστερον ἐναντία τῶν πρότερον μὴ καλῶς περὶ θεῶν δοξάντων αὐτοῖς ἀπεφήναντο,* v. etiam nrr. 86. 95—97. 99a. 100. 103.

99. Lactant. Divin. institut. I 22, 15—17 (I 90, 16 Br.) *sacra Liberi patris primus O. induxit in Graecia* (*graeciam* SHP; *Graecia* Brandt nisus Epit. 17, 1, I 687, 23 Br.) *primusque celebravit in monte Boeotiae Thebis ubi Liber natus est proximo; qui cum frequenter citharae cantu personaret, Cithaeron appellatus est. ea sacra etiamnunc Orphica nominantur, in quibus ipse postea dilaceratus et* (91) *carptus est; et fuit per eadem fere tempora quibus Faunus. sed quis aetate praecesserit dubitari potest, siquidem per eosdem annos Latinus Priamusque regnarunt, item patres eorum Faunus* (*picus* SH) *et Laomedon, quo regnante O. cum Argonautis ad Iliensium litus accessit.*

99a. Euseb. Praep. evang. X 4, 4 (I 540 Dind.) *οἷς* (sc. *τοῖς παλαιοῖς Ἕλλησιν*) *τὰ μὲν ἐκ Φοινίκης Κάδμος ὁ Ἀγήνορος, τὰ δ' ἐξ Αἰγύπτου περὶ θεῶν, ἢ καί ποθεν ἄλλοθεν, μυστήρια καὶ τελετάς, ξοάνων τε ἱδρύσεις καὶ ὕμνους, ὠιδάς τε καὶ ἐπωιδάς, ἤτοι ὁ Θράικιος Ὀ., ἢ καί τις ἕτερος Ἕλλην ἢ βάρβαρος, τῆς πλάνης ἀρχηγοὶ γενόμενοι, συνεστήσαντο· τούτων γὰρ οὐδένας καὶ αὐτοὶ ἂν ὁμολογήσαιεν Ἕλληνες παλαιοτέρους εἰδέναι.* 5 *πρῶτον γοῦν ἁπάντων Ὀρφέα, εἶτα δὲ Λίνον, κἄπειτα Μουσαῖον, ἀμφὶ τὰ Τρωϊκὰ γενομένους ἢ μικρῶι πρόσθεν ἠκμα-*

κέναι φασίν. ἀλλὰ κατά γε τούτους πλέον οὐδὲν τῆς Φοινίκων καὶ Αἰγυπτίων πολυπλανοῦς θεολογίας παρὰ τοῖς Ἕλλησιν ἐπολιτεύετο. V. nr. 98.

100. Theodoret. Graecar. affection. curat. I 114 p. 31, 24 Raed. *ταῦτα* (phalli cultum) *ἐκ τῆς Αἰγύπτου* | [32 Raed.] *τὰ ὄργια μαθὼν ὁ Ὀδρύσης Ὀ. εἰς τὴν Ἑλλάδα μετήνεγκε καὶ τὴν τῶν Διονυσίων ἑορτὴν διεσκεύασεν* v. etiam II 95 p. 62, 1 Raed.

101. Lyd. De mens. IV 53 p. 109, 18 W. *Ἕλληνες δὲ τὸν Ὀρφέως Διόνυσον, ὅτι, ὡς αὐτοί φασι, πρὸς τῶι ἀδύτωι τοῦ ἐν Ἱερουσολύμοις ναοῦ ἐξ ἑκατέρων σταθμῶν τὸ πρὶν ἄμπελοι ἀπὸ χρυσοῦ πεποιημένοι ἀνέστελλον τὰ παραπετάσματα ἐκ πορφύρας καὶ κόκκου πεποικιλμένα, ἐξ ὧν καὶ ὑπέλαβον Διονύσου εἶναι τὸ ἱερόν.*

Mysteriorum Eleusiniorum conditor.

102. Procl. Resp. II 312, 16 Kr. *δηλοῖ δὲ τὰ ἐν Ἀπολογίαι* (41 A) *ῥηθέντα παρὰ τοῦ Σωκράτους, ὡς ἄρα πολλοῦ ἂν τιμήσαι, τὸ ἐν Ἅιδου συγγενέσθαι τοῖς Ὀρφεῦσιν, τοῖς Μουσαίοις, τοῖς Αἴασιν· ἤκουεν γάρ που καὶ τῶν ἐν Ἐλευσῖνι μυστηρίων ἐξυμνούντων τὸν τὰς ἁγιωτάτας ἐκφήναντα τελετάς* (v. Ps.-Demosth. XXV 11 nr. 103) cf. in Platon. Theolog. VI 11 p. 371, 11. Quae nostrae aetatis homines hariolati sunt, iam refutavit Lob. I 239; v. etiam Kern *Orph.* 30. De Eumolpo nr. 161.

103. Theodoret. Graecar. aff. cur. I 21 p. 10, 10 Raed. *ὅτι δὲ καὶ τῶν Διονυσίων καὶ τῶν Παναθηναίων, καὶ μέντοι καὶ τῶν Θεσμοφορίων καὶ τῶν Ἐλευσινίων τὰς τελετὰς Ὀ., ἀνὴρ Ὀδρύσης, εἰς τὰς Ἀθήνας ἐκόμισε καὶ εἰς* ⟨*τὴν* add. BL⟩ *Αἴγυπτον ἀφικόμενος τὰ τῆς Ἴσιδος καὶ τοῦ Ὀσίριδος εἰς τὰ τῆς Δηοῦς* (*τοῦ διὸς* M²) *καὶ* ⟨*τὰ* add. BL⟩ *τοῦ Διονύσου μετατέθεικεν ὄργια, διδάσκει μὲν Πλούταρχος* (fr. 84 p. 55, 23 Duebn.) *ὁ ἐκ Χαιρωνείας τῆς Βοιωτίας, διδάσκει δὲ καὶ ὁ Σικελιώτης Διόδωρος* (I 96, 4—6 nr. 96), *μέμνηται δὲ καὶ Δημοσθένης ὁ ῥήτωρ* (XXV 11) *καί φησι τὸν Ὀρφέα τὰς ἁγιωτάτας αὐτοῖς τελετὰς καταδεῖξαι* ⟨*ἐπιδεῖξαι* S⟩ v. nr. 102.

104. Apollinar. Sidon. c. VI 1 p. 275 Mohr *Pallados armisonae festum dum cantibus ortum personat Hismario Thracia vate chelys* cf. v. 29 *hinc sese ad totam genetricem transtulit O. et docuit chordas dicere Calliopam.*

Mystes Samothracius.

105. Diodor. IV 43 de Argonautis *ἐπιγενομένου δὲ μεγάλου χειμῶνος καὶ τῶν ἀριστέων ἀπογινωσκόντων τὴν σωτηρίαν, φασὶν Ὀρφέα, τῆς τελετῆς μόνον τῶν συμπλεόντων μετεσχηκότα, ποιήσασθαι τοῖς Σαμοθρᾶιξι τὰς ὑπὲρ τῆς σωτηρίας εὐχάς* cf. 48, 6. Orph. Argonaut. 466 (de codd. v. nr. 224) *ζαθέην* (corr. in *ζαθέαν* Vo) *Σαμοθράικην* (*Σαμοθράκην* codd.] *Σαμοθρήικην* vulgo), *ἔνθα καὶ ὄργια* (*ὄρκια* codd.) *φρικτὰ θεῶν, ἄρρητα* (*ἄρρητα δὲ* codd. praeter Vo qui *ἄρρηκτα δὲ* praebet; *δὲ* del. Stephan.) *βροτοῖσιν, ἀσμενοι εἰσεπέρησαν ἐμαῖς* (*ἐμῆς* codd.) *ὑποθημοσύνῃσιν ἥρωες· μετὰ* (*μέγα* in marg. Vo) *γάρ σφιν ὀφέλσιμον ἀνθρώποισι τῇσδε θυηπολίῃς ἀβολεῖν* (Herm.] *ἄμοτον* codd.) *πλωτῆρσιν ἑκάστοις* (*ἕκαστος* codd.). Aliter Valerius Flaccus II 437 *obvius at Minyas terris adytisque sacerdos excipit hospitibus reserans secreta Thyotes.*

In Cabirorum cultu Samothracio religionis Orphicae extant vestigia nulla (contra O. Rubensohn *Mysterienheiligtümer in Eleusis und Samothrake* 139; v. Kern *Orph.* 29); irrepsit autem in cultum Thebanum (Kern *Herm.* XXV 1890, 7; *RE*[2] X 1440).

De mysteriis Phrygiae v. nr. 160.

Metri heroici auctor.

106. Mallius Theodor. De metris IV 1 p. 589, 20 (Keil GL VI) *metrum dactylicum hexametrum inventum primitus ab Orpheo Critias* (Diels II[3] 314, 7) *adserit* cf. Marium Plot. Ars gramm. III 2 p. 502, 15 K. *heroicum metrum et Delphicum et theologicum nuncupatur, heroicum ab Homero, qui hoc metro heroum facta composuit, Delphicum ab Apolline Delphico, qui primus hoc usus est metro, theologicum ab Orpheo et Musaeo, qui deorum sacerdotes cum essent, hymnos hoc metro cecinerunt,* Marium Victorinum Ars gramm. I 12 p. 50, 23 K. *in his enim* (sc. *dactylo et iambo*) *metrorum omnium fundamenta subsistunt. hoc quidam a Lino Apollinis antistita, alii ab Orpheo, nonnulli ab Homero inventum putant*; v. etiam Damagetum Anth. Palat. VII 9 in epigrammate sepulcrali de Orpheo nr. 126 v. 6. Tzetz. Exeges. Il. 47, 19 Herm. *ἡρωϊκὸν δὲ μετωνομάσθη, ἐπειδὴ τὰ ἡρώων πάθη καὶ ἀριστεύματα Ὀ. τε καὶ ὁ Ὅμηρος ἐν τῶι τοιούτωι μέτρωι συνεγραφήκεσαν.* Lob. I 234; Kern *Orph.* 28; Robert *Heldens.* I 408.

De alphabeti inventione v. nrr. 123 et 172.

Astrologus.

107. Ps.-Lucian. De astrologia 10 (v. F. Boll *N. Jahrb. Suppl.* XXI 1894, 151) *Ἕλληνες δὲ οὔτε παρ' Αἰθιόπων οὔτε παρ' Αἰγυπτίων ἀστρολογίης πέρι οὐδὲν ἤκουσαν, ἀλλὰ σφίσιν Ὀ. ὁ Οἰάγρου καὶ Καλλιόπης πρῶτος τάδε ἀπηγήσατο, οὐ μάλα ἐμφανέως, οὐδὲ ἐς φάος τὸν λόγον προήνεγκεν, ἀλλ' ἐς γοητείην καὶ ἱρολογίην, οἵη διανοίη ἐκείνου· πηξάμενος γὰρ λύρην ὄργιά τε ἐποιέετο καὶ τὰ ἱρὰ ἤειδεν· ἡ δὲ λύρη ἑπτάμιτος ἐοῦσα τὴν τῶν κινεομένων ἀστέρων ἁρμονίην συνεβάλλετο. ταῦτα Ὀ. διζήμενος καὶ ταῦτα ἀνακινέων πάντα ἔθελγε καὶ πάντων ἐκράτεεν· οὐ γὰρ ἐκείνην τὴν λύρην ἔβλεπεν οὐδέ οἱ ἄλλης ἔμελε μουσουργίης, ἀλλ' αὕτη Ὀρφέος ἡ μεγάλη λύρη. Ἕλληνές τε τάδε τιμέοντες μοίρην οὐρανῶι ἀπέκριναν καὶ ἀστέρες πολλοὶ καλέονται λύρη Ὀρφέος. ἢν δέ κοτε Ὀρφέα ἴδῃς ἢ λίθοισιν ἢ χροιῆι μεμιμημένον, ἐν μέσωι ἕζεται ἴκελος ἀείδοντι μετὰ χερσὶν ἔχων τὴν λύρην· ἀμφὶ δέ μιν ζῶια μυρία ἕστηκεν, ἐν οἷς καὶ κάπρος* (*ἄπρος* Birt *Laienurteil über bildende Kunst bei den Alten. Marburger Rektoratsrede* 1902, 34 n. 3, *ἄνθρωπος* codd.) *καὶ ταῦρος καὶ λέων καὶ τῶν ἄλλων ἕκαστον. εὖτ' ἂν ἐκεῖνα ἴδῃς, μέμνησό μοι τουτέων, κοίη ἐκείνου ἀοιδή, κοίη δὲ καὶ ἡ λύρη, κοῖος δὲ καὶ ταῦρος ἢ ὁκοῖος λέων Ὀρφέος ἐπαΐουσιν. εἰ δὲ τὰ λέγω αἴτια γνοίης, σὺ δὲ καὶ ἐν τῶι οὐρανῶι δέρκεο ἕκαστον τουτέων.*

Templorum conditor.

108. Pausan. III 14, 5 in Spartae descriptione *Δήμητρα δὲ Χθονίαν Λακεδαιμόνιοι μὲν σέβειν φασὶ παραδόντος σφίσιν Ὀρφέως, δόξηι δὲ ἐμῆι διὰ τὸ ἱερὸν τὸ ἐν Ἑρμιόνηι κατέστη καὶ τούτοις Χθονίαν νομίζειν Δήμητρα.* Wide *Lakon. Kulte* 174. 244. 295.

109. Pausan. III 13, 2 ibidem (nr. 108) *Λακεδαιμονίοις δὲ ἀπαντικρὺ τῆς Ὀλυμπίας Ἀφροδίτης ἐστὶ ναὸς Κόρης Σωτείρας· ποιῆσαι δὲ τὸν Θρᾶικα Ὀρφέα λέγουσιν, οἱ δὲ Ἄβαριν ἀφικόμενον ἐξ Ὑπερβορέων.* Wide l. l. 140. 175. 295.

110. Pausan. II 30, 2 *θεῶν δὲ Αἰγινῆται τιμῶσιν Ἑκάτην μάλιστα καὶ τελετὴν ἄγουσιν ἀνὰ πᾶν ἔτος Ἑκάτης, Ὀρφέα σφίσι τὸν Θρᾶικα καταστήσασθαι τὴν τελετὴν λέγοντες.* Dieterich De hymn. Orph. 44 = *Kl. Schr.* 103.

AGRICULTURAE ET MORUM AUCTOR.

111. Horatius Epist. ad Pison. 391 *silvestris homines sacer interpresque deorum caedibus et victu foedo deterruit O., dictus ob hoc lenire tigris rabidosque leones*, v. nr. 144 *βαρβάρους ἔτρεψε.*

112. Themistius or. XXX 349 b p. 422, 10 Dind. *οὐ μὴν οὐδὲ Ὀρφέως τελετάς τε καὶ ὄργια γεωργίας ἐκτὸς συμβέβηκεν εἶναι, ἀλλὰ καὶ ὁ μῦθος τοῦτο αἰνίττεται, πάντα κηλεῖν τε καὶ θέλγειν τὸν Ὀρφέα λέγων, ὑπὸ τῶν καρπῶν τῶν ἡμέρων ὧν γεωργία παρέχει πᾶσαν ἡμερῶσαι φύσιν καὶ θηρίων δίαιταν, καὶ τὸ ἐν ταῖς ψυχαῖς θηριῶδες ἐκκόψαι καὶ ἡμερῶσαι* (Dind.] *ἡμερώσειν* A). *καὶ τὰ θηρία γὰρ τῶι μέλει κηλεῖν ἐπιστεύθη θυσίας τε πάσας καὶ τελετὰς διὰ τῶν ἐκ γεωργίας καλῶν εἰς θεοὺς ἀνάγων. πάντας γοῦν ἀνθρώπους ἐπῆλθε τῆι δόξηι καὶ πάντες ἐδέξαντο γεωργίαν.* Kern *Orph.* 32.

MORS (v. etiam Isocr. XI 39 P. II fr. 17).

113. Ps.-Eratosth. 24 p. 140 Rob.; 29 Ol. *τὸν μὲν Διόνυσον οὐκ ἐτίμα* (*ὑφ' οὗ ἦν δεδοξασμένος* add. cod. R), *τὸν δὲ Ἥλιον μέγιστον τῶν θεῶν ἐνόμισεν* (*ἐνόμιζεν εἶναι* D), *ὃν καὶ Ἀπόλλωνα προσηγόρευσεν· ἐπεγειρόμενός τε τὴν νύκτα κατὰ τὴν ἑωθινὴν ἐπὶ τὸ ὄρος τὸ καλούμενον Πάγγαιον* ⟨*ἀνιὼν* add. Wilam., *ἰὼν* Heyn.⟩ *προσέμενε τὰς ἀνατολάς, ἵνα ἴδηι τὸν Ἥλιον* (*τ. Ἥ.* om. R), *πρῶτον· ὅθεν ὁ Διόνυσος ὀργισθεὶς αὐτῶι ἔπεμψε τὰς Βασσαρίδας, ὥς φησιν Αἰσχύλος ὁ τῶν τραγωιδιῶν ποιητής* (nr. 45)· *αἳ διέσπασαν αὐτὸν* (*αἵτινες αὐτὸν διέσπασαν* D) *καὶ τὰ μέλη ἔρριψαν* (*διέρριψαν* D) *χωρὶς ἕκαστον· αἱ δὲ Μοῦσαι συναγαγοῦσαι ἔθαψαν ἐπὶ τοῖς καλουμένοις Λειβήθροις. τὴν δὲ λύραν οὐκ ἔχουσαι ὅτωι δώσειν τὸν Δία ἠξίωσαν καταστερίσαι, ὅπως ἐκείνου τε καὶ αὐτῶν μνημόσυνον τεθῆι ἐν τοῖς ἄστροις* (*τὴν δὲ λύραν — ἄστροις* om. R)· *τοῦ δ' ἐπινεύσαντος οὕτως ἐτέθη· ἐπισημασίαν δ' ἔχει ἐπὶ τῶι ἐκείνου συμπτώματι δυομένη καθ' ὥραν* (*συμπτώματι — καθ' ὥραν* om. R). Schol. Germ. BP 84, G 151; Anonymi II Arati epitom. cum schol. ed. Maaß 231 s.; Hygin. Astron. II 7 nr. 117. Aeschylum sequi videntur Vergil. Georg. IV 521 *inter sacra deum nocturnique orgia Bacchi* et Ovid. Metam. XI 1 ss.; Robert *Heldens.* I 402. 404 n. 3. De vasculis Orphei mortem exhibentibus v. eundem l. l. Phanoclis versio nr. 77.

114. Schol. Pind. 313 a (II 139, 25 Drachm.) *ὁ μέντοι Χαῖρις οὐκ ἀπιθάνως τούτους* | [140 Drachm.] *φησὶν ὠνομάσθαι τοὺς ἐκ θεῶν γεγονότας, οἷον Διοσκούρους καὶ Ἡρακλέα· οὕτω δὴ καὶ Ὀρφέα, διὰ τὸ Ἀπόλλωνος εἶναι υἱὸν γόνωι. παρατίθεται δὲ καὶ χρησμόν τινα, ὅν φησι Μέναιχμον ἀναγράφειν ἐν τῶι Πυθικῶι* (Scr. rer. Alex. 146 fr. 11). *ἔχει δὲ οὕτως· Πιέρες αἰνοπαθεῖς, στυγνὴν ἀποτείσετε λώβην Ὀρφέ' ἀποκτείναντες Ἀπόλλωνος φίλον υἱόν.* De Apollinis filio nr. 22.

115. Conon f. 45 (25, 14 Hoef.) *τελευτᾶι δὲ διασπασαμένων αὐτὸν τῶν Θραικίων καὶ Μακεδόνων γυναικῶν, ὅτι οὐ μετεδίδου αὐταῖς τῶν ὀργίων, τάχα μὲν καὶ κατ' ἄλλας προφάσεις· φασὶ δ' οὖν αὐτὸν δυστυχήσαντα περὶ γυναῖκα πᾶν ἐχθῆραι τὸ γένος* (v. nr. 76). *ἐφοίτα μὲν οὖν τακταῖς ἡμέραις ὡπλισμένων πλῆθος Θραικῶν καὶ Μακεδόνων ἐν Λιβήθροις, εἰς οἴκημα ἓν συνερχόμενον μέγα τε καὶ πρὸς τελετὰς εὖ πεποιημένον· ὁπότε δ' ὀργιάζειν εἰσίασι, πρὸ τῶν πυλῶν ἀπετίθεσαν τὰ ὅπλα. ὃ αἱ γυναῖκες ἐπιτηρήσασαι καὶ τὰ ὅπλα ἁρπασάμεναι ὑπ' ὀργῆς τῆς διὰ τὴν ἀτιμίαν τούς τε προσπίπτοντας κατειργάσαντο, καὶ τὸν Ὀρφέα κατὰ μέλη ἔρριψαν εἰς τὴν θάλασσαν σποράδην. λοιμῶι δὲ τῆς χώρας, ὅτι μὴ ἀπῃτήθησαν δίκην αἱ γυναῖκες, κακουμένης δεόμενοι λωφῆσαι τὸ δεινὸν ἔλαβον χρησμόν, τὴν κεφαλὴν τὴν Ὀρφέως ἣν ἀνευρόντες θάψωσι, τυχεῖν ἀπαλλαγῆς. καὶ μόλις αὐτὴν περὶ τὰς ἐκβολὰς τοῦ Μέλητος δι' ἁλιέως ἀνεῦρον ποταμοῦ, καὶ τότε ἄιδουσαν καὶ μηδὲν παθοῦσαν ὑπὸ τῆς θαλάσσης, μηδέ τι ἄλλο τῶν ὅσα κῆρες ἀνθρώπιναι νεκρῶν αἴσχη φέρουσιν, ἀλλ' ἐπακμάζουσαν αὐτὴν καὶ ζωικῶι καὶ τότε αἵματι* (om. A) *μετὰ πολὺν χρόνον ἐπανθοῦσαν. λαβόντες οὖν ὑπὸ σήματι μεγάλωι θάπτουσι, τέμενος αὐτῶι περιείρξαντες, ὃ τέως μὲν ἡρῶιον ἦν, ὕστερον δ' ἐξενίκησεν ἱερὸν εἶναι. θυσίαις τε γὰρ καὶ ὅσοις ἄλλοις θεοὶ τιμῶνται γεραίρεται. ἔστι δὲ γυναιξὶ παντελῶς ἄβατον.* An ex Hegesippo Mecybernaeo? Maaß *Orph.* 139; v. etiam Hoefer *Konon* 103. 109; Robert *Heldens.* I 405 n. 2.

116. Pausan. IX 30, 5 *τὰς δὲ γυναῖκάς φασι τῶν Θραικῶν ἐπιβουλεύειν μὲν αὐτῶι θάνατον, ὅτι σφῶν τοὺς ἄνδρας ἀκολουθεῖν ἔπεισεν αὐτῶι πλανωμένωι, φόβωι δὲ τῶν ἀνδρῶν οὐ τολμᾶν· ὡς δὲ ἐνεφορήσαντο οἴνου, ἐξεργάζονται τὸ τόλμημα, καὶ τοῖς ἀνδράσιν ἀπὸ τούτου κατέστη μεθυσκομένους ἐς τὰς μάχας χωρεῖν.* Robert *Heldens.* I 405 n. 1.

117. Hygin. Astron. II 7 (*O.*) *qui querens uxoris Eurydices mortem ad inferos descendisse existimatur et ibi deorum progeniem*

suo carmine laudasse praeter Liberum patrem; hunc enim oblivione ductus praetermisit, ut Oeneus in sacrificio Dianam. postea igitur O., ut complures dixerunt, in Olympo monte, qui Macedoniam dividit a Thracia, sed ut Eratosthenes (nr. 113) *ait, in Pangaeo sedens, cum cantu delectaretur, dicitur ei Liber obiecisse Bacchas, quae corpus eius discerperent interfecti. sed alii dicunt, quod initia Liberi sit speculatus, id ei accidisse; Musas autem collecta membra sepulturae mandasse, et lyram quo maxime potuerunt beneficio, illius memoriae causa figuratam stellis inter sidera constituisse Apollinis et Iovis voluntate quod O. Apollinem maxime laudarat, Iupiter autem filio beneficium concessit* (sequitur nr. 121). Robert *Heldens.* I 406, v. nr. 136.

118. Lucian. Adv. indoct. 109—111 *ὅτι τὸν Ὀρφέα διεσπάσαντο αἱ Θρᾶιτται, φασὶ τὴν κεφαλὴν αὐτοῦ σὺν τῆι λύραι εἰς τὸν Ἕβρον ἐμπεσοῦσαν ἐκβληθῆναι εἰς τὸν Μέλανα κόλπον, καὶ ἐπιπλεῖν γε τὴν κεφαλὴν τῆι λύραι, τὴν μὲν ἄιδουσαν θρῆνόν τινα ἐπὶ τῶι Ὀρφεῖ, ὡς λόγος, τὴν λύραν δὲ αὐτὴν ὑπηχεῖν τῶν ἀνέμων ἐμπιπτόντων ταῖς χορδαῖς, καὶ οὕτω μετ' ὠιδῆς προσενεχθῆναι τῆι Λέσβωι, κἀκείνους ἀνελομένους τὴν μὲν κεφαλὴν καταθάψαι, ἵναπερ νῦν τὸ Βακχεῖον αὐτοῖς ἐστι* (v. nrr. 134. 140), *τὴν λύραν δὲ ἀναθεῖναι ἐς τοῦ Ἀπόλλωνος τὸ ἱερὸν καὶ ἐπὶ πολύ γε σώιζεσθαι αὐτήν. χρόνωι δὲ ὕστερον Νέανθον τὸν τοῦ Πιττακοῦ τοῦ τυράννου ταῦτα ὑπὲρ τῆς λύρας πυνθανόμενον, ὡς ἐκήλει μὲν καὶ θηρία καὶ φυτὰ καὶ λίθους, ἐμελώιδει δὲ καὶ μετὰ τὴν Ὀρφέως συμφορὰν μηδενὸς ἁπτομένου, πρὸς ἔρωτα τοῦ κτήματος ἐμπεσεῖν καὶ διαφθείραντα τὸν ἱερέα μεγάλοις χρήμασι πεῖσαι ὑποθέντα ἑτέραν ὁμοίαν λύραν δοῦναι αὐτῶι τὴν τοῦ Ὀρφέως· λαβόντα δὲ μεθ' ἡμέραν μὲν ἐν τῆι πόλει χρῆσθαι οὐκ ἀσφαλὲς οἴεσθαι εἶναι, νύκτωρ δὲ ὑπὸ κόλπον ἔχοντα μόνον προελθεῖν ἐς τὸ προάστειον καὶ προχειρισάμενον κρούειν καὶ συνταράττειν τὰς χορδὰς ἄτεχνον καὶ ἄμουσον νεανίσκον, ἐλπίζοντα μέλη τινὰ θεσπέσια ὑπηχήσειν τὴν λύραν, ὑφ' ὧν πάντας καταθέλξειν καὶ κηλήσειν καὶ μακάριον ἔσεσθαι κληρονομήσαντα τῆς Ὀρφέως μουσικῆς· ἄχρι δὴ ξυνελθόντας τοὺς κύνας πρὸς τὸν ἦχον — πολλοὶ δὲ ἦσαν αὐτόθι — διασπάσασθαι αὐτόν, ὡς τοῦτο γοῦν ὅμοιον τῶι Ὀρφεῖ παθεῖν καὶ μόνους ἐφ' ἑαυτὸν ξυγκαλέσαι τοὺς κύνας· ὅτεπερ καὶ σαφέστατα ὤφθη ὡς οὐχ ἡ λύρα ἡ θέλγουσα ἦν, ἀλλὰ ἡ τέχνη καὶ ἡ ὠιδή, ἃ μόνα ἐξαίρετα τῶι Ὀρφεῖ παρὰ τῆς μητρὸς ὑπῆρχεν. ἡ λύρα δὲ ἄλλως κτῆμα ἦν οὐδὲν ἄμεινον τῶν ἄλλων βαρβίτων.* Maaß *Orph.* 131;

Robert *Heldens.* I 406. De canibus Orphea iuvenem servantibus v. Tzetzam Chiliad. IV 279 (130 K.) Lithica secutum *Ὀ. ὁ τῆς Μενίππης παῖς, πατρὸς δὲ τοῦ Οἰάγρου, ἔτι τελῶν μειράκιον, ὄρνις θηράσαι χρῄζων ἦλθεν ὡς πρὸς ἀκρώρειαν, οὗπερ ἦν δράκων μέγας. ὡς οὖν Ὀ. ἀφώρα μὲν πρὸς θήραν τῶν ὀρνίθων, ὁ δράκων ὥρμα κατ' αὐτοῦ, σπείρας συχνὰς ἑλίσσων. Ἐθάδες τούτωι κύνες δὲ δραμόντες βοῆι τούτου καὶ συμβαλόντες τῶι θηρί, ἀπέκτειναν ἐκεῖνον, τὸν δὲ Ὀρφέα ῥύονται στοργῆι τῆι πρὸς ἐκεῖνον, ὥσπερ αὐτὸς ἐν Λιθικοῖς* (142 *τοὔνεκεν αἰπολίοισιν ἀπόπροθι βοσκομένοισιν ἑσπομένω δύο πατρὸς ἐμοῦ κύνε κεκλήγοντα γνόντες ἐπεδραμέτην· μάλα γάρ σφισι μείλιχος ἔσκον*) *Ὀ. που γράφει τοῦτο.*

119. Procl. Respubl. I 174, 21 Kr. *καὶ οὐχ Ὅμηρος μόνον καὶ Δημόδοκος ἐκεῖνος, ἀλλὰ καὶ Ὀ. μυθολογεῖται τοιαῦτα ἄττα τραγικῶς παθεῖν διὰ τὴν ἐν μουσικῆι τελέαν ζωήν· σπαραχθεὶς γὰρ καὶ μερισθεὶς παντοίως τὸν τῆιδε βίον ἀπολιπεῖν, ἐπειδὴ μεριστῶς οἶμαι καὶ διῃρημένως αὐτοῦ μετέσχον οἱ τότε τῆς μουσικῆς καὶ ὅλην ἅμα καὶ παντελῆ τὴν ἐπιστήμην οὐ δεδύνηνται δέξασθαι. τὸ δ' οὖν ἀκρότατον αὐτῆς μέρος καὶ πρώτιστον οἱ τὴν Λέσβον οἰκοῦντες παρεδέξαντο· καί που διὰ τοῦτο καὶ τὴν κεφαλὴν ὁ μῦθος τὴν ἐκείνου σπαραχθέντος εἰς Λέσβον ἐξενεχθῆναί φησιν. ἀλλ' Ὀ. μὲν ἅτε* | [175 Kr.] *τῶν Διονύσου τελετῶν ἡγεμὼν γενόμενος τὰ ὅμοια παθεῖν ὑπὸ τῶν μύθων εἴρηται τῶι σφετέρωι θεῶι (καὶ γὰρ ὁ σπαραγμὸς τῶν Διονυσιακῶν ἓν ἐστιν συνθημάτων), Ὅμηρος* . . . II 314, 24 *ἀποχρῆσθαι μὲν τοίνυν ἔοικεν τῶι κατὰ τὸν Ὀρφέα μύθωι δηλοῦντι τὴν ἐξῃρημένην αὐτοῦ μουσικὴν ἀπὸ τῆς θηλυπρεποῦς καὶ ὄντως κεχαλασμένης — ἔνθεος γὰρ ἦν, εἰ καὶ* | [315 Kr.] *μετὰ τὴν ἐκείνου τελευτὴν μεμερισμένως αὐτῆς μετέσχον* (*μετέσχεν* Usen.) — *ὃ διὰ τῶν σπαραγμῶν οἱ μῦθοι δηλοῦσιν — καὶ τὸ κεφάλαιον αὐτῆς ἡ Λέσβος ὑπεδέξατο — τοῦτο* ⟨*ὃ* suppl. Schoell⟩ *δὴ κεφαλὴν Ὀρφέως προσειρήκασιν — ὅθεν καὶ ὄνομα ἔσχεν ἡ Λεσβία Μοῦσα καὶ τὸ μετὰ Λέσβιον ᾠδὸν εἰς παροιμίαν ἐξενίκησεν* v. nr. 135.

120. Pausan. IX 30, 6 *ἄλλοις δὲ εἰρημένον ἐστὶν ὡς προαποθανούσης οἱ τῆς γυναικὸς ἐπὶ τὸ Ἄορνον δι' αὐτὴν τὸ ἐν τῆι Θεσπρωτίδι ἀφίκετο· εἶναι γὰρ πάλαι νεκυομαντεῖον αὐτόθι. νομίζοντα δέ οἱ ἕπεσθαι τῆς Εὐρυδίκης τὴν ψυχὴν καὶ ἁμαρτόντα ὡς ἐπεστράφη, αὐτόχειρα αὐτὸν ὑπὸ λύπης αὐτοῦ γενέσθαι.* M. Ninck *Philolog. Suppl.* XIV 2 (1921), 80.

121. Hygin. Astron. II 7 *nonnulli etiam dixerunt Venerem cum Proserpina ad iudicium Iovis venisse cui earum Adonim concederet. quibus Calliopen ab Iove datam iudicem, quae Musa Orphei est mater: itaque iudicasse, uti dimidiam partem anni earum unaquaeque possideret. Venerem autem indignatam, quod non sibi proprium concessisset, obiecisse omnibus quae in Thracia essent mulieribus, ut Orphea amore inductae ita sibi quaeque appeterent, ut membra eius discerperent.* Robert *Heldens.* I 406 n. 1.

122. Ps.-Plutarchi De fluv. III 4 p. 44 Herch. *γεννᾶται δὲ καὶ ἐν τῶι Παγγαίωι ὄρει βοτάνη Κιθάρα καλουμένη διὰ ταύτην τὴν αἰτίαν. διασπαράξασαι* (*αἱ* ante *διασπ.* add. Wytt.) *τὸν Ὀρφέα τὰ μέλη τοῦ προειρημένου εἰς ποταμὸν ἔβαλον Ἕβρον· καὶ ἡ μὲν κεφαλὴ τοῦ θνητοῦ κατὰ πρόνοιαν θεῶν εἰς δράκοντα μετέβαλεν τὴν μορφὴν τοῦ σώματος* (*τ. σχήματος* Wytt.)*· ἡ δὲ λύρα κατηστερίσθη* (Natal. Comes, Wytt.] *καταστηρίχθη* P, *κατεστηρίχθη* ed. Lips. a. 1778 et cett. edd.) *κατὰ προαίρεσιν Ἀπόλλωνος· ἐκ δὲ τοῦ ῥεύσαντος αἵματος ἀνεφάνη βοτάνη Κιθάρα καλουμένη. τῶν δὲ Διονυσίων τελουμένων αὕτη κιθάρας ἀναδίδωσιν ἦχον· οἱ δ' ἐγχώριοι νεβρίδας περιβεβλημένοι καὶ θύρσους κρατοῦντες ὕμνον ἄιδουσιν* (Salmas.] *καὶ θ., ὕ. ἀιδ. κρ. καὶ τότε* P) *'μή τότε φρονήσηις, ὅταν ἔσηι μάτην φρονῶν'* (Haupt] *καὶ τότε φρονήσει ὅταν εσημματην φρονῶν* P)*· καθὼς ἱστορεῖ Κλειτώνυμος ἐν τῶι γ' τῶν Θραικικῶν* (Reinesius] *Τραγικῶν* P, *τῶι* et *τῶν* secl. Herch., FHG IV 367).

123. Alcidam. Ulix. 24 p. 190 Bl. *γράμματα μὲν δὴ πρῶτος Ὀρ|*[191 Bl.]*φεὺς ἐξήνεγκε, παρὰ Μουσῶν μαθών, ὡς καὶ τὰ ἐπὶ τῶι μνήματι αὐτοῦ δηλοῖ ἐπιγράμματα· 'Μουσάων πρόπολον τῆιδ' Ὀρφέα Θρῆικες ἔθηκαν, ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι βέλει, Οἰάγρου φίλον υἱόν, ὃς Ἡρακλῆ' ἐξεδίδαξεν, εὑρὼν ἀνθρώποις γράμματα καὶ σοφίην.'* Robert *Heldens.* I 409 n. 3.

1 *θρήϊκες* X, *θράκες* A. 2 *βέλει* Ald.] *βαλών* C, *κεραυνῷ* cett. codd. et *γρ.* C. 3 *ὑάγρου* A. *ἡρακλῆ* Z cum Burneiano 96, *ἡρακλῆα* A. *ἐξεδίδαξεν* Blassius cum plerisque libris] *ἐδίδαξεν* Preger Inscr. graec. metr. n. 26 cum AN Ald.

Ad vs. 2 v. Pausan. IX 30, 5 *εἰσὶ δὲ οἵ φασι κεραυνωθέντι ὑπὸ τοῦ θεοῦ συμβῆναι τὴν τελευτὴν Ὀρφεῖ· κεραυνωθῆναι δὲ αὐτὸν τῶν λόγων ἕνεκα ὧν ἐδίδασκεν ἐν τοῖς μυστηρίοις οὐ πρότερον ἀκηκοότας ἀνθρώπους* et nr. 125. Maaß *Orph.* 140 n. 24. Iasionis mortem confert Robert *Heldens.* I 406 n. 2. Ad vs. 3 cf. nr. 160 a.

124. Ps.-Aristot. Peplus 48 (Rose^{3} p. 403) *ἐπὶ Ὀρφέως κειμένου ἐν Κικονίαι· ‘Θρήϊκα χρυσολύραν Οἰάγρου παῖδα θανόντα Ὀρφέα ἐν χώρωι τῶιδε θέσαν Κίκονες.’* Ad vs. 2 v. nr. 125.

125. Diogen. Laert. prooem. I 4 (unde Anth. Pal. VII 617) *τοῦτον δὲ ὁ μὲν μῦθος ὑπὸ γυναικῶν ἀπολέσθαι φησί· τὸ δ’ ἐν Δίωι τῆς Μακεδονίας ἐπίγραμμα κεραυνωθῆναι αὐτὸν λέγον οὕτως· ‘Θρήϊκα (θρῆκα* Laertii B 2) *χρυσολύρην τῆιδ’ Ὀρφέα Μοῦσαι ἔθαψαν, ὃν κτάνεν ὑψιμέδων (ὑψιμέδης* Laertii F) *Ζεὺς ψολόεντι βέλει.’* Epigramma compositum e nr. 124, 1 et 123, 2 v. Preger n. 26.

126. Damageti Anth. Pal. VII 9 *Ὀρφέα Θρηικίηισι παρὰ προμολῆισιν Ὀλύμπου τύμβος ἔχει, Μούσης υἱέα Καλλιόπης, ὧι δρύες οὐκ ἀπίθησαν, ὅτωι συνάμ’ ἕσπετο πέτρη ἄψυχος θηρῶν θ’ ὑλονόμων ἀγέλα,* 5 *ὅς ποτε καὶ τελετὰς μυστηρίδας εὕρετο Βάκχου καὶ στίχον ἡρώωι ζευκτὸν ἔτευξε ποδί, ὃς καὶ ἀμειλίκτοιο βαρὺ Κλυμένοιο νόημα καὶ τὸν ἀκήλητον θυμὸν ἔθελξε λύραι.*

1—2 *ἔχει* Suid. s. *προμολῆισιν.* *ὀρφέα θρηικίηισι* A *γρ.*] *ὀρφέα πιερικοῖο* scr. C in m.^{s}, *Θρηικίοιο* Dilthey, *Θρήϊκα τῆιδε* Stadtmuell. coll. nr. 125,1. 3—4 *ἄψυχος* Suid. s. *ἀπειθεῖν* et s. *ἀπίθανον*; v. Eur. Iph. Aul. 1212 (nr. 50). 5. 6 a Suida neglectos spurios esse arbitratur Stadtmuell. 6 *ἡρώω[ι]* C] *ἡρώων* A^{ar}, *ἡρῴῳ* Pl^{M}. 7. 8 Suid. s. *ἀκήλητον* et *Κλύμενος.* *ἀκήλητον* post ras. Pl^{M} Suid.] *ἀμείλικτον* ante ras. Pl^{M}, *ἀκολάκευτον* interpretatur sch.^{B}. 8 (depravatus bis ap. Zonaram legitur, v. Stadtmuell.) *θυμὸν*] *κενθμὸν* Pierson, an *δαίμον’* vel *φρουρόν* ? Stadtmuell.

Lob. I 234; Rohde *Psyche* II^{6} 103 n. 1.

Ad vs. 5 cf. nr. 94, ad vs. 6 nr. 106.

127. Antipatri Sidonii *εἰς Ὀρφέα τὸν ποιητήν, τὸν Οἰάγρου καὶ Καλλιόπης* Anthol. Pal. VII 8 *οὐκέτι θελγομένας, Ὀρφεῦ, δρύας, οὐκέτι πέτρας ἄξεις, οὐ θηρῶν αὐτονόμους ἀγέλας· οὐκέτι κοιμάσεις ἀνέμων βρόμον, οὐχὶ χάλαζαν, οὐ νιφετῶν συρμούς, οὐ παταγεῦσαν ἅλα.* 5 *ὤλεο γάρ· σὲ δὲ πολλὰ κατωδύραντο θύγατρες Μναμοσύνας, μάτηρ δ’ ἔξοχα Καλλιόπα. τί φθιμένοις στοναχεῦμεν ἐφ’ υἱάσιν, ἁνίκ’ ἀλαλκεῖν τῶν παίδων Ἀίδαν οὐδὲ θεοῖς δύναμις.*

1—2 *ἄξεις* Suid. s. *δρῦς.* 2 *ὑλονόμους* Maehly v. nr. 126, 4. 4 Suid. s. *συρμός.* 5 Suid. s. *βρόμος.*

128. Anthol. Pal. VII 10 (an Antipatri Sidonii? Stadtmuell.) *Καλλιόπης Ὀρφῆα καὶ Οἰάγροιο θανόντα ἔκλαυσαν ξανθαὶ μυρία Βιστονίδες· στικτοὺς δ’ ἡιμάξαντο βραχίονας ἀμφὶ μελαίνηι δευόμεναι σποδιῆι Θρηίκιον πλόκαμον· καὶ δ’ αὐταὶ*

στοναχεῦντι σὺν εὐφόρμιγγι Λυκείωι 5 *ἔρρηξαν Μοῦσαι δάκρυα Πιερίδες μυρόμεναι τὸν ἀοιδόν· ἐπωιδύραντο δὲ πέτραι καὶ δρύες ἃς ἐρατῆι τὸ πρὶν ἔθελγε λύρηι.*

3 *ἀμφιμελαίνη* A, *ἀμφιμελαίνηι* Hecker. 4 *δευόμεναι*] *ῥαινόμεναι* vel *χευόμεναι* Heck., *σειόμεναι* Stadtmuell.

129. Pausan. IX 30, 9 *ἤκουσα δὲ καὶ ἄλλον ἐν Λαρίσηι λόγον, ὡς ἐν τῶι Ὀλύμπωι πόλις οἰκοῖτο Λίβηθρα, ἧι ἐπὶ Μακεδονίας τέτραπται τὸ ὄρος, καὶ εἶναι οὐ πόρρω τῆς πόλεως τὸ τοῦ Ὀρφέως μνῆμα· ἀφικέσθαι δὲ τοῖς Λιβηθρίοις παρὰ τοῦ Διονύσου μάντευμα ἐκ Θράικης, ἐπειδὰν ἴδηι τὰ ὀστᾶ τοῦ Ὀρφέως ἥλιος, τηνικαῦτα ὑπὸ συὸς ἀπολεῖσθαι Λιβηθρίοις τὴν πόλιν. οἱ μὲν δι' οὐ πολλῆς φροντίδος ἐποιοῦντο τὸν χρησμόν, οὐδὲ ἄλλο τι θηρίον οὕτω μέγα καὶ ἄλκιμον ἔσεσθαι νομίζοντες ὡς ἑλεῖν σφίσι τὴν πόλιν, συὶ δὲ θρασύτητος μετεῖναι μᾶλλον ἢ ἰσχύος.* (10) *ἐπεὶ δὲ ἐδόκει τῶι θεῶι, σύνεβαινέ σφισι τοιάδε. ποιμὴν περὶ μεσοῦσαν μάλιστα τὴν ἡμέραν ἐπικλίνων αὐτὸν πρὸς τοῦ Ὀρφέως τὸν τάφον, ὁ μὲν ἐκάθευδεν ὁ ποιμήν, ἐπήιει δέ οἱ καὶ καθεύδοντι ἔπη τε ἄιδειν τῶν Ὀρφέως καὶ μέγα καὶ ἡδὺ φωνεῖν. οἱ οὖν ἐγγύτατα νέμοντες ἢ καὶ ἀροῦντες ἕκαστοι τὰ ἔργα ἀπολείποντες ἠθροίζοντο ἐπὶ τοῦ ποιμένος τὴν ἐν τῶι ὕπνωι ὠιδήν· καί ποτε ὠθοῦντες ἀλλήλους καὶ ἐρίζοντες ὅστις ἐγγύτατα ἔσται τῶι ποιμένι ἀνατρέπουσι τὸν κίονα, καὶ κατεάγη τε ἀπ' αὐτοῦ πεσοῦσα ἡ θήκη καὶ εἶδεν ἥλιος ὅ τι ἦν τῶν ὀστῶν τοῦ Ὀρφέως λοιπόν.* (11) *αὐτίκα δὲ ἐν τῆι ἐπερχομένηι νυκτὶ ὅ τε θεὸς κατέχει πολὺ ἐκ τοῦ οὐρανοῦ τὸ ὕδωρ καὶ ὁ ποταμὸς ὁ Σῦς — τῶν δὲ περὶ τὸν Ὄλυμπον χειμάρρων καὶ ὁ Σῦς ἐστι —, τότε οὖν οὗτος ὁ ποταμὸς κατέβαλε μὲν τὰ τείχη Λιβηθρίοις, θεῶν* ⟨*δὲ* suppl. Musurus⟩ *ἱερὰ καὶ οἴκους ἀνέτρεψεν ἀνθρώπων, ἀπέπνιξε δὲ τούς τε ἀνθρώπους καὶ τὰ ἐν τῆι πόλει ζῶια ὁμοίως τὰ πάντα. ἀπολλυμένων δὲ ἤδη Λιβηθρίων, οὕτως οἱ ἐν Δίωι Μακεδόνες κατά γε τὸν λόγον τοῦ Λαρισαίου ξένου ἐς τὴν ἑαυτῶν τὰ ὀστᾶ κομίζουσι τοῦ Ὀρφέως.* Quae Archelao regnante evenisse ex Diodoro XVII 16, 3 verisimile fit, Robert *Heldens.* I 409 n. 3.

130. Antigon. Caryst. (Paradoxogr. ed. Westerm. p. 62) 5 *ὁ δὲ Μυρσίλος ὁ τὰ Λεσβιακὰ συγγεγραφὼς* (FHG IV 459 fr. 8) *φησίν, τῆς Ἀντισσαίας, ἐν ὧι τόπωι μυθολογεῖται καὶ δείκνυται δὲ ὁ τάφος ὑπὸ τῶν ἐγχωρίων τῆς τοῦ Ὀρφέως κεφαλῆς, τὰς ἀηδόνας εἶναι εὐφωνοτέρας τῶν ἄλλων.* Pausan. IX 30, 6 *λέγουσι δὲ οἱ Θρᾶικες, ὅσαι τῶν ἀηδόνων ἔχουσι*

νεοσσιάς ἐπὶ τῶι τάφωι τοῦ Ὀρφέως, ταύτας ἥδιον καὶ μεῖζόν τι ᾄδειν.

131. Phanocles nr. 77. Vergil. Georg. IV 523 *tum quoque, marmorea caput a cervice revulsum gurgite cum medio portans Oeagrius Hebrus volveret, Eurydicen vox ipsa et frigida lingua, o miseram Eurydicen! anima fugiente vocabat, Eurydicen toto referebant flumine ripae.* Ovid. Metam. XI nr. 132 cum Ehwaldii commentario ad vs. 50. De S. Titi et S. Mauritii capitibus nantibus v. Luebeck *Adoniskult und Christentum auf Malta* 46 n. 1 et Robert *Heldens.* I 407 n. 2.

132. Ovid. Metam. XI 50 *membra iacent diversa locis, caput, Hebre, lyramque excipis: et (mirum!) medio dum labitur amne, flebile nescio quid queritur lyra, flebile lingua, murmurat exanimis, respondent flebile ripae. iamque mare invectae flumen populare relinquunt et Methymnaeae potiuntur litore Lesbi: hic ferus expositum peregrinis anguis harenis os petit et sparsos stillanti rore capillos. tandem Phoebus adest morsusque inferre parantem arcet et in lapidem rictus serpentis apertos congelat et patulos, ut erant, indurat hiatus.* V. Phanocles nr. 77 et Vergil. nr. 131.

133. Hygin. Astron. II 7 *cuius caput in mare de monte perlatum, fluctibus in insulam Lesbum est reiectum; quod ab his sublatum et sepulturae est mandatum. pro quo beneficio ad musicam artem ingeniosissimi existimantur esse.*

134. Philostrat. Heroic. V 3 (II 172, 12 Kays.) *Λέσβου δὲ ὀλίγον ἀπεχούσης τοῦ Ἰλίου στέλλειν ἐς τὸ ἐκεῖ μαντεῖον τοὺς Ἕλληνας. ἔχρα δέ, οἶμαι, ἐξ Ὀρφέως, ἡ κεφαλὴ γὰρ μετὰ τὸ τῶν γυναικῶν ἔργον ἐς Λέσβον κατασχοῦσα ῥῆγμα τῆς Λέσβου ᾤκησε καὶ ἐν κοίληι τῆι γῆι ἐχρησμώιδει. ὅθεν ἐχρῶντό τε αὐτῆι τὰ μαντικὰ Λέσβιοί τε καὶ τὸ ἄλλο πᾶν Αἰολικὸν καὶ Ἴωνες Αἰολεῦσι πρόσοικοι, χρησμοὶ δὲ τοῦ μαντείου τούτου καὶ ἐς Βαβυλῶνα ἀνεπέμποντο, πολλὰ γὰρ καὶ ἐς τὸν ἄνω βασιλέα ἡ κεφαλὴ ᾖδε, Κύρωι τε τῶι ἀρχαίωι χρησμὸν ἐντεῦθεν ἐκδοθῆναι λέγεται· ‘τὰ ἐμά, ὦ Κῦρε, σά’, καὶ ὁ μὲν οὕτως ἐγίγνωσκεν, ὡς Ὀδρύσας τε καὶ τὴν Εὐρώπην καθέξων, ἐπειδὴ Ὀ. ποτε μετὰ τοῦ σοφοῦ καὶ δυνατὸς γενόμενος ἀνά τε Ὀδρύσας ἴσχυσεν ἀνά τε Ἕλληνας, ὁπόσοι τελεταῖς ἐθείαζον, ὁ δ’ οἶμαι, τὰ ἑαυτοῦ πείσεσθαι ἐδήλου τὸν Κῦρον· ἐλάσας γὰρ Κῦρος ὑπὲρ ποταμὸν Ἴστρον* (sic!) *ἐπὶ Μασσαγέτας τε καὶ Ἰσσηδόνας — τὰ δὲ ἔθνη ταῦτα Σκύθαι — ἀπέθανέ τε ὑπὸ γυναικός, ἣ τούτων ἦρχε τῶν βαρβάρων, καὶ ἀπέτεμεν ἡ γυνὴ τὴν Κύρου*

κεφαλήν, καθάπερ αἱ Θρᾷτται τὴν Ὀρφέως. τοσαῦτα, ξένε, περὶ τοῦ μαντείου τούτου Πρωτεσίλεώ τε καὶ Λεσβίων ἤκουσα. X 7, (II 181, 17) *πόλις Αἰολὶς Αντισσὸς ᾠκεῖτο τειχήρης τὴν φύσιν καὶ οὐδὲ ἀτείχιστος, ἧι φασι τὴν Ὀρφέως προσενεχθῆναι λύραν καὶ δοῦναί τινα ἠχὴν ταῖς πέτραις, καὶ μεμούσωνται ἔτι καὶ νῦν τῆς Ἀντίσσου τὰ περὶ τὴν θάλατταν ὑπ᾽ ᾠδῆς τῶν πετρῶν.* Vita Apollon. Tyan. IV 14 (I 133, 27 Kays.) *παρῆλθε καὶ ἐς τὸ τοῦ Ὀρφέως ἄδυτον προσορμισάμενος τῆι Λέσβωι. φασὶ δὲ ἐνταῦθά ποτε τὸν Ὀρφέα μαντικῆι χαίρειν, ἔστε τὸν Ἀπόλλω ἐπιμεμελῆσθαι αὐτόν. ἐπειδὴ γὰρ μήτε ἐς Γρύνειον ἐφοίτων ἔτι ὑπὲρ χρησμῶν ἄνθρωποι μήτε ἐς Κλάρον μήτ᾽ ἔνθα ὁ τρίπους ὁ Ἀπολλώνειος, Ὀ. δὲ ἔχρα μόνος ἄρτι ἐκ Θρᾴκης ἡ κεφαλὴ ἥκουσα, ἐφίσταταί οἱ χρησμωιδοῦντι ὁ θεὸς καὶ 'πέπαυσο' ἔφη 'τῶν ἐμῶν, καὶ γὰρ δὴ* ⟨*καὶ* add. Kays.⟩ *ἄιδοντά σε ἱκανῶς ἤνεγκα'.* De imagine vasculi Attici ad Orphei caput vaticinans relata Robert *Archaeol. Jahrb.* XXXII 1917, 146; Kern *Orph.* 9.

135. Aristid. XXIV 55 p. 70, 7 K. *ἄνδρες Λέσβιοι, ποῖ προήχθητε; οἳ φατὲ μὲν τὴν νῆσον ἅπασαν ὑμῖν εἶναι μουσικὴν καὶ τούτου τὴν Ὀρφέως κεφαλὴν αἰτιᾶσθε, αὐτοὶ δὲ οὐκ αἰσχύνεσθαι οὕτως ἀμούσως διακείμενοι;* V. nrr. 118. 119. 133. 134 etc.

LYRA INTER SIDERA CONSTITUTA.

136. Ps.-Eratosth. 24 v. nrr. 57. 113. Schol. Arat. 269 p. 394, 6 Maaß *καὶ μετὰ θάνατον αὐτοῦ τὴν λύραν αἱ Μοῦσαι ἔδωκαν Μουσαίωι ἀξιώσαντι* (fort. *ἀξιώσασαι* Robert) *τὸν Δία, ὅπως αὐτοῦ μνημόσυνον εἴη ἐν τοῖς ἄστροις.* Schol. Germ. BP 84 (Robert Eratosthen. p. 140) *eiusque lyram Musaeo dederunt Iovemque rogavere, ut eius memoriam astris inferret.* Hygin. Astron. II 7 (Robert p. 141) *Musas autem collecta membra sepulturae mandasse et lyram quo maxime potuerunt beneficio, illius memoriae causa figuratam stellis inter sidera constituisse Apollinis et Iovis voluntate quod* (V] *quorum* DG) *O. Apollinem maxime laudarat* (Bunte] *laudaret* libri); *Iupiter autem filio* (GV] *filiae* D) *beneficium concessit.* Manil. I 324 *at Lyra diductis* (Scal.] *deductis* O) *per caelum cornibus inter sidera conspicitur, qua quondam ceperat O. omne quod attigerat cantu manesque per ipsos fecit iter domuitque infernas carmine leges.* V 325 *nunc surgente Lyra testudinis enatat undis forma per heredem tantum post fata sonantis, qua quondam somnumque feris* (Bentl.] *ferens* O) *Oeagrius O. et sensus scopulis et silvis addidit aures et Diti*

lacrimas et morti denique finem. Avien. 618 *est chelys illa dehinc, tenero quam lusit in aevo Mercurius, curva religans testudine chordas, ut Parnaseo munus memorabile Phoebo formaret nervis opifex deus. hanc ubi rursum concentus superi complevit pulcher Apollo, Orphea Pangaeo docuit gestare sub antro. hic iam fila novem docta in modulamina movit Musarum ad speciem Musa satus, ille repertor carmina Pleiadum numero deduxerat. at cum inpia Bassaridum carpsisset dextera vatem et devota virum tegerent Libethra* (*Libenthra* V) *peremptum, intulit hanc caelo miseratus Iupiter artem praestantis iuvenis, pecudes qui et flumina vates flexerat. at nixi qua semet sidera ponto sustollunt, laevum propter chelys haec femur adstat* (v. nr. 57). *advolat ast aliud latus ales et ora canoros tenditur ad nervos, media est lyra sede dicata, cygneo capiti et curvo contermina signo.* V. etiam Ps.-Lucian. De astrologia 10 nr. 107.

137. Hygin. Astron. II 6 de signo *Engonasin: alii autem Thamyrim a Musis excaecatum, ut supplicem ad genua iacentem dicunt; alii Orphea a Thraciis mulieribus interfici, quod viderit Liberi patris initia* v. nr. 94.

Apud inferos post mortem (v. etiam nrr. 59—67. 69—75).

138. Platon. Apolog. 41 a *εἰ γάρ τις ἀφικόμενος εἰς Ἅιδου, ἀπαλλαγεὶς τουτωνὶ τῶν φασκόντων δικαστῶν εἶναι, εὑρήσει τοὺς ὡς ἀληθῶς δικαστάς, οἵπερ καὶ λέγονται ἐκεῖ δικάζειν, Μίνως τε καὶ Ῥαδάμανθυς καὶ Αἰακὸς καὶ Τριπτόλεμος καὶ ἄλλοι ὅσοι τῶν ἡμιθέων δίκαιοι ἐγένοντο ἐν τῶι ἑαυτῶν βίωι, ἆρα φαύλη ἂν εἴη ἡ ἀποδημία; ἢ αὖ Ὀρφεῖ συγγενέσθαι καὶ Μουσαίωι καὶ Ἡσιόδωι καὶ Ὁμήρωι ἐπὶ πόσωι ἄν τις δέξαιτ' ἂν ὑμῶν;* Procl. Resp. II 312, 16 et 328, 19 Kr.; v. Sympos. 179 d nr. 60.

139. Plato Respubl. X 620 a *ἰδεῖν μὲν γὰρ ψυχὴν ἔφη* (Er) *τήν ποτε Ὀρφέως γενομένην κύκνου βίον αἱρουμένην, μίσει τοῦ γυναικείου γένους διὰ τὸν ὑπ' ἐκείνων θάνατον οὐκ ἐθέλουσαν ἐν γυναικὶ γεννηθεῖσαν γενέσθαι,* v. Procl. in Remp. II 314, 11 Kr. et II 102, 28 Kr. *ἐν μὲν γὰρ τοῖς κολαζομένοις ὁ Ἀρδιαῖος παρείληπται, τῶν τις τυραννικῶς βεβιωκότων, ἐν δὲ* | [103 Kr.] *ταῖς αἱρέσεσι τῶν ψυχῶν οἱ Ὀρφεῖς, οἱ Αἴαντες, οἱ Ὀδυσσεῖς.*

TEMPLA.

140. In Lesbo: Philostrat. Apollon. Tyan. IV 14 nr. 134 *Ὀρφέως ἄδυτον* v. etiam nr. 118. Legem sacram Eresiam ap. Ziehenium n. 117 ad Orphei fanum pertinere Eitrem *Beitr. z. griech. Religionsgesch.* III 1920, 41 sine ulla causa coniecisse videtur nec plus valet mensis *Ὄρφειος* in tit. Magnet. n. 52, 38 a me illatus; nam [*Τ*]*ερφείωι* legendum esse evicit Bechtel *Aeolica Halle* 1909, 62. In Pieriae Libethris Conon f. 45, v. nr. 115.

SIMULACRA (v. nrr. 1. 78. 107).

141. Titulus saec. II/III p. Chr. ad Haemi radices repertus *Bull. corr. hell.* II 1878, 401 (Kaibel *Rhein. Mus.* XXXIV 1879, 212; R. Schoell Satura phil. H. Sauppio oblata 180). *Τήρη⟨ς⟩ Πα⟨ί⟩ων ⟨ὧδε τὸν⟩ Ἀπόλλωνος ἑταῖρον Ὀρφέα δαιδαλέης θῆκεν ἄγαλμα τέχνης· ὃς θῆρας καὶ δένδρα καὶ ἑρπετὰ καὶ πετεηνὰ φωνῆι καὶ χειρῶν κοίμισεν ἁρμονίηι.*

1 *ΤΗΡΗ ΕΠΑ ΙΩΝΙ* lapis; em. vestigia A. Dumontii *Bull.* l. l. premens et suppl. *ὧδε τὸν* Schoell. Ad vs. 3 Orph. Argonaut. 74 *κηλήσω δέ τε θῆρας ἰδ' ἑρπετὰ καὶ πετεηνά.*

142. In Helicone Pausan. IX 30, 4 *Ὀρφεῖ δὲ τῶι Θραικὶ πεποίηται μὲν παρεστῶσα αὐτῶι Τελετή* (cf. IG IV 676; Kern *Orph.* 50 n. 5), *πεποίηται δὲ περὶ αὐτὸν λίθου τε καὶ χαλκοῦ θηρία ἀκούοντα ἄιδοντος.* Callistrat. 7 *ἔκφρασις εἰς τὸ τοῦ Ὀρφέως ἄγαλμα* p. 58 Schenkl-Reisch: *ἐν τῶι Ἑλικῶνι, τέμενος δὲ τῶν Μουσῶν σκιερὸν ὁ χῶρος, παρὰ τοὺς Ὀλμειοῦ τοῦ ποταμοῦ ῥύακας καὶ τὴν ἰοειδέα Πηγάσου κρήνην Ὀρφέως ἄγαλμα τοῦ τῆς Καλλιόπης παρὰ τὰς Μούσας εἱστήκει ἰδεῖν μὲν κάλλιστον . . .* | [59, 15] *ὑπὸ δὲ τῶν ποδῶν τὴν βάσιν οὐκ οὐρανὸς ἦν τυπωθεὶς οὐδὲ Πλειάδες τὸν αἰθέρα τέμνουσαι οὐδὲ Ἄρκτου περιστροφαὶ τῶν Ὠκεανοῦ λουτρῶν ἄμοιροι, ἀλλ' ἦν πᾶν μὲν τὸ ὀρνίθων γένος πρὸς τὴν ὠιδὴν ἐξιστάμενον, πάντες δὲ ὄρειοι θῆρες καὶ ὅσον ἐν θαλάττης μυχοῖς νέμεται καὶ ἵππος ἐθέλγετο ἀντὶ χαλινοῦ τῶι μέλει κρατούμενος καὶ βοῦς ἀφεὶς τὰς νομὰς τῆς λυρωιδίας ἤκουε καὶ λεόντων ἄτεγκτος φύσις πρὸς τὴν ἁρμονίαν κατηυνάζετο. εἶδες ἂν καὶ ποταμοὺς τυποῦντα τὸν χαλκὸν ἐκ πηγῶν ἐπὶ τὰ μέλη ῥέοντας καὶ κῦμα θαλάσσης ἔρωτι τῆς ὠιδῆς ὑψούμενον καὶ πέτρας αἰσθήσει πληττομένας μουσικῆς καὶ πᾶσαν βλάστην ὥριον ἐξ ἠθῶν ἐπὶ τὴν μοῦσαν τὴν Ὀρφικὴν σπεύδουσαν.*

143. Olympiae Paus. V 26, 3 in Micythi Rhegini anathemate *παρὰ δὲ τοῦ Ἀγῶνος τὴν εἰκόνα Διόνυσος καὶ ὁ Θρᾷξ ἐστιν Ὀ. καὶ ἄγαλμα Διός* (Dittenberger-Purgold *Inschr. v. Olympia* 267—269). Kern *Orph.* 4; E. Preuner *Archaeolog. Jahrb.* XXXV 1920, 59 v. nr. 30.

144. In Pieriae Libethris Plut. Alex. 14 *ἐπεὶ δὲ (Ἀλέξανδρος) ὥρμησε πρὸς τὴν στρατείαν, ἄλλα τε δοκεῖ σημεῖα παρὰ τοῦ δαιμονίου γενέσθαι, καὶ τὸ περὶ Λείβηθρα τοῦ Ὀρφέως ξόανον (ἦν δὲ κυπαρίττινον) ἱδρῶτα πολὺν ὑπὸ τὰς ἡμέρας ἐκείνας ἀφῆκε.* Arrian. Anab. I 11, 2 *καὶ ἐν τούτωι ἀγγέλλεται τὸ Ὀρφέως τοῦ Οἰάγρου τοῦ Θρακὸς ἄγαλμα τὸ ἐν Πιερίδι ἱδρῶσαι ξυνεχῶς.* Ps.-Callisth. (Aesopus) I 42, 6. 7 p. 47 Muell. ∾ Iul. Valer. I 46 p. 56 Kue. *(Ἀλέξανδρος) παραγίνεται οὖν εἰς τὴν Πιερίαν πόλιν τῆς Βεβρυκίας* (*Ἱππορίαν* B] *Ἱππερίαν τῆς Εὐρικίας* M), *ἔνθα ἦν ναὸς καὶ ἄγαλμα τοῦ Ὀρφέως καὶ αἱ Πιερίδες Μοῦσαι καὶ τὰ θηρία αὐτῶν περιεστῶτα τὰ ξόανα. Βλέποντος δὲ τοῦ Ἀλεξάνδρου εἰς τὸ ἄγαλμα τοῦ Ὀρφέως, ἵδρωσε τὸ ξόανον αὐτοῦ ὅλον. Τοῦ δὲ Ἀλεξάνδρου ζητοῦντος τί τὸ σημεῖον τοῦτο, λέγει αὐτῶι Μελάμπους ὁ σημειολύτης· ‘Καμεῖν ἔχεις, Ἀλέξανδρε βασιλεῦ, μετὰ ἱδρώτων καὶ κόπων* (7) *τὰ τῶν βαρβάρων ἔθνη τὰς καὶ τῶν Ἑλλήνων πόλεις καθυποτάσσων. Ὥσπερ γὰρ ὁ Ὀ. λυρίζων καὶ ἄιδων Ἕλληνας ἔπεισε, βαρβάρους ἔτρεψε* (cf. nr. 111), *τοὺς θῆρας ἡμέρωσεν, οὕτω καὶ σὺ κοπιάσας δόρατι πάντας ὑποχειρίους ποιήσεις.’* Baege De Macedon. sacr. 183.

145. Theris (Taygeti) in fano Cereris Eleusiniae Pausan. III 20, 5 *καὶ Ὀρφέως ἐστὶν ἐν αὐτῶι ξόανον, Πελασγῶν ὥς φασιν ἔργον.* Wide *Lakon. Kulte* 295.

De nummis Alexandrinis et Thraciis v. B. Pick *Archaeol. Jahrb.* XIII 1898, 135 tab. X (nr. 33); de gemmis Furtwaengler *Antike Gemmen* II p. 69. 309.

146. Romae ad lacum Orphei (Huelsen-Jordan *Topogr. der Stadt Rom* I 3, 345; Richter *Topographie von Rom*² 308. 333) Martial. X 19, 4 *brevis est labor peractae altum vincere tramitem Suburae. Illic Orphea protinus videbis udi vertice lubricum theatri, mirantesque feras avemque regis, raptum quae Phryga pertulit Tonanti* (i. e. Ganymedem).

De picturis Orphea repraesentantibus v. nrr. 30. 38. 55. 69 (Polygnoti Necyia). 107; de anaglypho celeberrimo nr. 59.

Deus.

147. Tertullian. De anim. 2 p. 301 Reiff.-Wiss. *plerosque auctores etiam deos existimavit antiquitas, nedum divos . . . ut Orpheum, ut Musaeum, ut Pherecydem Pythagorae magistrum.* Ael. Lampridius Alexand. Sever. 29 (SHA rec. Peter I 248) *matutinis horis in larario* (*solario* exc. Palat.) *suo, in quo et divos principes sed optimos electos et animas sanctiores, in quis Apollonium et, quantum scriptor suorum temporum dicit, Christum, Abraham et Orfeum et huiuscemodi ceteros* (Jordan] *huius ceteros* BP exc.[1], *modi* add. exc.[2], *huiusce deos* M) *habebat ac maiorum effigies, rem divinam faciebat* (Geffcken *Herm.* LV 1920, 282, qui Ael. Lampridium Firmico Materno Mathes. IV prooem. 5 p. 196, 21 Kroll-Skutsch vel alio Neoplatonicorum libro hic usum esse opinatur. Ὀ. ἡμίθεος ap. Athen. XIV 632 c (nr. 46).

Hominum nomina ab Orpheo deducta.

148. Argi: W. Vollgraff *Mnemos. N. S.* XLVII 1919, 253, XXV A 15 in catalogo histrionum II. vel I. a. Chr. saec.: Ὀ. Ὀρφέως Αἰγιράτης.

Sami vel Cyzici: Mordtmann *Athen. Mitt.* X 1885, 19 n. 7 in laterculo aetatis imperator. Roman. Διονύσιος Ὀρφέος.


Adiungendus titulus dubius Maroniae: S. Reinach *Bull. corr. Hell.* V 1881, 90 n. 3 = Munro *Journ. Hell. Stud.* XVI 1896, 320 n. 23 (*cippe orné de palmettes* aetatis Flaviorum) ΟΡΦΕΙΚΑΙΣΙΑΥ. ἡ ἀδελφὴ Φλ. Ἀπολλωνία ὁ δῆμος Φλ. Ῥηγίλλαν ὁ δῆμος. Gruppe ap. Rosch. III 1086.

Hic addo etiam Crameri Anecdot. Oxon. II 293, 32 Ὀρφεύς (v. Ὀρφεος nr. 150)· ἔστιν δὲ ὄνομα ποιητοῦ ὃς διὰ στίχων ἔγραφη τὰ κατὰ Ἡρακλέα (v. nr. 160 a).

Christiana (v. etiam nr. 55).

149. O. Mithrae simillimus lyram in aram ponens in sarcophago Ostiensi nunc Romae in museo Lateranensi asservato (J. Ficker *Altchristliche Bildwerke des Lateran* n. 156) Marucchi *Monum. del museo Christiano Pio-Lateranense* 1910, 19 tav. 25, 2, Leclercq *Manuel d'archéologie Chrétienne* I 1907, 127.

150. Titulus *ΟΡΦΕΟΣ ΒΑΚΚΙΚΟΣ* invenitur in lapide signatorio crucifixum repraesentante, nunc in museo Berolinensi



2 : 1

(O. Wulff *Altchristliche Bildwerke* I 1909, 234 n. 1146 tab. 56) asservato. Edo ex delineatione Mariae Seidel, quam examinavit Curtius Regling.

151. Clem. Alex. Protr. I 3 (I 4, 22 Staeh.) *ἐμοὶ μὲν οὖν δοκοῦσιν ὁ Θράικιος ἐκεῖνος* [*Ὀ.* del. Wilamowitz] *καὶ ὁ Θηβαῖος καὶ ὁ Μηθυμναῖος, ἄνδρες τινὲς οὐκ ἄνδρες, ἀπατηλοὶ γεγονέναι* (*γεγονότες* Reinkens), *προσχήματί* ⟨*τε* add. Wilam.⟩ *μουσικῆς λυμηνάμενοι τὸν βίον, ἐντέχνωι τινὶ γοητείαι δαιμονῶντες εἰς διαφθοράς, ὕβρεις ὀργιάζοντες, πένθη ἐκθειάζοντες, τοὺς ἀνθρώπους ἐπὶ τὰ εἴδωλα χειραγωγῆσαι πρῶτοι, ναὶ μὴν λίθοις καὶ ξύλοις, τουτέστιν ἀγάλμασι καὶ σκιαγραφίαις, ἀνοικοδομῆσαι τὴν σκαιότητα τοῦ ἔθνους, τὴν καλὴν ὄντως ἐκείνην ἐλευθερίαν τῶν ὑπ' οὐρανὸν πεπολιτευμένων ὠιδαῖς καὶ ἐπωιδαῖς ἐσχάτηι δουλείαι καταζεύξαντες.*

152. Clem. Alex. Paedagog. III 11 (I 270, 7 Staeh.) *αἱ δὲ σφραγῖδες ἡμῖν ἔστων πελειὰς ἢ ἰχθὺς ἢ ναῦς οὐριοδρομοῦσα ἢ λύρα μουσική, ἧι κέχρηται Πολυκράτης, ἢ ἄγκυρα ναυτική, ἣν Σέλευκος ἐνεχαράττετο τῆι γλυφῆι* (Euphorion fr. 148 Scheidw.), *κἂν ἁλιεύων τις ἦι, ἀποστόλου μεμνήσεται καὶ τῶν ἐξ ὕδατος ἀνασπωμένων παιδίων.*

153. Euseb. *εἰς Κωνσταντῖν. τ. βασ. τριακονταετηρικός* 14 p. 242, 17 Heik. *Ὀρφέα μὲν δὴ μῦθος Ἑλληνικὸς παντοῖα γένη θηρίων θέλγειν τῆι ὠιδῆι ἐξημεροῦν τε τῶν ἀγρίων τοὺς θυμούς, ἐν ὀργάνωι πλήκτρωι κρουομένων χορδῶν, παραδίδωσιν, καὶ τοῦθ' Ἑλλήνων ᾄδεται χορῶι, καὶ πιστεύεται ἄψυχος λύρα τιθασεύειν τοὺς θῆρας καὶ δὴ καὶ* [*τὰ δένδρα* secl. Heik.] *τὰς φηγοὺς μεταβάλλειν μουσικῆι εἴκοντα. τοιγαροῦν ὁ πάνσοφος καὶ παναρμόνιος τοῦ θεοῦ λόγος ψυχαῖς ἀνθρώπων πολυτρόποις κακίαις*

ὑποβεβλημέναις παντοίας θεραπείας προβαλλόμενος, μουσικὸν ὄργανον χερσὶ λαβών, αὐτοῦ ποίημα σοφίας, τὸν ἄνθρωπον, ᾠδὰς καὶ ἐπωιδὰς διὰ τοῦτο λογικοῖς ἀλλ' οὐκ ἀλόγοις θηρσὶν ἀνεκρούετο, πάντα τρόπον ἀνήμερον Ἑλλήνων τε καὶ βαρβάρων πάθη τε ἄγρια καὶ θηριώδη ψυχῶν τοῖς τῆς ἐνθέου διδασκαλίας φαρμάκοις ἐξιώμενος, καὶ νοσούσαις γε ψυχαῖς ταῖς τὸ θεῖον ἐν γενέσει καὶ σώμασιν ἀναζητούσαις οἷά τις ἰατρῶν ἄριστος συγγενεῖ καὶ καταλλήλωι βοηθήματι θεὸν ἐν ἀνθρώπωι παρίστη.

154. Athanas. cod. Reg. 1993 f. 317 (Migne PG 26, 1320) *καταντλεῖ γάρ σοι γραῦς διὰ κ' ὀβολοὺς ἢ τετάρτην οἴνου ἐπαοιδὴν τοῦ Ὀρφέως* (*ὄφεως* cod.; em. A. Abt *Arch. f. Religionsw.* XII 1909, 412). *Καὶ σὺ ἕστηκας ὡς ὄνος χασμώμενος, φορῶν δὲ ἐπὶ τὸν αὐχένα τὴν ῥυπαρίαν τῶν τετραπόδων, παρακρουσάμενος τὴν σφραγῖδα τοῦ σωτηρίου σταυροῦ. Ἣν σφραγῖδα οὐ μόνον νοσήματα δεδοίκασιν, ἀλλὰ καὶ πᾶν τὸ στῖφος τῶν δαιμόνων φοβεῖται καὶ τέθηπεν. ὅθεν καὶ πᾶς γόης ἀσφράγιστος ὑπάρχει.*

154a. Caesar. Dial. II 76 (Migne PG 38, 993) *εἰ δέ τις ἀκούειν βούλεται τοὺς ἐκείνων* (sc. paganorum) *λήρους, πυθέσθω Ὀρφέως καὶ Ἡσιόδου τῶν συγγραφέων τῆς ἐκείνων μυθοποιίας, ἐμοὶ τοῦ λοιποῦ σιωπᾶν χαριούμενος.* Lob. I 378.

155. Gregor. Nazianzen. Or. in Iulian. XXXIX 680 (Migne PG 36, 340 v. nr. 37) *οὐδὲ Θρᾳκῶν ὄργια ταῦτα, παρ' ὧν καὶ τὸ θρησκεύειν, ὡς λόγος· οὐδὲ Ὀρφέως τελεταὶ καὶ μυστήρια, ὃν τοσοῦτον Ἕλληνες ἐπὶ σοφίαι ἐθαύμασαν, ὥστε καὶ λύραν αὐτῶι ποιοῦσι πάντα τοῖς κρούμασιν ἕλκουσαν.*

156. Hieronymus Presbyter Epigr. 63, 5 in appendice Epigr. Damasi rec. M. Ihm p. 66 *virtus regit omnia Christi, qui varias iunxit uno sub carmine linguas, ut pecudes volucresque deum cognoscere possint.*

157. Procop. Encom. in evangelist. Marcum 5 (Migne PG 100, 1192) *Ὀ. τῶι μύθωι πάντως (πάντα?) θηρία κατακηλῶν τοὺς ὁμοχώρους οὐκ ἔπειθε Θρᾷκας. καίτοιγε πολλῶι ῥέοντες λόγωι καὶ σοφίαι κενῆι βρενθυόμενοι μέθης πάντως διώλοντο, καὶ σιγῆς βυθοῖς συγκατέδυσαν· τοιοῦτον γὰρ ἡ ψευδὴς δόξα καὶ ἀδρανής.*

158. Ioannes Cameniata De excidio Thessalonicae 11 (anni 904 Tafel De Thessalonica 3 ss., 203; Bekk. p. 503, Migne PG 109, 541) *τί γὰρ ἦν πρὸς τοῦτον τὸν ὕμνον ὁ μυθικὸς Ὀ. ἢ ἡ Ὁμηρικὴ Μοῦσα ἢ τὰ τῶν Σειρήνων ληρήματα, τῶι ψεύδει*

τῶν πλασμάτων ἀναγραφόμενα, οἷς λόγος μὲν ἐπαίνων οὐδεὶς ἀληθής, φῆμαι δὲ ψευδεῖς τοὺς ἀνθρώπους πλανῶσαι καὶ πρὸς ἀπάτην ἀνδραποδίζουσαι; V. Krumbacher *Gesch. d. byzantin. Litteratur*² 266 n. 1.

159. Epistolographus aetatis Alexii Comneni (1081—1118) cod. Barocc. 131 in Crameri Anecdot. Oxon. III 183, 24 *καθάπερ ἐν τοῖς ἀπορρέουσι τῶν πηγῶν ὀχετοὶ ἀνάπαλιν· τὰ μὲν διαιρετικὰ γένη πλεονάζει, τὰ δὲ ἑνωτικὰ τάξιν ὑφειμένην ἔλαχεν· εἰ δὲ οἱ ὑπεζωκότες Τιτᾶνες παρ' αὐτοῖς λέγονται· μήποτε ἢ ἐκ τούτων συνιστῶσιν Ἕλληνες τὴν Ὀρφικὴν θεολογίαν αὐτῶν; ἢ ἐξ Ὀρφέως οἱ βάρβαροι μυθοπλαστοῦσι τὴν κατ' αὐτοὺς τερατολογίαν; πολλὰ ἦν καὶ ἄλλα τῶν Χαλδαϊκῶν ληρημάτων εἰπεῖν· ἀλλ' εἰς τέλος ἐπελθεῖν τοῖς διεξοῦσιν ἀμήχανον.* Kroll De orac. Chald. 5.

DISCIPULI:

MIDAS.

160. Conon f. 1 *πρῶτον τὰ περὶ Μίδα καὶ Βριγῶν, ὅπως τε θησαυρῶι περιτυχὼν ἀθρόον τε εἰς πλοῦτον ἤρθη καὶ Ὀρφέως κατὰ Πιέρειαν τὸ ὄρος ἀκροατὴς γενόμενος πολλαῖς τέχναις Βριγῶν βασιλεύει.* Ovid. Metam. XI 92 de Sileno *ad regem duxere Midan, cui Thracius O. orgia tradiderat cum Cecropio Eumolpo.* Clem. Alex. Protr. II 13, 3 (I 12, 9 Staeh.) *εἴτε ὁ Φρὺξ ἐκεῖνος ὁ Μίδας, ὁ παρὰ τοῦ Ὀδρύσου μαθών, ἔπειτα διαδοὺς τοῖς ὑποτεταγμένοις ἔντεχνον ἀπάτην* (Arnob. Adv. nat. II 73). Iustin. Hist. Phil. epit. XI 7, 14 p. 82 Ruehl: *post hunc* (sc. *Gordium*) *filius Mida regnavit, qui ab Orpheo sacrorum sollemnibus initiatus Phrygiam religionibus implevit, quibus tutior omni vita quam armis fuit.* U. Hoefer *Konon* 84; Dieterich *Philolog.* LII 1893, 6 = *Kl. Schr.* 129; Kuhnert ap. Rosch. II 2959; Kern *Herm.* LI 1916, 567. Eodem spectat Strab. X 470 (ex Apollodoro Schwartz *RE*² I 2869, v. nr. 31) *τούτοις* (sc. *τοῖς Φρυγιακοῖς*) *δ' ἔοικε καὶ τὰ παρὰ τοῖς Θραιξὶ τά τε Κοτύτια καὶ τὰ Βενδίδεια, παρ' οἷς καὶ τὰ Ὀρφικὰ τὴν καταρχὴν ἔσχε.*

HERCULES.

160a. Epigr. sepulcrale nr. 123 vs. 3. Hercules (v. nrr. 15. 16. 18. 163. 169). Orphei auditor in pictura Pompeiana Helbig n. 893 *Atlas* tab. X (nr. 38). O. Herculis facta celebrans Claudian. De raptu Proserp. praef. libri II; Robert *Heldens.* I 411.

Eumolpus.

161. Marmor Par. A 27 ep. 15 p. 7 Jacoby ⟨ἀφ' οὗ Εὔμολπος ὁ Μουσαίου τοῦ ὑπ' Ὀρφέως τετελεσμέ⟩νου (suppl. Diels) τὰ μυστήρια ἀνέφηνεν ἐν Ἐλευσῖνι καὶ τὰς τοῦ ⟨πατρὸς Μ⟩ουσαίου ποιήσ⟨ει⟩ς ἐξέθηκε⟨ν ἔτη ΧΗΔ βασιλεύοντος Ἀθηνῶν Ἐρεχθέ⟩ως τοῦ Πανδίονος. Diels II³ 180 n. 8 v. nr. 102.

162. Ovid. Ex Ponto III 3, 39 *pro quibus exilium misero est mihi reddita merces, id quoque* (*idque et* Ries.) *in extremis et sine pace locis. at non Chionides Eumolpus in Orphea talis, in Phryga nec Satyrum talis Olympus erat, praemia nec Chiron ab Achille talia cepit, Pythagoraeque ferunt non nocuisse Numam.* V. etiam Metam. XI 92 nr. 160. Kern *RE*² VI 1119.

Thamyris et Linus.

163. Nicomach. Musici scriptor. Graeci ed. Ian 266, 2 τὴν λύραν τὴν ἐκ τῆς χελώνης φασὶ τὸν Ἑρμῆν εὑρηκέναι καὶ κατασκευάσαντα ἑπτάχορδον παραδεδωκέναι τὴν μάθησιν τῶι Ὀρφεῖ. Ὀ. δὲ ἐδίδαξε Θάμυριν καὶ Λίνον· Λίνος Ἡρακλέα, ὑφ' οὗ καὶ ἀνῃρέθη. ἐδίδαξε δὲ καὶ Ἀμφίονα τὸν Θηβαῖον, ὃς ἐπὶ τῶν ἑπτὰ χόρδων ἑπταπύλους τὰς Θήβας ὠικοδόμησεν. ἀναιρεθέντος δὲ τοῦ Ὀρφέως ὑπὸ τῶν Θρᾳκικῶν γυναικῶν τὴν λύραν αὐτοῦ βληθῆναι (βληθῆναι] ἐκριφῆναι N) εἰς τὴν θάλασσαν, ἐκβληθῆναι δὲ εἰς Ἄντισσαν πόλιν τῆς Λέσβου. εὑρόντας δὲ ἁλιέας ἐνεγκεῖν τὴν λύραν πρὸς Τέρπανδρον, τὸν δὲ κομίσαι εἰς Αἴγυπτον. [εὑρόντα δὲ αὐτὸν secl. Ian] ἐκπονήσαντα ἐπιδεῖξαι τοῖς ἐν Αἰγύπτωι ἱερεῦσιν, ὡς αὐτὸν πρωθευρετὴν γεγενημένον. Τέρπανδρος μὲν οὕτω λέγεται τὴν λύραν εὑρηκέναι, Ἀχαιοὺς δὲ ὑπὸ Κάδμου τοῦ Ἀγήνορος παραλαβεῖν.

164. Linus et O. saepissime componuntur (v. nrr. 8—9. 15. 22. 27) e. g. Verg. Eclog. IV 55 *non me carminibus vincet nec Thracius Orpheus nec Linus, huic mater quamvis atque huic pater adsit, Orphei Calliopea, Lino formosus Apollo.* Nemesianus Buc. I 24 *namque fuit dignus senior, quem carmine Phoebus, Pan calamis, fidibus Linus aut Oeagrius O. concinerent totque acta viri laudesque sonarent*; Nonn. Dionys. XLI 375 Ὀ. μυστιπόλοιο θεηγόρα χεύματα μολπῆς καὶ Λίνος ἐνέπίεν Φοιβήιος. Contra Linus Orphei magister Diod. III 67, 2 nr. 43. De Orphei carmine Σφαῖρα εἰς τὸν Λίνον v. P. II s. Σφαῖρα.

165. Tzetz. Exeges. in Iliad. 17, 9 Herm. Linus docet *προσέτι δὲ Ὀρφέα καὶ Προναπίδην* (v. etiam 14, 12 Herm.). *ὧν ὁ μὲν Ὀ. Μουσαίου διδάσκαλος γίνεται· ὁ δὲ Προναπίδης τὸν Ὅμηρον ἐξεπαίδευσεν· ὃς οὐκ ἀρεσθεὶς τοῖς τούτου διδάγμασι, ἐξεδήμησεν καὶ εἰς Αἴγυπτον, ὡς συγγένοιτο καὶ τοῖς ἐκεῖσε σοφοῖς ἐπὶ παιδείαι· ὥσπερ καὶ πρὸ αὐτοῦ Ὀ. καὶ μετ' αὐτὸν ὕστερον ὁ Πυθαγόρας καὶ ἕτεροι. ἐκεῖσε δὲ παιδευόμενος οὐκ ἔστιν ἣν οὐκ ἐντέχνως λογικὴν τέχνην καὶ ἐπιστήμην μεμάθηκεν· οἷον ἰατρικήν, φυσικήν, μουσικήν, γεωμετρίαν, ἀστρονομίαν, οἰωνοσκοπίαν καὶ τὴν παρὰ τῶι Ὀρφεῖ μεγαλεγκωμίαστον μαγικήν* (*Λιθικά?* Lob. I 751) *καὶ ἁπλῶς εἰπεῖν, ὅσα ἡ τούτου ποίησις αὐτὸν ἡμῖν εἰδέναι ὑποδεικνύει* v. nr. 86.

Musaeus.

166. Suidas *Μουσαῖος Ἐλευσίνιος ἐξ Ἀθηνῶν υἱὸς Ἀντιφήμου τοῦ Εὐφήμου τοῦ Ἐκφάντου τοῦ Κερκυόνος, ὃν κατεπολέμησεν ὁ Θησεύς, καὶ Σελήνης* (*ἑλήνης* I V] *ἑλένης* BE [A?]) *γυναικός. ἐποποιός, μαθητὴς Ὀρφέως, μᾶλλον δὲ πρεσβύτερος· ἤκμαζε γὰρ κατὰ τὸν δεύτερον Κέκροπα καὶ ἔγραψε Ὑποθήκας Εὐμόλπωι τῶι υἱῶι ἔπη δ' καὶ ἄλλα πλεῖστα.* Hoefer ap. Rosch. II 3235; Diels II³ 179 n. 1; Robert *Heldens.* I 411; v. nrr. 15. 16. 31. 90. 97. 102. 161.

166 a. Pap. Berol. 44 (v. P. II), 4 de Orphei hymnis *οὓς ὀλίγα Μουσαῖος ἐπα⟨νορθώσας κατέγρ⟩αψεν.*

167. Musaeus lyrae Orphei heres nr. 136. Diodor. IV 25, 1 nr. 169. Serv. Aen. VI 667 *theologus fuit iste* (*Musaeus*) *post Orpheum et sunt variae de hoc opiniones: nam eum alii Lunae filium, alii Orphei volunt, cuius eum constat fuisse discipulum; nam ad ipsum primum carmen scripsit quod appellatur Crater*; Diels II³ 180 n. 7; v. P. II s. *Κρατῆρες.*

167 a. Cassiodor. Epist. Theoderic. var. II 40 p. 71, 9 Momms. *Musaeum etiam, et artis Orphei filium et naturae, Maronis* (Aen. VI 667) *praepotens lingua concelebrat.*

168. Ps.-Iustin. Coh. ad Graec. 15 (III 58 Otto) *Ὀ. γοῦν, ὁ τῆς πολυθεότητος ὑμῶν, ὡς ἂν εἴποι τις, πρῶτος διδάσκαλος γεγονώς, οἷα πρὸς τὸν υἱὸν αὐτοῦ Μουσαῖον καὶ τοὺς λοιποὺς γνησίους ἀκροατὰς ὕστερον περὶ ἑνὸς καὶ μόνου θεοῦ κηρύττει λέγων, ἀναγκαῖον ὑπομνῆσαι ὑμᾶς· φθέγξομαι οἷς θέμις ἐστί· θύρας δ' ἐπίθεσθε βέβηλοι πάντες ὁμῶς. σὺ δ' ἄκουε, φαε-*

σφόρου ἔκγονε Μήνης, Μουσαῖ'; v. P. II s. *Διαθῆκαι*. De Musaeo in multis Orphicorum carminibus appellato v. indicem nominum nec non Argonaut. 7 (*λυροεργέ*). 308 (*φίλον τέκος Ἀντιοφήμου*). 858. 1191 (*Μουσαῖε δαΐφρον*). 1347 (*θεηγενές*) et *Εὐχὴν πρὸς Μουσαῖον* 1.

169. Diodor. IV 25, 1 de Hercule (v. nrr. 97. 160 a) *πρὸς δὲ τοῦτον τὸν ἆθλον ὑπολαβὼν συνοίσειν αὐτῶι, παρῆλθεν εἰς τὰς Ἀθήνας καὶ μετέσχε τῶν ἐν Ἐλευσῖνι μυστηρίων, Μουσαίου τοῦ Ὀρφέως υἱοῦ τότε προεστηκότος τῆς τελετῆς.*

170. Pausan. X 7, 2 *Χρυσοθέμιδος δὲ ὕστερον Φιλάμμωνά τε ὠιδῆι μνημονεύουσι νικῆσαι καὶ ἐπ' ἐκείνωι Θάμυριν τὸν Φιλάμμωνος. Ὀρφέα δὲ σεμνολογίαι τῆι ἐπὶ τελεταῖς καὶ ὑπὸ φρονήματος τοῦ ἄλλου καὶ Μουσαῖον τῆι ἐς πάντα μιμήσει τοῦ Ὀρφέως οὐκ ἐθελῆσαί φασιν αὐτοὺς ἐπὶ ἀγῶνι μουσικῆς* (sc. Pythiis) *ἐξετάζεσθαι.*

171. Herm. Phaedr. 244 a p. 88, 24 Couvr. *οὐδένα γὰρ ἐνθουσιασμὸν ἄνευ τῆς ἐρωτικῆς ἐπιπνοίας συμβαίνει γίνεσθαι. ὁρᾶις πῶς Ὀ.* (*ὁ Σωκράτης* A *sed linea transversa deducta superscripsit eadem manus ὀρφεύς* Couvr., *ὁ Ὀρφεύς* Gesn.) *πάσας ἐπιτηδεύσας φαίνεται ὡς δεομένας καὶ ἐχομένας ἀλλήλων· τελεστικώτατον μὲν γὰρ αὐτὸν καὶ μαντικώτατον παρηλείφαμεν καὶ ὑπὸ τοῦ Ἀπόλλωνος κινούμενον, ἔτι ποιητικώτατον, ὃν γε δι' αὐτὸ τοῦτο καὶ Καλλιόπης υἱὸν γενέσθαι φασίν· ἐρωτικώτατός τέ ἐστιν ὡς αὐτὸς λέγων φαίνεται πρὸς τὸν Μουσαῖον καὶ προτείνων αὐτῶι τὰ θεῖα ἀγαθὰ καὶ τελειῶν αὐτόν* (Abel fr. 275).

172. Scholia Vaticana in Dionysii Thrac. artem grammaticam p. 183, 10 Hilg. = Bekk. Anecdot. II 783, 11 *ἔνιοι δὲ Μουσαῖον εὑρετὴν* (sc. *τῶν στοιχείων*) *λέγουσι τὸν Μητίονος καὶ Στερόπης κατ' Ὀρφέα γενόμενον.* Cf. p. 190, 23 ss. Hilg. = Bekk. Anecdot. II 786, 6. O. alphabeti inventor nr. 123.

Musaeus metri dactylici hexametri inventor nr. 201.

De Musaeo cum Mose confuso v. nr. 44.

Musaei fragmenta Kern De Musaei Atheniensis fragmentis Ind. Rostoch. aestiv. 1898; Diels II³ 180—184.

2. DE ORPHICIS ET ORPHEOTELESTIS

Orphici.

Catalogum Orphicorum praebent Clem. Alex. Strom. I 131, 3—5 (II 81, 7 Staeh.) nr. 222 et Suidas nr. 223d haud dubie Epigenem nr. 229 Dionysio Halicarnassense iuniore auctore (Rohde *Rhein. Mus.* XXXIII 1878, 195 n. 1 = *Kl. Schr.* I 151 n. 1 v. nr. 198) secuti, Rohde *Psyche* II⁶ 106 n. 2.

Italiae et Siciliae (Kern *Orph.* 2).

173. Brotinus (v. Nauck. ad Iambl. vit. Pyth. 96, 9) vel Brontinus Metapontinus Pythagoreus (*Πέπλος καὶ τὰ Φυσικά* Clem.; *Πέπλος καὶ Δίκτυον — καὶ Φυσικά* Suid.). Diels I³ 35 n. 7; Ed. Wellmann *RE*² III 890; v. Zopyrum nr. 179.

Cercon v. nr. 13.

174. Cercops Pythagoreus (*Εἰς Ἅιδου κατάβασις* [v. Herodicum nr. 199, Orphea Camarinaeum nr. 176, Prodicum nr. 200] *καὶ ὁ Ἱερὸς λόγος* Clem.; *Ἱεροὶ λόγοι ἐν ῥαψῳδίαις κδ´* Suid. v. etiam s. Theognetus nr. 196). Cf. Diels l. l. n. 5.

175. Nicias Eleata (*Θρονισμοὶ μητρῷοι καὶ Βακχικά* Suid.).

176. Orpheus Camarinaeus *ἐποποιός, οὗ φασὶν εἶναι τὴν εἰς Ἅιδου κατάβασιν* Suid.; v. Cercopem nr. 174; Herodicum nr. 199; Prodicum nr. 200.

177. Orpheus Crotoniates *ἐποποιός, ὃν Πεισιστράτωι συνεῖναι τῶι τυράννωι Ἀσκληπιάδης* (Myrleensis v. Wilamowitz *Hom. Unters.* 261 n. 25; Kaibel in *Abhdl. Goett. Ges. d. W. N. F.* II 4 1898, 25 n. 2. 26) *φησὶν ἐν τῶι ἕκτωι βιβλίωι τῶν Γραμματικῶν· Δωδεκαετηρίδας* (Diels Tzetzam Chiliad. XII 399 vs. 1146 p. 445 K. [Lob. I 424] secutus] *δεκαετηρίδα, δεκαετηρίας, δεκαετηρίαν* codd.), *Ἀργοναυτικὰ καὶ ἄλλα τινά* Suid. Diels II³ 164, 6; v. nr. 189.

178. Timocles Syracusanus *Σωτήρια* Suid. v. Persinum nr. 201.

179. Zopyrus Heracleota (FHG IV 533; Iamblich. vita Pythagor. 190, 5 N. [ex Aristoxeno]; Rohde *Psyche* II⁶ 106 n. 2; Diels *Antike Technik*² 23. 97, qui Z. medio IV. a. Chr. saeculo iuniorem fuisse iure negavit) *Κρατήρ* Clem.; *Κρατῆρες* Suid.; *Πέπλος καὶ Δίκτυον* idem; v. Brotinum et nr. 189.

180. Quibus accedunt et lamellae aureae Orphicae in sepulcris Italiae inferioris repertae, de quibus vide in P. II, et titulus Cymaeus a. 1903 repertus Comparetti *Laminette Orfiche* 47 (Latte De saltationibus Graecor. *RVV* XIII 3, 98); SGDI IV p. 851 n. 2 *οὐ θέμις ἐν|τοῦθα κεῖσθ|αι ⟨ε⟩ἰ μὴ τὸν βε|βαχχευμέ|νον,* quocum Georgius Wissowa confert inscriptionem Romae ad viam Nomentanam inventam quam pro Christiana habuerunt de Rossi et Mommsen: *monumentum Valeri Mercuri et Iulittes, Iuliani et Quintilies Verecundes, libertis libertabusque posterisque eorum at religionem pertinentes meam* CIL VI 10412 = Dessau II 8337. V. etiam quae de Therone Agrigentino et Micytho Rhegiensi *Orph.* 4 (E. Preuner *Archaeol. Jahrb.* XXXV 1920, 62) disputavi.

181. Forsitan quoque Empedocles Agrigentinus philosophi avus inter Orpheotelestas Siculos habendus est (Beloch *Griech. Gesch.* II 1², 238) Athen. I 3e *Ἐμπεδοκλῆς δ' ὁ Ἀκραγαντῖνος ἵπποις Ὀλύμπια νικήσας, Πυθαγορικὸς ὢν καὶ ἐμψύχων ἀπεχόμενος, ἐκ σμύρνης καὶ λιβανωτοῦ καὶ τῶν πολυτελεστάτων ἀρωμάτων βοῦν ἀναπλάσας διένειμε τοῖς εἰς τὴν πανήγυριν ἀπαντήσασιν,* cum Diogen. Laert. VIII 53 *ἐγὼ δὲ εὗρον ἐν τοῖς ὑπομνήμασι Φαβωρίνου* [FHG III 578 fr. 3], *ὅτι καὶ βοῦν ἔθυσε τοῖς θεωροῖς ὁ Ἐ. ἐκ μέλιτος καὶ ἀλφίτων* idem referat ad nepotem.

De Tuscis v. F. Weege *Etruskische Malerei* 1921, 22.

Graeciae.

182. Onomacritus Atheniensis (an Lycomida? Brueckner *Athen. Mitt.* XVI 1891, 203) Herod. VII 6 *Πεισιστρατιδέων οἱ ἀναβεβηκότες ἐς Σοῦσα, τῶν τε αὐτῶν λόγων ἐχόμενοι τῶν καὶ οἱ Ἀλευάδαι, καὶ δή τι πρὸς τούτοισι ἔτι πλέον προσωρέγοντό οἱ* (sc. *τῶι Ξέρξηι*). *ἔχοντες* ⟨*δ'* add. Hude⟩ *Ὀνομάκριτον, ἄνδρα Ἀθηναῖον χρησμολόγον τε καὶ διαθέτην χρησμῶν τῶν Μουσαίου, ἀνεβεβήκεσαν, τὴν ἔχθρην προκαταλυσάμενοι· ἐξηλάσθη γὰρ ὑπὸ Ἱππάρχου τοῦ Πεισιστράτου* (*Πεισιστρατίδεω* ABC) *ὁ Ὀνομάκριτος ἐξ Ἀθηνέων, ἐπ' αὐτοφώρωι ἁλοὺς ὑπὸ Λάσου τοῦ Ἑρμιονέος ἐμποιέων ἐς τὰ Μουσαίου χρησμὸν ὡς αἱ ἐπὶ Λήμνωι* (Krueg.] *Λήμνου* codd.) *ἐπικείμεναι νῆσοι ἀφανιζοίατο* (*ἀφανιοίατο* Krueg.) *κατὰ τῆς θαλάσσης. διὸ ἐξήλασέ μιν ὁ Ἵππαρχος, πρότερον χρεώμενος τὰ μάλιστα. τότε δὲ συναναβὰς ὅκως ἀπίκοιτο ἐς ὄψιν τὴν βασιλέος, λεγόντων τῶν Πεισιστρατιδέων περὶ αὐτοῦ*

σεμνοὺς λόγους κατέλεγε τῶν χρησμῶν· εἰ μέν τι ἐνέοι σφάλμα φέρον τῶι βαρβάρωι, τῶν μὲν ἔλεγε οὐδέν, ὁ δὲ τὰ εὐτυχέστατα ἐκλεγόμενος ἔλεγε, τόν τε Ἑλλήσποντον ὡς ζευχθῆναι χρεὸν εἴη ὑπ' ἀνδρὸς Πέρσεω, τήν τε ἔλασιν ἐξηγεόμενος. οὗτός τε δὴ χρησμωιδέων προσεφέρετο. E. v. Stern *Herm.* LII 1917, 362; Beloch ibidem LV 1920, 312.

183. Tatian. Ad Graec. 41 p. 42, 4 Schw. *Ὁ. δὲ κατὰ τὸν αὐτὸν χρόνον Ἡρακλεῖ γέγονεν, ἄλλως τε καὶ τὰ εἰς αὐτὸν ἐπιφερόμενά φασιν ὑπὸ Ὀνομακρίτου τοῦ Ἀθηναίου συντετάχθαι γενομένου κατὰ τὴν Πεισιστρατιδῶν ἀρχὴν περὶ τὴν πεντηκοστὴν ὀλυμπιάδα* (580/1—577/6; exspectamus ⟨*πέμπτην καὶ*⟩ *πεντηκοστὴν* = 560 Diels II³ 171 n. 11 v. initium loci Tatianei nr. 15). Clem. Alex. Strom. I 21 (II 81, 1 Staeh.) Tatianum maxime secutus ∼ Euseb. Praep. evang. X 11, 30 p. 575 Dind. *καὶ μὴν Ὀνομάκριτος ὁ Ἀθηναῖος, οὗ τὰ εἰς Ὀρφέα φερόμενα ποιήματα λέγεται εἶναι, κατὰ τὴν τῶν Πεισιστρατιδῶν ἀρχὴν περὶ τὴν πεντηκοστὴν ὀλυμπιάδα εὑρίσκεται . . . καὶ τοὺς μὲν ἀναφερομένους εἰς Μουσαῖον χρησμοὺς Ὀνομακρίτου εἶναι λέγουσι* Rohde *Psyche* I⁶ 112 n. 1.

184. *Χρησμοί, οἳ ἀναφέρονται εἰς Ὀνομάκριτον* Suid. s. *Ὀ.* nr. 223 d.

185. Plutarch. De Pyth. orac. XXV 407 b *Ὀνομάκριτοι δ' ἐκεῖνοι καὶ Ἡρόδοτοι καὶ Κιναίθωνες* (Cobet] *κινέσωνες* codd.) *ὅσην αἰτίαν ἠνέγκαντο τῶν χρησμῶν, ὡς τραγωιδίαν αὐτοῖς καὶ ὄγκον οὐδὲν δεομένοις προσθέντες, ἐῶ λέγειν οὐδὲ προσίεμαι* (Wyttenb.] *προσεῖναι* codd.) *τὰς διαβολάς* (Wyttenb.] *μεταβολάς* codd.). Lob. I 334.

186. *Τελεταί· ὁμοίως δέ φασι καὶ ταύτας Ὀνομακρίτου* Suid. s. *Ὀ.* nr. 223 d. Pausan. VIII 37, 5 *παρὰ δὲ Ὁμήρου Ὀνομάκριτος παραλαβὼν τῶν Τιτάνων τὸ ὄνομα Διονύσωι τε συνέθηκεν ὄργια κτλ.* nr. 194. Lob. I 335. 384; Schuster 47; Maxim. Mayer *Giganten und Titanen* 240; Rohde *Psyche* II⁶ 106. 112 n. 3; *N. Heidelb. Jahrb.* VI 1895, 10 = *Kl. Schr.* II 304.

187. *Ὀνομάκριτος ἐν τοῖς Ὀρφικοῖς* Sext. Emp. (nr. 191) Pyrrhon. Hypot. III 30 (I 141 Mutschm.) et Adv. Physicos I 361 (II 287 M.). Pausan. VIII 31, 3 *Ὀνομάκριτός φησιν ἐν τοῖς ἔπεσι* nr. 193; idem IX 35, 5 *κατὰ ταὐτὰ δὲ ἐν ἔπεσίν ἐστι τοῖς Ὀνομακρίτου* nr. 192.

188. Philoponus in Aristot. De anim. A 5 p. 186, 24 Hayd. *λεγομένοις* (*ἐν τοῖς Ὀρφικοῖς καλουμένοις ἔπεσι* ap. Aristotel.)

εἶπεν, ἐπειδὴ μὴ δοκεῖ Ὀρφέως εἶναι τὰ ἔπη, ὡς καὶ αὐτὸς ἐν τοῖς Περὶ φιλοσοφίας (fr. 7 Rose[3]) *λέγει· αὐτου μὲν γάρ εἰσι τὰ δόγματα, ταῦτα δέ φασιν* (DR] *φησιν* Trincavell.) *Ὀνομάκριτον ἐν ἔπεσι κατατεῖναι* (*καταθεῖναι* Cudworth; Lob. I 349 n. *a*). Rohde *Psyche* I[6] 112 n. 1.

189. Tzetza in Aristophan. prooem. *Περὶ κωμωιδίας* Kaibel FCG I 20 (30. 32 et scholium q. d. Plautinum [ed. Ritschl *Die alexandrin. Bibliothek.* etc., *Breslau* 1838 = Opusc. phil. I 1866, 5; Dziatzko *Rhein. Mus.* XLVI 1891, 349; Kaibel 31 n.; Cauer *Grundfragen der Homerkritik*[3] 112]) *καίτοι τὰς Ὁμηρικὰς ἑβδομήκοντα δύο γραμματικοὶ ἐπὶ Πεισιστράτου τοῦ Ἀθηναίων τυράννου διέθηκαν οὑτωσὶ σποράδην οὔσας τὸ πρίν· ἐπεκρίθησαν δὲ κατ' αὐτὸν ἐκεῖνον τὸν καιρὸν ὑπ' Ἀριστάρχου καὶ Ζηνοδότου, ἄλλων ὄντων τούτων τῶν ἐπὶ Πτολεμαίου διορθωσάντων. οἱ δὲ τέσσαρσί τισι τὴν ἐπὶ Πεισιστράτου διόρθωσιν ἀναφέρουσιν, Ὀρφεῖ Κροτωνιάτηι* (nr. 177), *Ζωπύρωι Ἡρακλεώτηι* (nr. 179), *Ὀνομακρίτωι Ἀθηναίωι καὶ Ἐπικογκύλωι.* Quae ex Procli *Χρηστομαθείαι γραμματικῆι,* qui Asclepiadis Myrleensis libro sexto *τῶν Γραμματικῶν* usus est (Suid. nr. 177), hausta esse Kaibel evicit *Abhdl. Goett. Ges. d. W. N. F.* II 4 1898, 26.

190. Ad Hom. Od. λ 602—604 (de Hercule) *εἴδωλον· αὐτὸς δὲ μετ' ἀθανάτοισι θεοῖσιν τέρπεται ἐν θαλίηις καὶ ἔχει καλλίσφυρον Ἥβην παῖδα Διὸς μεγάλοιο καὶ Ἥρης χρυσοπεδίλου*) adnotat schol. *V*[2] (Ludwich) *ἀθετοῦνται καὶ λέγονται Ὀνομακρίτου εἶναι,* ad 604 (= Hesiod. Theogon. 952) schol. *H*[2] *τοῦτον ὑπὸ Ὀνομακρίτου ἐμπεποιῆσθαί φασιν. ἠθέτηται δέ.* Wilamowitz *Hom. Unters.* 199.

De Onomacrito Lob. I 332; C. O. Mueller *Prolegomena* 390 ss.; Ritschl Ersch et Gruber III (1833) 4 = Opusc. philol. I 1866, 238 et nr. 189; C. Eichhoff De Onomacrito comm. I *Progr. Elberfeld* 1840; Bergk *Griech. Literaturgesch.* II 85; Rohde *Psyche* II[6] 111; Malten *Arch. f. Religionsw.* XII 1908, 427; v. etiam Kinkelium (ante nr. 191) p. 240.

Onomacriti fragmenta.

Epicorum graecorum fragmenta coll. Godofr. Kinkel I 1877, 240.

191. [I (Ki. 1) Sext. Empiric. Pyrrhon. Hypotyp. III 30 (I 141 Mutschm.) v. Adv. Physic. I 361 (II 287 M.) *Ὀνομάκριτος*

δὲ ἐν τοῖς Ὀρφικοῖς πῦρ καὶ ὕδωρ καὶ γῆν (sc. εἶπε τὴν πάντων εἶναι ἀρχήν). Cf. Galen. histor. philos. 18 (Doxogr. 610, 15; v. etiam Dielesii Prolegomen. 249). Ausonius in gripho ternarii numeri vs. 74 p. 204 Peip. *Orpheos hinc tripodes, quia sunt tria: terra, aqua, flamma.* Lob. I 386; Ab. fr. 229; Schuster 55 n. 1; Rohde *Psyche* II⁶ p. 112 n. 1; Zeller I⁶ 125 n. 1; Diels II³ 163 ad 9. Falsario ante oculos versatur Heracliti fr. 36 (Diels I³ 85).]

192. II (Ki. 3) Pausan. IX 35, 5 Ἡσίοδος δὲ ἐν Θεογονίαι (vs. 907) — προσιέσθω δὲ ὅτωι φίλον τὴν Θεογονίαν —, ἐν δ' οὖν τῆι ποιήσει ταύτηι τὰς Χάριτάς φησιν εἶναι Διός τε καὶ Εὐρυνόμης καί σφισιν ὀνόματα Εὐφροσύνην τε καὶ Ἀγλαΐαν εἶναι καὶ Θαλίαν. κατὰ ταὐτὰ δὲ ἐν ἔπεσίν ἐστι τοῖς Ὀνομακρίτου. Lob. I 335; Schuster 54 n. 6; Rohde *Psyche* II⁶ 112 n. 1. Hymn. LX 2 θυγατέρες Ζηνός τε καὶ Εὐρυνόμης (Schrader] Εὐνομίης codd.) βαθυκόλπου Ἀγλαΐη Θαλίη τε (Herm.] τε θάλεια codd.) καὶ Εὐφροσύνη πολύολβε.

193. III (Ki. 4) Pausan. VIII 31, 3 de θεῶν ἱερῶι τῶν Μεγάλων Megalopolitano ἔστι δὲ καὶ Ἡρακλῆς παρὰ τῆι Δήμητρι μέγεθος μάλιστα πῆχυν· τοῦτον τὸν Ἡρακλέα (ἡρακλῆν vulgo) εἶναι τῶν Ἰδαίων καλουμένων Δακτύλων Ὀνομάκριτός φησιν ἐν τοῖς ἔπεσι. Lob. I 335; Robert *Heldens.* I 641.

194. IV (Ki. 2) Pausan. VIII 37, 5 παρὰ δὲ Ὁμήρου Ὀνομάκριτος παραλαβὼν τῶν Τιτάνων τὸ ὄνομα Διονύσωι τε συνέθηκεν ὄργια καὶ εἶναι τοὺς Τιτᾶνας τῶι Διονύσωι τῶν παθημάτων ἐποίησεν αὐτουργούς. Ad Τελετάς non ad Theogoniam spectare videtur Rohdio *Psyche* I⁶ 112 n. 3.

195. V (Ki. 5) Pausan. I 22, 7 ἔτι δὲ τῶν γραφῶν (Pinacothecae in arce Athenarum) παρέντι τὸν παῖδα τὸν τὰς ὑδρίας φέροντα καὶ τὸν παλαιστὴν ὃν Τιμαίνετος ἔγραψεν, ἐστὶ Μουσαῖος. ἐγὼ δὲ ἔπη μὲν ἐπελεξάμην, ἐν οἷς ἐστι πέτεσθαί Μουσαῖον ὑπὸ (del. Herwerden) Βορέου (an Ὑπερβορέων?) δῶρον, δοκεῖν δέ μοι πεποίηκεν αὐτὰ Ὀνομάκριτος. Kern De Musaei fragm. Ind. Rostoch. aestiv. 1898, 7. 11 n. XII; Diels II³ 180 n. 5.

Orpheus Arcas (cf. Bacidem Arcadem Kern *RE*² II 2802) s. Κικοναῖος nr. 197.

196. Theognetus Thessalus Ἱεροὶ λόγοι ἐν ῥαψωιδίαις κδ' (cf. etiam s. Cercops nr. 174) Suid.

Thraciae (v. nr. 30 ss.).

197. Orpheus Ciconaeus ἢ Ἀρκάς ⟨ἢ ?⟩ ἐκ Βισαλτίας τῆς Θραικικῆς, ἐποποιός. γέγονε δὲ καὶ οὗτος πρὸ Ὁμήρου, δύο γενεαῖς πρεσβύτερος τῶν Τρωικῶν. ἔγραψε δὲ μυθοποιίαν, ἐπιγράμματα, ὕμνους Suid., v. Eustath. Il. *B* 597 p. 299, 5 καὶ ὅτι Θρᾶικες ἦσαν οἱ ἐπιμεληθέντες τῆς ἀρχαίας μουσικῆς Ὀ. Μουσαῖος καὶ Θάμυρις· καὶ ὅτι ἐν τῆι ἀκτῆι τῆι περὶ τὸν Ἄθων Θάμυρις ὁ Θρᾶιξ ἐβασίλευσε, τῶν αὐτῶν ἐπιτηδευμάτων γενόμενος, ὧν καὶ ὁ Κίκων Ὀ., ὃς Ὀ. τὰ πρῶτα μὲν ἀγυρτεύων διέζη, εἶτα καὶ μειζόνων ἀξιῶν ἑαυτὸν καὶ ὄχλον καὶ δύναμιν περιποιούμενος διεφθάρη ἐξ ἐπισυστάσεως, ἀνὴρ γόης ἀπὸ μουσικῆς τε καὶ μαντικῆς καὶ τῶν περὶ τὰς τελετὰς ὀργιασμῶν (∾ Strab. VII 330 fr. 18 nr. 40).

198. Orpheus Odryses ἐποποιός. Διονύσιος (Halicarnassensis iunior ὁ μουσικός L. Cohn *RE*² V 986 n. 142 v. supra p. 52; de Phaselita cogitat Daub *Stud. zu den Biographika des Suid.* 148; Cohn l. l. 984 n. 136) δὲ τοῦτον οὐδὲ γεγονέναι λέγει· ὅμως ἀναφέρονται εἰς αὐτόν τινα ποιήματα.

De Orpheo Odrysa v. e. g. nrr. 103. 160, Maxim. Tyr. XXXVII 6 p. 432 Hobein Ὀ. ἐκεῖνος ἦν μὲν Οἰάγρου παῖς καὶ Καλλιόπης αὐτῆς, ἐγένετο δὲ ἐν Θράικηι ἐν τῶι Παγγαίωι ὄρει· νέμονται δὲ τοῦτο Θραικῶν οἱ Ὀδρύσαι, ὄρειον γένος, λῃσταὶ καὶ ἄξενοι· ἀλλ' εἵποντό γε Ὀδρύσαι ἑκόντες ἡγεμόνι Ὀρφεῖ, καλῆι κηλούμενοι τῆι ὠιδῆι, Celsum ap. Origin. I 16 (I 68, 7 Koetsch.) θαυμάζω δέ, πῶς Ὀδρύσας μὲν καὶ Σαμοθρᾶικας καὶ Ἐλευσινίους καὶ Ὑπερβορέους ἐν τοῖς ἀρχαιοτάτοις καὶ σοφωτάτοις ἔταξεν ἔθνεσιν ὁ Κέλσος, II 55 (I 178, 16 K.) Ὀρφέα ἐν Ὀδρύσαις cf. 56 p. 180, 1 K. Lob. I 295.

199. Herodicus Perinthius *Εἰς Ἅιδου κατάβασις* Suid. v. Cercopem nr. 174, Orphea Camarinaeum nr. 176, Prodicum nr. 200.

Insularum.

200. Prodicus Samius? *Εἰς Ἅιδου κατάβασις* Clem., quae sola ex Herodici Perinthii carmine eiusdem argumenti nomine *ΗΡΟΔΙΚΟΥ* in *ΠΡΟΔΙΚΟΥ* depravato ethnicoque Σαμίου tum addito orta videtur esse (Tannery *Rev. de philol.* XXI 1897, 192 n. 2). Erravi *Orph.* 18. V. Cercopem nr. 174, Herodicum nr. 199, Orphea Camarinaeum nr. 176.

Asiae.

201. Persinus Milesius quem Obrechtus (v. Lob. I 359; Rohde *Psyche* II[6] 107 n.) non sine veri specie eundem esse putat ac Persinum poetam Eubuli Atarnitae familiarem (Poll. IX 93). *Σωτήρια* Suid. v. Timoclem nr. 178. Mallius Theodor. De metris IV 589, 20 K. *Metrum dactylicum hexametrum inventum primitus ab Orpheo Critias* (nr. 106) *adserit, Democritus* (Diels I[3] 66 n. 16) *a Musaeo, Persinus a Lino, permulti ab Homero* Bergk PLG III[4] 655.

Ignotae originis.

202. Promedon Pausan. in Necyiae Polygnoticae descriptione X 30, 7 (v. nr. 69) *τῶι δένδρωι δὲ τῆι ἰτέαι* (sub qua Orpheus sedet) *κατὰ τὸ ἕτερον μέρος προσανακεκλιμένος ἐστὶν αὐτῆι Προμέδων· εἰσὶ μὲν δὴ οἳ νομίζουσι καθάπερ ἐς ποίησιν ἐπεσῆχθαι τὸ* (*τὸ* Korais] *τοῦ* codd.) *Προμέδοντος ὄνομα ὑπὸ τοῦ Πολυγνώτου, τοῖς δὲ εἰρημένον ἐστὶν ἄνδρα Ἕλληνα ἔς τε τὴν ἄλλην ἅπασαν γενέσθαι φιλήκοον μουσικὴν καὶ ἐπὶ τῆι ὠιδῆι μάλιστα τῆι* (*τοῦ* L[1]) *Ὀρφέως*. C. O. Mueller *Kleine deutsche Schr.* II 403; Robert *Nekyia des Polygnot* 50; Duemmler *Delphika* 20 = *Kl. Schr.* II 145 n. 1; Maaß *Orph.* 65 n. 78; Knapp *Orpheusdarstellungen* 12 n. 3; Kern *Orph.* 18.

Orpheotelestae (v. quoque nrr. 212—219).

203. Plutarch. Apophthegm. Laconic. 224 e *Λεωτυχίδου τοῦ Ἀρίστωνος* (Lacedaemon. rex 491—469) 3 *πρὸς Φίλιππον τὸν Ὀρφεοτελεστὴν παντελῶς πτωχὸν ὄντα, λέγοντα δ' ὅτι οἱ παρ' αὐτῶι μυηθέντες μετὰ τὴν τοῦ βίου τελευτὴν εὐδαιμονοῦσι, 'τί οὖν, ὦ ἀνόητε' εἶπεν 'οὐ τὴν ταχίστην ἀποθνήισκεις, ἵν' ἀναπαύσηι* (*ἅμα παύσηι* Bern.) *κακοδαιμονίαν καὶ πενίαν κλαίων;'* Lob. I 644; C. O. Mueller *Prolegomena* 381; Rohde *Psyche* II[6] 111 n. Eadem res a Diogene Laertio VI 1, 4 de Antisthene narratur (*μυούμενός ποτε τὰ Ὀρφικά, τοῦ ἱερέως εἰπόντος, ὅτι οἱ ταῦτα μυούμενοι πολλῶν ἐν Ἅιδου ἀγαθῶν μετίσχουσι, 'τί οὖν', ἔφη 'οὐκ ἀποθνήισκεις;'*).

204. Athenag. Pro Christian. 4 p. 5, 3 Schw. *Διαγόραι μὲν γὰρ εἰκότως ἀθεότητα ἐπεκάλουν Ἀθηναῖοι, μὴ μόνον τὸν Ὀρφικὸν εἰς μέσον κατατιθέντι λόγον καὶ τὰ ἐν Ἐλευσῖνι καὶ τὰ τῶν Καβίρων δημεύοντι μυστήρια καὶ τὸ τοῦ Ἡρακλέους, ἵνα τὰς*

γογγύλας ἔψοι κατακόπτοντι ξόανον, ἄντικρυς δὲ ἀποφαινομένωι μηδὲ ὅλως εἶναι θεόν.

205. Demosthen. De corona XVIII § 259 de Aeschine *ἀνὴρ δὲ γενόμενος τῆι μητρὶ τελούσηι τὰς βίβλους ἀνεγίγνωσκες καὶ τἄλλα συνεσκευωροῦ, τὴν μὲν νύκτα νεβρίζων* (v. Phot. s. *νεβρίζειν* Lob. I 653) *καὶ κρατηρίζων, καὶ καθαίρων τοὺς τελουμένους κἀπομάττων τῶι πηλῶι καὶ τοῖς πιτύροις, καὶ ἀνιστὰς ἀπὸ τοῦ καθαρμοῦ κελεύων λέγειν 'ἔφυγον κακόν, εὗρον ἄμεινον', ἐπὶ τῶι μηδένα πώποτε τηλικοῦτ' ὀλολύξαι σεμνυνόμενος* (*καὶ ἔγωγε νομίζω· μὴ γὰρ οἴεσθ' αὐτόν, φθέγγεσθαι μὲν οὕτω μέγα, ὀλολύζειν δ' οὐχ ὑπέρλαμπρον*), (260) *ἐν δὲ ταῖς ἡμέραις τοὺς καλοὺς θιάσους ἄγων διὰ τῶν ὁδῶν, τοὺς ἐστεφανωμένους τῶι μαράθωι καὶ τῆι λεύκηι, τοὺς ὄφεις τοὺς παρείας θλίβων καὶ ὑπὲρ τῆς κεφαλῆς αἰωρῶν, καὶ βοῶν εὐοῖ σαβοῖ, καὶ ἐπορχούμενος ὕης ἄττης ἄττης ὕης, ἔξαρχος καὶ προηγεμὼν καὶ κιττοφόρος καὶ λικνοφόρος καὶ τοιαῦθ' ὑπὸ τῶν γραιδίων προσαγορευόμενος, μισθὸν λαμβάνων τούτων ἔνθρυπτα καὶ στρεπτοὺς καὶ νεήλατα, ἐφ' οἷς τίς οὐκ ἂν ὡς ἀληθῶς αὐτὸν εὐδαιμονίσειε καὶ τὴν αὑτοῦ τύχην;* v. etiam § 129.

καὶ ante *καθαίρων* delere mavult Blassius. *ευσάβοι* pr. Σ. *ἡγεμὼν* Aristid. p. 458 Walz (Rhet. Gr. IX). *κιστοφόρος* Harpocrat. s. *κιττοφόρος* et Schol. Patm.

Harpocrat. ad hunc locum s. *ἀπομάττων· οἱ μὲν ἁπλοϊκώτερον ἀκούουσιν ἀντὶ τοῦ ἀποψῶν καὶ λυμαινόμενος, ἄλλοι δὲ περιεργότερον, οἷον περιπλάττων τὸν πηλὸν καὶ τὰ πίτυρα τοῖς τελουμένοις, ὡς λέγομεν ἀπομάττεσθαι τὸν ἀνδριάντα πηλῶι· ἤλειφον γὰρ τῶι πηλῶι καὶ τῶι πιτύρωι τοὺς μυουμένους, ἐκμιμούμενοι τὰ μυθολογούμενα παρ' ἐνίοις, ὡς ἄρα οἱ Τιτᾶνες τὸν Διόνυσον ἐλυμήναντο γύψωι καταπλασάμενοι ἐπὶ τῶι μὴ γνώριμοι γενέσθαι. τοῦτο μὲν οὖν τὸ ἔθος ἐκλιπεῖν, πηλῶι δὲ ὕστερον καταπλάττεσθαι νομίμου χάριν.*

Lob. I 646 ss. 695; Dieterich *Rhein. Mus.* XLVIII 1893, 279 = *Kl. Schr.* 121, qui Aristophanis Nubes 250 ad hos Orphicorum ritus refert (v. fr. 1). Sacra Orphica a Demosthene significata esse negat Rohde *Psyche* II[6] 110 n. 1.

206. Plutarch. Alexand. 2 de Olympiade Alexandri matre *ἕτερος δὲ περὶ τούτων ἐστὶ λόγος, ὡς πᾶσαι μὲν αἱ τῆιδε γυναῖκες ἔνοχοι τοῖς Ὀρφικοῖς οὖσαι καὶ τοῖς περὶ τὸν Διόνυσον ὀργιασμοῖς ἐκ τοῦ πάνυ παλαιοῦ Κλώδωνές τε καὶ Μιμαλλόνες ἐπωνυμίαν ἔχουσαι πολλὰ ταῖς Ἠδωνίσι καὶ ταῖς*

περὶ τὸν Αἷμον Θρήισσαις ὅμοια δρῶσιν, ἀφ' ὧν δοκεῖ καὶ τὸ θρησκεύειν ὄνομα ταῖς κατακόροις γενέσθαι καὶ περιέργοις ἱερουργίαις, ἡ δὲ Ὀλυμπιὰς μᾶλλον ἑτέρων ζηλώσασα τὰς κατοχὰς καὶ τοὺς ἐνθουσιασμοὺς ἐξάγουσα βαρβαρικώτερον ὄφεις μεγάλους χειροήθεις ἐφείλκετο τοῖς θιάσοις, οἳ πολλάκις ἐκ τοῦ κιττοῦ καὶ τῶν μυστικῶν λίκνων παραναδυόμενοι καὶ περιελιττόμενοι τοῖς θύρσοις τῶν γυναικῶν καὶ τοῖς στεφάνοις ἐξέπληττον τοὺς ἄνδρας. De Clodonibus et Mimallonibus Baege De Macedon. sacris. Diss. Hal. XXII 1913, 81. 182; de *θρησκεύειν* nr. 37.

207. Theophrast. Charact. XVI 11 *καὶ ὅταν ἐνύπνιον ἴδηι (ὁ δεισιδαίμων), πορεύεσθαι πρὸς τοὺς ὀνειροκρίτας, πρὸς τοὺς μάντεις, πρὸς τοὺς ὀρνιθοσκόπους, ἐρωτήσων, τίνι θεῶν ἢ θεᾶι εὔχεσθαι δεῖ* (12) *καὶ τελεσθησόμενος πρὸς τοὺς Ὀρφεοτελεστὰς κατὰ μῆνα πορεύεσθαι μετὰ τῆς γυναικὸς (ἐὰν δὲ μὴ σχολάζηι ἡ γυνή, μετὰ τῆς τίτθης) καὶ τῶν παίδων.*

θεῶι ἢ θεᾶι recc. (contra formulam); immo θεῶν [ἢ θεᾶι] vel θεῶν ἢ θύειν ⟨ἢ⟩ scribe. Diels in ed. Theophrasti; *τίνι θεῶν ἢ θεᾶι* II³ 167 n. 16.

208. Andromenides (e Chr. Ienseni litteris ad me datis) ap. Philodem. *Περὶ ποιημάτων* fr. 41 Hausr. (*N. Jahrb. Suppl.* XVII 1889, 257) *ὀ⟩λίγον λόγον οὗτος Ὀρφεοτελεστοῦ τυμπάνωι καὶ παιδαγωγοῦ καλαμίδι προσθείς, ὅτι δεῖ τὰ ψευδορήμονα μὴ ξενόσ⟨τ⟩ομα μόνον ἐγλέγειν ἀλλὰ κάλλιστα· κάλλιστα δ' εἶναι τὰ τὰς συλλαβὰς ⟨ἔ⟩χοντα πολλοῖς γράμμασιν ἐ⟨ς⟩παθημέν⟨ας, ὧν σχο⟩λῆι δράξασθαι ⟨τ⟩ὸ σ⟨τ⟩ό⟨μα⟩ καὶ ῥίπτ⟨ει⟩ν . . .*

An post *δεῖ* exciderit *μή*, interrogat Hausr. *ἐ⟨ς⟩παθημέν⟨ας* rest. Usen. *⟨ὧν σχο⟩λῆι δρ.* Jensen. *⟨εὐη⟩χῆ ἀράξασθαι?* Buechel.

209. Lucian. *Περὶ ὀρχήσεως* 79 *ἡ μέν γε Βακχικὴ ὄρχησις ἐν Ἰωνίαι μάλιστα καὶ ἐν Πόντωι σπουδαζομένη, καίτοι σατυρικὴ οὖσα, οὕτω κεχείρωται τοὺς ἀνθρώπους τοὺς ἐκεῖ, ὥστε κατὰ τὸν τεταγμένον ἕκαστοι καιρὸν ἁπάντων ἐπιλαθόμενοι τῶν ἄλλων κάθηνται δι' ἡμέρας Τιτᾶνας καὶ Κορύβαντας καὶ Σατύρους καὶ βουκόλους ὁρῶντες· καὶ ὀρχοῦνταί γε ταῦτα οἱ εὐγενέστατοι καὶ πρωτεύοντες ἐν ἑκάστηι τῶν πόλεων οὐχ ὅπως αἰδούμενοι, ἀλλὰ καὶ μέγα φρονοῦντες ἐπὶ τῶι πράγματι μᾶλλον ἤπερ ἐπ' εὐγενείαις καὶ λειτουργίαις καὶ ἀξιώμασι προγονικοῖς.* De bubulcis Kern *RE*² III 1013, *Genethliakon f. Robert* 1910, 96. *Βουκόλος* etiam in libello rituali P. II fr. 31 vs. 25.

210. Titulus a Cyriaco Anconitano Perinthi exscriptus, primum editus a Dumontio *Inscriptions et monuments figurés de la Thrace* 1876, 38, integrius a Mommsenio Ephem. epigr. III 1877, 236. 332; Dieterich De hymn. Orph. 6 = *Kl. Schr.* 72. *εὐτυχεῖτε. χρησμὸς Σιβύλλης. ἐπὰν δ' ὁ Βάκχος εὐάσας πλη⟨γήσ⟩ετα⟨ι⟩, τότε αἷμα καὶ πῦρ καὶ κόνις μιγήσεται. Σπέλλιος Εὐῆθις ἀρχιβουκόλος Ἡρακλείδου Ἀλεξάνδρου ἀρχιμυστοῦντος.*

2 *ΠΛΗΣΤΑΠΟΥΕ*· Cyriacus, unde Kaibelius *Rhein. Mus.* XXXIV 1879, 211 vs. 3 *τότε* elicuit; reliquum enucleavit Dieterich 74. *πλησ⟨θήσ⟩ετα⟨ι⟩* priores, v. imprimis R. Schoell Satura Saupp. 1879, 179. Spectat ad Zagrei mortem, de qua vide P. II.

211. Lyd. De mens. IV 2 p. 65, 20 W. *ὁ δὲ Πραιτέξτατος ὁ ἱεροφάντης* (Vettius Pr. † 384 p. Chr.), *ὁ Σωπάτρωι τε τῶι τελεστῆι καὶ Κωνσταντίνωι τῶι αὐτοκράτορι συλλαβὼν ἐπὶ τῶι πολισμῶι τῆς εὐδαίμονος ταύτης πόλεως* (sc. Byzantii) *δύναμιν αὐτὸν* (sc. *Ἰανὸν*) *εἶναί τινα βούλεται ἐφ' ἑκατέρας Ἄρκτου τεταγμένην καὶ τὰς θειοτέρας ψυχὰς ἐπὶ τὸν σεληνιακὸν χορὸν ἀποπέμπειν.* Teuffel-Kroll III⁶ 302 n.; 430, 1.

VITA ORPHICA (Lob. I 244—255; Rohde *Psyche* II⁶ 125).

212. Plato Leg. VI 782 c *τὸ δὲ μὴν θύειν ἀνθρώπους ἀλλήλους ἔτι καὶ νῦν παραμένον ὁρῶμεν πολλοῖς· καὶ τοὐναντίον ἀκούομεν ἐν ἄλλοις, ὅτε οὐδὲ βοὸς ἐτόλμων μὲν* (Schanz] *ἐτολμῶμεν* codd.) *γεύεσθαι, θύματά τε οὐκ ἦν τοῖς θεοῖσι ζῶια, πελανοὶ δὲ καὶ μέλιτι καρποὶ δεδευμένοι καὶ τοιαῦτα ἄλλα ἁγνὰ θύματα, σαρκῶν δ' ἀπείχοντο* (nr. 90) *ὡς οὐχ ὅσιον ὂν ἐσθίειν οὐδὲ τοὺς τῶν θεῶν βωμοὺς αἵματι μιαίνειν, ἀλλὰ Ὀρφικοί τινες λεγόμενοι βίοι ἐγίγνοντο ἡμῶν τοῖς τότε, ἀψύχων μὲν ἐχόμενοι πάντων, ἐμψύχων δὲ τοὐναντίον πάντων ἀπεχόμενοι.*

213. Euripid. Hippolyt. 952 (Diels II³ 165 n. 8) *ἤδη νῦν αὔχει καὶ δι' ἀψύχου βορᾶς σῖτ' ἐκκαπήλευ', Ὀρφέα τ' ἄνακτ' ἔχων βάκχευε πολλῶν γραμμάτων τιμῶν καπνούς.*

σῖτ' ἐκκαπήλευ' sc. *τοῖς ἔξω βεβήλοις* Diels fretus Philostrati Vit. Apollon. I 15 (I 15, 4 Kays.) *τὸν γὰρ σῖτον οἱ δυνατοὶ ξυγκλείσαντες εἶχον, ἵν' ἐκκαπηλευθείη τῆς χώρας, σίτοις καπήλευ'* codd. V. de loco conclamatissimo etiam Wilamowitzii commentarium 225.

214. Diogen. Laert. VIII 33 (Alexander Polyhistor *Φιλοσόφων διαδοχαί*) e Pythagoreo anonymo IV. a. Chr. saeculi (M. Wellmann *Herm.* LIV 1919, 225. 248) *τὴν δ' ἁγνείαν εἶναι διὰ καθαρμῶν καὶ λουτρῶν καὶ περιρραντηρίων καὶ διὰ τοῦ καθαρεύειν ἀπό τε κήδους καὶ λεχοῦς καὶ μιάσματος παντὸς*

καὶ ἀπέχεσθαι βρωτῶν θνησειδίων τε κρεῶν καὶ τριγλῶν καὶ μελανούρων καὶ ᾠῶν καὶ τῶν ᾠιοτόκων ζώιων καὶ κυάμων καὶ τῶν ἄλλων ὧν παρακελεύονται καὶ οἱ τὰς τελετὰς ἐν τοῖς ἱεροῖς ἐπιτελοῦντες. V. etiam Antiphanis *Ὀ.* fr. 180 K. *βύστραν τιν' ἐκ φύλλων τινῶν* collato Hesych. s. *βύστραι· αἱ τῶν λαχάνων ἐνθέσεις. ἔνιοι δὲ τοὺς ἐκ τῶν λαχάνων ψωμούς.* De fabis v. nr. 219.

215. Plutarch. Conviv. sept. sap. 16, 159 c *τὸ δ' ἀπέχεσθαι σαρκῶν ἐδωδῆς, ὥσπερ Ὀρφέα τὸν παλαιὸν ἱστοροῦσι, σόφισμα μᾶλλον ἢ φυγὴ τῶν περὶ τὴν τροφὴν ἀδικημάτων ἐστί.*

216. De lanearum vestium usu repudiando Herodot. II 81 *οὐ μέντοι ἔς γε τὰ ἱρὰ* (Aegyptiorum) *ἐσφέρεται εἰρίνεα οὐδὲ συγκαταθάπτεταί σφι· οὐ γὰρ ὅσιον. ὁμολογέουσι δὲ ταῦτα τοῖσι Ὀρφικοῖσι καλεομένοισι καὶ Βακχικοῖσι, ἐοῦσι δὲ Αἰγυπτίοισι καὶ Πυθαγορείοισι. οὐδὲ γὰρ τούτων τῶν ὀργίων μετέχοντα ὅσιόν ἐστι ἐν εἰρινέοισι εἵμασι θαφθῆναι. ἔστι δὲ περὶ αὐτῶν ἱρὸς λόγος λεγόμενος* (Lob. I 244; Diels I³ 27 n. 1; Zeller I⁶ 64 n. 1, 391 n. 3; Rohde *Psyche* II⁶ 103. 107 et *N. Heidelb. Jahrb.* VI 1895, 10 = *Kl. Schr.* II 304 [contra Maassium]; Maaß *Orph.* 164; Knapp *Orpheusdarstellungen* 1895, 5 n. 4; Kern *Orph.* 3 n. 5; 10). V. nr. 217.

217. Contra (nr. 216) Apuleius Apologia 56 p. 63, 15 Helm *quippe lana, segnissimi corporis excrementum, pecori detracta iam inde Orphei et Pythagorae scitis profanus vestitus est* (*iam inde* defendit Plasberg coll. 54, 15 *iam inde antiquitus XII tabulis; iam inde* ⟨*ab*⟩ Novák). Abt *Apologie des Apuleius von Madaura* 288 (*RVV* IV 2); Pley *De lanae in antiquissim. rit. usu* 96 (*RVV* XI 2).

218. Ad praecepta Orphica pertinere videtur etiam schol. Lucian. 280, 20 Rabe *ἐνταῦθα οἶνος τε πολὺς πρόκειται καὶ τράπεζαι πάντων τῶν τῆς γῆς καὶ θαλάσσης γέμουσαι βρωμάτων πλὴν τῶν ἀπειρημένων ἐν τῶι Μυστικῶι, ῥοιᾶς φημι καὶ μήλου καὶ ὀρνίθων κατοικιδίων καὶ ᾠῶν καὶ θαλαττίων τρίγλης, ἐρυθίνου, μελανούρου, καράβου, γαλεοῦ,* v. nr. 214.

219. Pausan. I 37, 4 *ᾠκοδόμηται δὲ κατὰ τὴν ὁδὸν ναὸς οὐ μέγας καλούμενος Κυαμίτου· σαφὲς δὲ οὐδὲν ἔχω λέγειν εἴτε πρῶτος κυάμους ἔσπειρεν οὗτος εἴτε τινὰ ἐπεφήμισαν* (*ἐπεφήμισαν* Hemsterhuis] *ἐπεφήμησαν* [*ἐπευφήμησαν y*] codd.) *ἥρωα, ὅτι τῶν κυάμων ἀνενεγκεῖν οὐκ ἔστι σφίσιν ἐς Δήμητρα τὴν εὕρεσιν. ὅστις δὲ ἤδη τελετὴν Ἐλευσῖνι εἶδεν ἢ τὰ καλούμενα Ὀρφικὰ* (v. nr. 216 *τοῖσι καλεομένοισι καὶ Βακχικοῖσι*) *ἐπελέξατο,*

οἶδεν ὅ λέγω. Ante Hymn. Orph. in Terram XXVI leguntur verba: *θυμίαμα πᾶν σπέρμα πλὴν κυάμων καὶ ἀρωμάτων.* De fabarum religione Lob. I 251, Wuensch *Frühlingsfest der Insel Malta* 32 et P. II s. *Καθαρμοί.* De aedibus mysticis (*ἱεροὶ οἶκοι*) v. Kern *Orph.* 25 n. 3.

3. DE SCRIPTIS ORPHICIS

220. Athen. IV 164 b. c. e Alexidis Lino (Kock CAF II 345 fr. 135) *βιβλίον ἐντεῦθεν ὅ τι βούλει προσελθὼν γὰρ λαβέ* (*παράλαβε* Erfurdt), *ἔπειτ' ἀναγνώσει πάνυ γε διασκοπῶν ἀπὸ τῶν ἐπιγραμμάτων ἀτρέμα τε καὶ σχολῆι. Ὀ. ἔνεστιν, Ἡσίοδος, τραγωιδίαι, Χοιρίλος, Ὅμηρος, Ἐπίχαρμος, συγγράμματα* (*ἔστ' Ἐπίχαρμος, γράμματα* Herm.) *παντοδαπά.* De Alexidis fabula *Κράτεια ἢ Φαρμακοπώλης* ad Orphica pertinente v. Kaibel *Herm.* XXV 1899, 98; Kern *RE*² XX 1441.

Cf. Euripidis Hippolyt. 952 nr. 213 et Platonis philosophi de Orphei libris testimonium P. II fr. 3.

221. Chronicon Parium (IG XII 5, 444 [Hiller de Gaertringen]); Jacoby *Das Marmor Parium* 7. 68) A 25 ep. 14: *⟨ἀφ' οὗ Ὀ. ὁ Οἰάγρου καὶ Καλλιόπης⟩ υἱὸ⟨ς τ⟩ὴ⟨ν ἑ⟩αυτοῦ πόησιν ἐξ⟨έ⟩θηκε, Κόρης τε ἁρπαγὴν καὶ Δήμητρος ζήτησιν καὶ τὸν αὐτοῦ ⟨εὑρεθέντα ὑπ' αὐτῆς σπόρον καὶ τὸ πλῆ⟩θος τῶν ὑποδεξαμένων τὸν καρπόν, ἔτη ΧΗΔΔΔΓ, βασιλεύοντος Ἀθηνῶν Ἐρεχθέως.*

Multorum virorum doctorum tentamina collegit Iacobyus, e quibus haec eligo: *ἀφ' οὗ — τὴ⟨ν⟩* suppl. Boeckh. *⟨ἑ⟩αυτοῦ* Hiller de Gaertringen. *αὐτοῦ ⟨εὑρεθέντα⟩* nuperrime idem per litteras] *τὸν αὐτου⟨ργηθέντα ὑπ' αὐτῆς σπόρον καὶ τὸ ἐκεῖθεν ἔ⟩θος* Diels ap. H. de G. p. 105, *τὸν αὐτ. σπ. ὃν ἐδίδαξε τὸ πλῆ⟩θος* idem II³ 173 n. 15: *καὶ τὴν αὐτοῦ ⟨κατάβασιν καὶ μύ⟩θο⟨υ⟩ς* Chandl., *τὸν αὐτοῦ ⟨εἰς Ἅιδου καταβαθμὸν καὶ τὸ γῆ⟩θος* Boeckh. qui etiam *καὶ τὸ θεῖον πά⟩θος* proposuit, cum *τὸ πλῆ⟩θος* primus invenerit Wilamowitzius de Triptolemi maxime expeditione cogitans (apud H. de G. p. 105).

222. Clem. Alex. Strom. I 21, 131, 3—5 (II 81, 7 Staeh.) *καὶ τοὺς μὲν ἀναφερομένους εἰς Μουσαῖον χρησμοὺς Ὀνομακρίτου εἶναι λέγουσι, τὸν Κρατῆρα δὲ τὸν Ὀρφέως Ζωπύρου τοῦ Ἡρακλεώτου* (nr. 179) *τήν τε Εἰς Ἅιδου κατάβασιν Προδίκου τοῦ Σαμίου* (nr. 200). *Ἴων δὲ ὁ Χῖος* (nr. 248) *ἐν τοῖς Τριαγμοῖς καὶ Πυθαγόραν εἰς Ὀρφέα ἀνενεγκεῖν τινα ἱστορεῖ. Ἐπιγένης* (nr. 229) *δὲ ἐν τοῖς Περὶ τῆς εἰς Ὀρφέα ποιήσεως Κέρκωπος* (nr. 174) *εἶναι λέγει τοῦ Πυθαγορείου τὴν Εἰς Ἅιδου κατά-*

βασιν καὶ τὸν Ἱερὸν λόγον, τὸν δὲ Πέπλον καὶ τὰ Φυσικὰ Βροντίνου (nr. 173).

Κρατῆρα Canter; *κράτητα* L. *Προδίκου τοῦ Σαμίου*] *Ἡροδίκου τοῦ Περινθίου* rectius Suid. s. *Ὀ.* nr. 223 d; Bergk Opusc. philol. II 38 n. 18 et nr. 200. *Τριαγμοῖς* Reines.] *τριγράμμοις* L. ⟨*ἀναφερομένης*⟩ *ποιήσεως* Ed. Hiller. *Κέρκοπος* L. *πυθαγορίου* L.

De Epigene nr. 229; Epigenis catalogus haud dubie etiam pro fundamento Suidiani (nr. 223 d) habendus est.

223. Suidas (Hesychius Milesius) Diels II³ 163 n. 1:

a) *Ὀ. Καμαριναῖος* nr. 176.

b) *Ὀ. Κικοναῖος ἢ Ἀρκάς* ⟨*ἢ?*⟩ *ἐκ Βισαλτίας τῆς Θραικικῆς* nr. 197.

c) *Ὀ. Κροτωνιάτης* nr. 177.

d) *Ὀ. Λειβήθρων τῶν ἐν Θράικηι* (*πόλις δέ ἐστιν ὑπὸ τῆι Πιερίαι*), *υἱὸς Οἰάγρου καὶ Καλλιόπης· ὁ δὲ Οἴαγρος πέμπτος ἦν ἀπὸ Ἄτλαντος, κατὰ Ἀλκυόνην μίαν τῶν θυγατέρων αὐτοῦ* (A. de Blumenthal Hellanicea 17). *γέγονε δὲ πρὸ ια' γενεῶν τῶν Τρωικῶν, καί φασι μαθητὴν γενέσθαι αὐτὸν Λίνου· βιῶναι δὲ γενεὰς θ'* (v. nrr. 7—9; Rohde *Rhein. Mus.* XXXVI 1881, 387 = *Kl. Schr.* I 8). *οἱ δὲ ια' φασίν.*

ἔγραψε Τριαγμούς (Kuester] *τριασμούς* codd.)· *λέγονται δὲ εἶναι Ἴωνος τοῦ τραγικοῦ. ἐν δὲ τούτοις τὰ Ἱεροστολικὰ καλούμενα. Κλήσεις κοσμικαί* (*κτίσιν κόσμου* Eschenbach Epigenes 199). *Νεωτευκτικά* (*Νεοτευκτικά* codd.: *Ναοτευκτικά* v. Lob. I 375). *Ἱεροὺς λόγους ἐν ῥαψωιδίαις κδ', λέγονται δὲ εἶναι Θεογνήτου τοῦ Θεσσαλοῦ* (nr. 196), *οἱ δὲ Κέρκωπος τοῦ Πυθαγορείου* (nr. 174). *Χρησμούς, οἳ ἀναφέρονται εἰς Ὀνομάκριτον* (nr. 184). *Τελετάς, ὁμοίως δέ φασι καὶ ταύτας Ὀνομακρίτου* (nr. 186). ⟨*Λιθικά* add. Bernhardy⟩· *ἐν τούτοις δ' ἔστι περὶ λίθων γλυφῆς, ἥτις Ὀγδοηκοντάλιθος ἐπιγράφεται. Σωτήρια· ταῦτα Τιμοκλέους τοῦ Συρακουσίου* (nr. 178) *λέγεται ἢ Περσίνου τοῦ Μιλησίου* (nr. 201). *Κρατῆρας· ταῦτα Ζωπύρου* (nr. 179) *φασίν. Θρονισμοὺς μητρώιους καὶ Βακχικά· ταῦτα Νικίου τοῦ Ἐλεάτου φασὶν εἶναι* (nr. 175). *Εἰς Ἅιδου κατάβασιν· ταῦτα Ἡροδίκου τοῦ Περινθίου* (nr. 199). *Πέπλον καὶ Δίκτυον· καὶ ταῦτα Ζωπύρου τοῦ Ἡρακλεώτου* (nr. 179), *οἱ δὲ Βροτίνου* (A] *βροντίνου* IBE, nr. 173). *Ὀνομαστικόν, ἔπη ͵ασ', Θεογονίαν, ἔπη ͵ασ'* (ex Lobone: Croenert *Χάριτες für Friedrich Leo* 1911, 126. 134)· *Ἀστρονομίαν. Ἀμμοσκοπίαν?*

(Diels] *ἀμοκοπίαι* vel *ἀμοκοπίαν* codd.). *Θυηπολικόν*. *Ὠιοθυτικὰ ἢ Ὠιοσκοπικά, ἐπικῶς*. *Καταζωστικόν*. *Ὕμνους*. *Κορυβαντικὸν καὶ Φυσικά, ἃ Βροτίνου φασίν* (A] *βροντίνου* IBE, nr. 173, Croenert l. l. 127. 134).

e) *Ὀ. Ὀδρύσης ἐποποιός* v. nr. 198.

B. Giseke *Rhein. Mus.* VIII 1853, 70. Epigenis vestigia in catalogo d latere patet, v. nrr. 222. 229. De librorum Orphicorum titulis et reliquiis v. P. II.

224. Orphei Argonautica 7—46 *νῦν γάρ σοι, λυροεργέ, φίλον μέλος ἀείδοντι θυμὸς ἐποτρύνει λέξαι, τάπερ οὔποτε πρόσθεν ἔφρασ', ὅταν Βάκχοιο καὶ Ἀπόλλωνος ἄνακτος* 10 *κέντρωι ἐλαυνόμενος φρικώδεα κῆλα πιφαύσκω θνητοῖς ἀνθρώποισιν, ἀκήρατα δ' ὄργια μύσταις· ἀρχαίου μὲν πρῶτα Χάους ἀμέγαρτον Ἀνάγκην καὶ Χρόνον, ὡς ἐλόχευσεν ἀπειρεσίοις ὑπὸ κόλποις Αἰθέρα καὶ διφυῆ περιωπέα κυδρὸν Ἔρωτα* 15 *Νυκτὸς ἀειγνήτης πατέρα κλυτόν, ὅν ῥα Φάνητα ὁπλότεροι καλέουσι βροτοί· πρῶτος γὰρ ἐφάνθη. Βριμοῦς τ' εὐδυνάτοιο γονὰς ἠδ' ἔργ' ἀΐδηλα Γηγενέων οἳ λυγρὸν ἀπ' Οὐρανοῦ ἐστάξαντο σπέρμα γονῆς τό ⟨τε⟩ πρόσθεν ὅθεν γένος ἐξεγένοντο* 20 *θνητῶν, οἳ κατὰ γαῖαν ἀπείριτον αἰὲν ἔασι· θητείαν τε Ζηνὸς ὀρεσσιδρόμου τε λατρείαν μητρός, ἅ τ' ἐν Κυβέλοις ὄρεσιν μητίσατο κούρηι Φερσεφόνηι περὶ πατρὸς ἀμαιμακέτου Κρονίωνος· καὶ †Μήλου τε καὶ Ἡρακλέος περίφημον ἄμυξιν·* 25 *ὄργια τ' Ἰδαίων Κορυβάντων τ' ἄπλετον ἰσχύν· Δήμητρός τε πλάνην καὶ Φερσεφόνης μέγα πένθος, θεσμοφόρος θ' ὡς ἦν· ἠδ' ἀγλαὰ δῶρα Καβείρων χρησμούς τ' ἀρρήτους Νυκτὸς περὶ Βάκχου ἄνακτος Λῆμνόν τε ζαθέην ἠδ' εἰναλίην Σαμοθράικην* 30 *αἰπεινήν τε Κύπρον καὶ Ἀδωναίην Ἀφροδίτην, ὄργια Πραξιδίκης καὶ Ἀρείης μητρὸς Ἀθήνης θρήνους τ' Αἰγυπτίων καὶ Ὀσίριδος ἱερὰ χύτλα. ἀμφὶ δὲ μαντείης ἐδάης πολυπείρονας οἴμους θηρῶν ⟨τ'⟩ οἰωνῶν τε καὶ ἣ σπλάγχνων θέσις ἐστίν·* 35 *ἠδ' ὅσα θεσπίζουσιν ὀνειροπόλοισιν ἀταρποῖς ψυχαὶ ἐφημερίων, ὕπνωι βεβολημέναι ἦτορ· σημείων τεράτων τε λύσεις ἄστρων τε πορείας· ἁγνοπόλον τε καθαρμόν, ἐπιχθονίοις μέγ' ὄνειαρ· ἱλασμούς τε θεῶν φθιμένων τ' ἐπινήχυτα δῶρα.* 40 *ἄλλα δέ σοι κατέλεξ', ἅπερ εἴσιδον ἠδ' ἐνόησα Ταίναρον ἡνίκ' ἔβην σκοτίην ὁδὸν Ἄϊδος εἴσω, ἡμετέρηι πίσυνος κιθάρηι δι' ἔρωτ' ἀλόχοιο, ἠδ' ὅτ' ἐν Αἰγύπτωι ἱερὸν λόγον ἐξελόχευσα, Μέμφιν ἐς ἠγαθέην πελάσας ἱεράς τε πόληας* 45 *Ἄπιδος, ἃς πέρι Νεῖλος*

ἀγάρροος ἐστεφάνωται· πάντα μάλ' ἀτρεκέως ἀπ' ἐμῶν στέρνων δεδάηκας.

De Argonauticorum codicibus F. Schubert *Sitz.-Ber. Wien. Akad.* XCVIII 1881, 449; F. Hillmann De arte critica in Orphei Argonauticis factitanda capita duo diss. Lips. 1883; A. Guttmann *Zur Handschriftenkunde der Orph. Argonautika* I (vs. 1—735) *Progr. Königshütte O.-S.* 1887; C. Wessely *Philolog. N. F.* II 1889, 379. 573; Guil. Weinberger Quaestion. de Orphei quae feruntur Argonauticis Vindobon. 1891, 2. Post Hermanni praeclaram editionem a. 1805 nova recensio valde necessaria est; Abeliana a. 1885 nihil valet. L = Lugdunensis; R = Ruhnkenianus; S = Strahoviensis; V = Vindobonensis; Vo = Vossianus; W = Vratislaviensis Rhedigeranus. 7 *ἀείδοντι* R] *ἀείδοντα* Vo, *εἰσαείδοντι* S. *λυροεργός* non Apollo, sed Musaeus esse videtur, cuius nomen demum v. 310 *Μουσαῖε, φίλον τέκος Ἀντιοφήμου* apparet, quamobrem Wielius in progr. Bedburgensi 1861, 20 temere coniecit *νῦν γάρ σοι, λυροεργέ, φίλον τέκος Ἀντιοφήμου.* 9 *ἔφρασ'*] *ὄφρα σ'* S. *ὅταν* ll.] *ὅτε* Heyn., *ὅτ' ἐν* Wiel. l. l. 28. 10 *κῆλα πιφαύσκω* Herm.] *κῆλ' ἐπίφασκον* VoWLS, *κῆλ' ἐπίφαυσκον* R, *κῆλα πίφαυσκον* Schneid. 11 *ἀκήρατα δ' ὄργια* collatis Lithic. 6 et 663 Wiel. Diss. Bonn. 1853, 32] *ἄκη μετὰ δ' ὄρκια* vel *ὄρκια* ll., *ἄκη μεγάλ' ὄρκια* Pierson, *ἀχείματα δ' ὄργια* Herm. 12 *Χάους*] *φάους* Vo in marg. *ἀμέγαρτον* ll.] *ἀτέκμαρτον* Herm., v. Wielium in progr. Bedb. 31. 13 *Χρόνον* Zoëga *Abhdlg.* 229] *κρόνον* ll. *ὡς* ll.] *ὃς* vulgo ante Herm. *ἐλόχησεν* Vo in marg., RS. *ἀπειρεσίοις ὑπὸ κόλποις* Steuchus] *ἀπειρεσίοισιν ὑπ' ὁλκοῖς* VoWLS, *ἀπηρεσίοισιν ὑπ' ὁλκοῖς* V, *ἀπειρεσίῃσιν ὑπ' ὁλκοῖς* R (*ῃσιν* in marg. Vo), *ἀπειρεσίῃσιν ὑπ' ἀλκαῖς* Wiel. Progr. Bedb. 1866, 4. Cf. Aristophan. Av. 694 (fr. 1) *Ἐρέβους δ' ἐν ἀπείροσι κόλποις τίκτει . . . Νύξ.* 14 *περιωπέα* ll. v. Kern De Theogon. 8 n. 15; Th. Gomperz *Deutsche Literaturztg.* 1888, 974 (Hellenika II 368)] *πυρσωπέα* Ruhnk., *περιώσια* Wiel. Progr. 1861, 26, *πυριωπέα* Ab. 15 *πατέρα* ll.] *υἱὸν* Schneid., *υἷα* Herm., *ἀνέρα* vel *πάρεδρον* Wiel. Diss. 34; rectius iudicat idem Progr. Bedb. 1866, 4, *παῖδα* Seidenadel in progr. Bruchsal. 1873, 8. *φανῆτα* ll. 16 *καλέουσι* V in marg. et vulgo] *κικλήσκουσι* ceteri ll., *κλῄζουσι* Herm., v. Ludwich. *N. Jahrb.* CIX 1874, 485. 17 *βριμοῦσ* e *βρομοῦσ* corr. V. *γονάς* ll., e *γενάς* corr. V. *ἔργα* vel *ἔργ'* ll.] *ἔρχ'* L. 18 *Γηγενέων* VVo in marg.] *γιγάντων* ll., *Τιτάνων* Pierson. *ἐστάξαντο* ll., sed Vo corr. ex *ἐτάξαντο*] *ἑιάξαντο* V, *ἐκμάξαντο* Herm., *ἐπ' Οὐρανίους τάξαντο* Wiel. Progr. 1861, 22. 19 *γονῆς τὸ πρόσθεν* VoL] *γονῆς τοπρόσθεν* R, *γονῆς τὸ πρόσθεν ὅτεν* W; *τε* add. Herm. 20 *ἔασσι* VVoW. 21 *θητείαν τε Ζηνός* ll.] *θ. Τιτῆνος* Wiel. Diss. 34, *θητείην Παιᾶνος* Ab.; an *θρησκείαν τε Ζηνός*? Cf. sequentia *ὀρεσσιδρόμου τε λατρείαν μητρός.* Plut. Alex. 2 et Etym. M. v. *θρῆσκος· καὶ θρησκεία, παρὰ τὴν τῶν Θρᾳκῶν ἐπιμέλειαν τὴν πρὸς τὸ θεῖον καὶ τὴν Ὀρφέως ἱερουργίαν* (test. nrr. 37. 206), *τ' ὀρεσσιδρόμου* Vo] *ὀρεσιδρόμου* R, *ὄρεσσι δρόμου* W. *λατρείην* Ab., an *ἀλιτρείαν*? Lob. I 590, qui etiam sic temptat: *μνηστείαν τε Ζηνὸς ὀρεσσιδρόμοιό τ' ἀλητύν.* 22 *ὄρεσσιν* W] *ὄρεσι μητίατο* L. *κούρῃ* | *Φερσεφόνῃ* Schneid.] *κούρην* | *Φερσεφόνην* ll., *κούρηι* | *Φερσεφόνηι* I. H. Voss. v. Wiel. Diss. 35. 23 *παρὰ* S. 24 *ἐν μήλου* in textu, *μύχου* in marg. Vo, *καὶ μήλου* RV, *μήλου* WL, *Μήλωνος* Eschenbach. *ἠρακλέος* vulgo, *ἠρακλῆος* VoWL, *Ἡρακλέουσ* V, *ἢ Βάκχου τε καὶ Ἡ.* Schneid., *Εὐβούλου τε καὶ Ἡ.*

Herm., *Καινῆος τε καὶ Ἡ.* Wiel. *Progr.* 1861, 18, *μηχανόωσα* Wiel. in Diss. 35, *μαινομένου θ' Ἡ.* Seidenadel p. 8, *ῥαιομένου τε Ζαγρῆος* Ab. Lob. I 591 vs. 23. 24 ita legendos proponit: *Περσεφόνην πέρι· πατρὸς ἀμαιμακέτου Κρονίωνος μειλιχίην, καὶ Ζαγρῆος περίφημον ἄμυξιν.* Desperavimus. 25 *ὄργια* Schneid.] *ὅρκια* ll. *Ἰδέων* V. 26 *δημήτερός τε* RS. 27 *θεσμοφόρος θ' ὡς ἦν* ll., v. Wiel. *Progr.* 1861, 31] *θεσμοφόρον θ' ὁσίην* Pierson. *Καβείρων*] *καθείρων* V. 28 *θεσμους* R. 29 *σαμοθράκην* RWVS] *Σαμοθρήικην* Herm. 31 *Ἀρείης μητρὸς Ἀθήνης*] *ἀρείνης* ll.; *νυκτὸς* in textu, *μητρὸς* in marg. Vo, *νυκτὸς* RVWL, *Ἀθήνης* ll., *Ἀρείης νυκτὸς* (*νύκτας* Gesn.) *Ἀθήνης* Eschenbach. (cf. Pausan. I 28, 5 cum Bluemneri comm. 312), *ὀρεινῆς* (vel *ὀρείης*) *μητρὸς ἀπήνην* Herm., v. Wiel. *Progr.* Bedb. 1862, 20, *ὀρεινῆς μητρὸς ἄθυρμα* Ab. 33 *περὶ* superscript. Vo. *ἐδάης* superscr. *ν* Vo] *ἐδάην* WL. *οἴμους* Ruhnk.] *ὅρμους* ll.; sed v. Schubert l. l. 472. 34 *τ'* post *θηρῶν* inscr. Slothower. *θέσις* ll.] *θέμις* Wiel. *Progr.* Bedb. 1866, 4; Ab. 35 *ἀταρπούς* R] *ἀταρποῖς* ex *ἀτερποῖς* corr. V. 36 *ἐφημερίνωι* R] ex eodem corr. *ἐφημερίων* Vo. 38 *ἐπιχθονίης* R. *μέγ'* ex *μετὰ* corr. Vo. 39 *τ' ἐπὶ νήχυτα* VoR, antea *ἐπινήχυτα* in Vo. 43 *ὅτ' ἐν* I. H. Voss.] *ὅσεν* W, *ὅσον* cett. *Αἰγύπτωι* Schneid.] *Αἰγυπτίων* ll., *ἠδέ σοι Αἰγυπτίων* Slothow. *λόγον* W] *λόχον* cett. 44 *πελάσας* superscr. *ρ* ab altera manu i. e. *περάσας* Vo. 45 *πέρι* Gesner] *περὶ* ll.

Quibus ad Musaeum (nr. 168) dictis verbis haec Orphei opera significantur (Lob. Agl. I 589; Giseke *Rhein. Mus.* VIII 1853, 70): 9—11 *Βακχικά? Τελεταί?* 12—20 *Θεογονία* (19. 20 *Ἀνθρωπογονία*) cf. 24. 28. 30—32. 21—23 *Θρονισμοὶ μητρῷοι.* 24 *Θεογονία?* 25 *Κορυβαντικόν.* 26 et init. vs. 27 Carmen de raptu Proserpinae? *Θεογονία?* 28 *Θεογονία?* 27. 29 Cabiriaca, quorum vestigia solum hic extant (vs. 28 haud scio an post vs. 29 collocandus sit). 30 *Θεογονία?* 31 *Τελεταί?* 32 *Ἱερὸς λόγος* Aegyptius? cf. 43—45. 33—36 libri vaticini. 37 *Περὶ σεισμῶν* vel similia? *Ἀστρονομία.* 38 *Καθαρμοί.* 39 *Ὕμνοι.* 40—42 *Εἰς Ἅιδου κατάβασις.* 43—45 *Ἱερὸς λόγος* Aegyptius cf. 32. Quae Theogoniae (et Anthropogoniae) vindicavi, ea in Neoplatonicorum *Ἱεροῖς λόγοις* collecta fuisse verisimillimum est; cf. P. II s. *ΙΕΡΟΙ ΛΟΓΟΙ* qui cum *Ἱερῷι λόγωι* Aegyptio non confundendi sunt.

225. Constantini Lascaris *Προλεγόμενα τοῦ σοφοῦ Ὀρφέως* in Marmor. Taurinens. Augustae Taurin. 1743, 98 (Lob. I 356; Ab. p. 140) v. Suid. nr. 223 d *κατέλιπε* (*Ὀ.*) *συγγράμματα μετρικὰ καὶ ὅσα καὶ αὐτὸς ἐν Ἀργοναυτικοῖς* (vs. 7—46, nr. 224) *κατ' ἐπανάληψιν ἀριθμεῖ, καὶ τὰ πλείω μυθικῶς κατὰ τὸν ποιητικὸν τρόπον περὶ Θεῶν καὶ Κοσμογενείας, Ὕμνους διαφόρους εἰς Θεούς, Γεωργικά, Φυσικά, Ἀργολικά* (an *Ἀστρολογικά?*), *Μετέωρα, Λιθικά, Μυστήρια διάφορα, περὶ τῶν Φυτῶν,*

Βοτανῶν, Χωρογραφίας, Ἰατρικῆς, Νόμων καὶ ἁπλῶς εἴπω, περὶ παντὸς πράγματος παρ' Αἰγυπτίων τὰ πλείω μετενέγκων. Τελευταῖα τὰ Ἀργοναυτικά, ἐν οἷς διηγεῖται ὅσα ἔπραξαν καὶ ἔπαθον οἱ Ἀργοναῦται καὶ πῶς ἁρπάξαντες τὴν Μήδειαν καὶ τὸ χρυσοῦν δέρας ἐπανῆκον πολλάκις ⟨κιν⟩δυνεύοντες. . . . 99 . . . γεγόνασι δὲ Ὀρφεῖς ἕξ· πρῶτος οὗτος ἀρχαῖος ποιητὴς ἐκ Λειβήθρων τῆς Θράικης· δεύτερος Κικοναῖος ἐκ Βισαλτίας τῆς Θράικης ἐποποιὸς πρὸ τῶν (ἐποποιῶς πένθων Marm. Taur.) Τρωϊκῶν καὶ αὐτὸς ὃς συνέγραψε Μυθοποιίαν, Ἐπιγράμματα, Ὕμνους· τρίτος Ὀδρύσης Ἐποποιίαν τινὰ ποιήσας· τέταρτος Κροτωνιάτης Ἰταλιώτης ὃς συνῆν Πεισιστράτωι τῶι τυράννωι, συνέγραψε δὲ Δεκαετηρίαν, Ἀργοναυτικὰ καὶ ἄλλα· πέμπτος Καμαριναῖος Σικελιώτης ἐποποιός, οὗ φασιν εἶναι τὴν εἰς Ἅιδην κατάβασιν· ἕκτος καὶ τελευταῖος βασιλεὺς Θραικῶν, ἐφ' οὗ Ἀμάζονες ἐδασμολόγησαν Φρύγας. 100 καὶ ταῦτα μὲν ἐκ πολλοῦ περὶ τοῦ σοφοῦ Ὀρφέως, ὃν ἔνιοι ἀλόγως ὧδε γεγονέναι φασίν, ὅπερ ἀδύνατον δοκεῖ, ἐπειδὴ καὶ ποιηταὶ καὶ ἱστορικοὶ καὶ χωρογραφεῖς αὐτὸν γεγονέναι φασὶ καὶ ποιητὴν καὶ μουσικὸν καὶ συμπλεῖν Ἀργοναύταις.

225 a. Celsus ap. Origin. I 16 (I 68, 33 Koetsch.) *Λίνον δὲ καὶ Μουσαῖον καὶ Ὀρφέα καὶ τὸν Φερεκύδην καὶ τὸν Πέρσην Ζωροάστρην καὶ Πυθαγόραν φήσας περὶ τῶνδε διειληφέναι, καὶ εἰς βίβλους κατατεθεῖσθαι τὰ ἑαυτῶν δόγματα καὶ πεφυλάχθαι αὐτὰ μέχρι δεῦρο. καὶ ἑκὼν μὲν ἐπελάθετο τοῦ περὶ τῶν νομιζομένων θεῶν μύθου ὡς ἀνθρωποπαθῶν, ἀναγεγραμμένου μάλιστα ὑπὸ Ὀρφέως.*

226. Claudian. Carm. minor. XXIII 11 p. 226 Koch *Orpheos alii libros impune lacessunt nec tua securum te, Maro, fama vehit;* Epithalam. de nuptiis Honorii Augusti (X) vs. 229 p. 99 Koch *illa autem secura tori taedasque parari nescia divinae fruitur sermone parentis maternosque bibit mores exemplaque discit prisca pudicitiae Latios nec volvere libros desinit aut Graios, ipsa genetrice magistra, Maeonius quaecumque senex aut Thracius O. aut Mytilenaeo modulatur pectine Sappho.* Idem Carm. minor. XXXI 27 p. 247 K. commemorat Orphei Titanomachiam vel potius Gigantomachiam *proeliaque altisoni referens Phlegraea mariti, Titanum fractas Enceladique minas* et vs. 25. 33 hymnum Orphicum in Iunonem. Dieterich *Nekyia*[2] 159 n. 1. O. Herculis facta celebrans in praef. carm. De raptu Proserp. II; nr. 160 a.

227. Mich. Psellus *Ἐγκώμ. εἰς τὴν μητέρα αὐτοῦ* 84* (Sathas *Μεσαιωνικὴ βιβλ.* V 57) de se ipso *πᾶσιν ἐντυχὼν βιβλίοις Ἑλληνικοῖς, εἰπεῖν δὲ καὶ βαρβαρικοῖς, ὁπόσα Ὀ. ἢ Ζωροάστρης ἢ Ἀμμοῦς συνέγραψεν ὁ Αἰγύπτιος, ὁπόσα τε Παρμενίδαι καὶ Ἐμπεδοκλεῖς ἐν ἔπεσι συνεγράψαντο,* Kern *Herm.* LIV 1919, 217. Cf. Ps. ibidem 85, V 59 (Krumbacher *Gesch. d. byzantin. Lit.*[2] 504).

4. DE SCRIPTORIBUS VETERIBUS.

Auctores de Orpheo.

228. Pherecydes Atheniensis *πρεσβύτερος τοῦ Συρίου ὃν λόγος τὰ Ὀρφέως συναγαγεῖν* Suid. s. *Φ.* Lob. I 330; Schuster 80 v. nr. 7. Pro Pherecyde Pherecratem intelligendum esse Heynius olim iussit: Sturz Pherecydis fragmenta[2] 62.

229. Epigenes *Περὶ τῆς εἰς Ὀρφέα* ⟨*ἀναφερομένης* add. Bergk⟩ *ποιήσεως* vel *Περὶ τῆς Ὀρφέως ποιήσεως,* quem librum citat Clem. Alexandr. Strom. I 21 (II 81, 11 Staeh.) et V 8 (II 360, 10 Staeh.) v. nr. 222. Ex Harpocratione s. *Ἴων* 103, 14 Bekk.: *φιλόσοφόν τι σύγγραμμα τὸν Τριαγμὸν ἐπιγραφόμενον, ὅπερ Καλλίμαχος ἀντιλέγεσθαί φησιν ὡς Ἐπιγένους* (*ὑπὸ Ἐ.* Bergk *Griech. Litgesch.* I 395 n. 235; *ὡς* ⟨*καὶ*⟩ *Ἐπιγένης* Diels I[3] 285, 7; *ὡς* ⟨*ὑπὸ*⟩ *Ἐπιγένους* L. Cohn) eum Callimacho anteriorem fuisse certo evici nequit Lob. I 340. 384; Schuster 55; Bergk l. l.; Susemihl *Griech. Litgesch.* I 345 n. 96; Tannery *Rev. de philol.* XXI 1897, 191; L. Cohn *RE*[2] VI 64 n. 16.

230. Herodorus [Heracleota?] *ὁ τὴν Ὀρφέως καὶ Μουσαίου συγγράψας ἱστορίαν* Olympiodor. in Photii Bibl. 80 p. 61 a 31 (*λέγει δὲ ὅτι νῆσος* [sc. Oasis] *τὸ παλαιὸν ἦν καὶ ἀπεχερσώθη καὶ ὅτι ταύτην καλεῖ Ἡρόδοτος* [III 26] *'μακάρων νήσους'. Ἡρόδωρος δὲ ὁ τ. Ὀ. κ. Μ. σ. ἱστορίαν Φαιακίδα ταύτην καλεῖ* FHG II 27 b; IV 65 n. 33; Diels II[3] 167 n. 13 a; F. Jacoby *RE*[2] VIII 986 v. nr. 5).

231. Nicomedes (Acanthius?) *Περὶ Ὀρφέως* Athen. XIV 637 a (*οἶδα δὲ καὶ ἄλλο ὄργανον* [nomen instrumenti intercidisse observavit Kaibelius] *ὧι τῶν Θρᾳκῶν οἱ βασιλεῖς ἐν τοῖς δείπνοις χρῶνται, ὥς φησιν Ν. ἐν τῶι Π. Ὀ.*). FHG IV 465; Lob. I 342.

232. Apollonius Aphrodisiensis tertii fere a. Chr. saeculi: *Ἀ. Ἀ. ἀρχιερεὺς καὶ ἱστορικὸς γέγραφε Καρικά, Περὶ*

Τράλλεων, Περὶ Ὀρφέως καὶ τῶν τελετῶν αὐτοῦ Suid. s. v. (FHG IV 310). Ed. Schwartz *RE*² II 135 n. 73.

233. Chrysippus apud Philodem. De pietate 80, 16 Gomp. (Doxogr. 547 b 16) = Stoicor. fragm. ed. ab Arnim. II 316 n. 1078 *ἐν δὲ τῶι δευτέρ⟨ωι⟩* (sc. *Περὶ Θεῶν*) *τά τε εἰς Ὀρφέα κ⟨αὶ⟩ Μουσαῖον ἀναφερ⟨όμ⟩ενα καὶ τὰ παρ' ⟨Ὁ⟩μήρωι καὶ Ἡσιόδω⟨ι⟩ καὶ Εὐριπίδηι καὶ ποιηταῖς ἄλλοις, ⟨ὡ⟩ς καὶ Κλεάνθης* (fr. 539 Arn.), *⟨π⟩ειρᾶται σ⟨υ⟩νοικειοῦν ταῖς δόξαις αὐτῶν.* Textum mihi e nova collatione suppeditavit Guil. Croenert v. fr. 30. Cicero De nat. deor. I 15, 41 p. 223 Plasb.¹ (Velleius) *et haec quidem* (*Chrysippus,* fr. 1077 Arn.) *in primo libro de natura deorum; in secundo autem volt Orphei Musaei Hesiodi Homerique fabellas accomodare ad ea quae ipse primo libro de deis immortalibus dixerit, ut etiam veterrimi poetae, qui haec ne suspicati quidem sint, Stoici fuisse videantur.* Plutarch. De Iside et Osiride 25 p. 360 d. e *βέλτιον οὖν οἱ τὰ περὶ τὸν Τυφῶνα καὶ Ὄσιριν καὶ Ἶσιν ἱστορούμενα μήτε θεῶν παθήματα μήτ' ἀνθρώπων, ἀλλὰ δαιμόνων μεγάλων εἶναι νομίζοντες, οὓς* (Xyland. ut etiam sequentia ex Euseb. Praep. ev. V 5] *ὡς* codd.) *καὶ Πλάτων καὶ Πυθαγόρας καὶ Ξενοκράτης* (fr. 24 Heinze) *καὶ Χρύσιππος* (fr. 1103 Arn.), *ἑπόμενοι τοῖς πάλαι θεολόγοις, ἐρρωμενεστέρους μὲν ἀνθρώπων γεγονέναι λέγουσι καὶ πολὺ* (Euseb.] *πολλῆι* codd.) *τῆι δυνάμει τὴν φύσιν ὑπερφέροντας ἡμῶν, τὸ δὲ θεῖον οὐκ ἀμιγὲς οὐδ' ἄκρατον ἔχοντας, ἀλλὰ καὶ ψυχῆς φύσει καὶ σώματος αἰσθήσει* [*ἐν* ante *αἰσθ.* del. Xyland.] *συνειληχός, ἡδονὴν δεχόμενον* (Euseb.] *δεχομένην* codd.) *καὶ πόνον, καὶ ὅσα ταύταις ἐγγενόμενα ταῖς μεταβολαῖς πάθη τοὺς μὲν μᾶλλον, τοὺς δ' ἧττον ἐπιταράττει. γίγνονται γὰρ ὡς ἐν ἀνθρώποις καὶ δαίμοσιν ἀρετῆς διαφοραὶ καὶ κακίας. τὰ γὰρ Γιγαντικὰ καὶ Τιτανικὰ παρ' Ἕλλησιν ᾀδόμενα καὶ Κρόνου τινὲς* (Euseb.] *τινὸς* codd.) *ἄθεσμοι πράξεις καὶ Πύθωνος ἀντιτάξεις πρὸς Ἀπόλλωνα, φυγαί* (Euseb.] *φθόγγοι* codd.) *τε Διονύσου καὶ πλάναι Δήμητρος οὐδὲν ἀπολείπουσι τῶν Ὀσιριακῶν καὶ Τυφωνικῶν, ἄλλων θ' ὧν πᾶσιν ἔξεστιν ἀνέδην μυθολογουμένων ἀκούειν. ὅσα τε μυστικοῖς ἱεροῖς περικαλυπτόμενα καὶ τελεταῖς ἄρρητα διασώιζεται καὶ ἀθέατα πρὸς τοὺς πολλούς, ὅμοιον ἔχει λόγον.* Galen. De placit. Hippocrat. et Platon. III c. 3 (V 308 Kuehn) 274, 14 Muell. *ἐμπέπλησται γὰρ ὁ περὶ ἡγεμονικοῦ λόγος ὑπὸ Χρυσίππου* (fr. 906 Arn.) *γεγραμμένος ἐπῶν ποιητικῶν ἤτοι τὰ πάθη περὶ τὸν θώρακά τε καὶ τὴν καρδίαν συνίστασθαι μαρτυρούντων ἢ δύο εἶναι τῆς ψυχῆς* | ²⁷⁵ ᴹᵘᵉˡˡ· *δυνάμεις ὅλωι τῶι γένει δια-*

φερούσας ἀλλήλων, τὴν μὲν ἄλογον, τὴν δὲ λογικήν. ὥσπερ γὰρ ἐξ Ὁμήρου καὶ Ἡσιόδου βραχέα παρεθέμην ὀλίγοι πρόσθεν ὧν ὁ Χρύσιππος ἔγραψεν, οὕτως ἐξ Ὀρφέως καὶ Ἐμπεδοκλέους καὶ Τυρταίου καὶ Στησιχόρου καὶ Εὐριπίδου καὶ ἑτέρων ποιητῶν μνημονεύει παμπόλλων ὁμοίαν ἐχόντων ἀτοπίαν, οἷον καὶ ὅταν ἐπαινῇ (? Muell.] *εἴπῃ* codd.) *Τυρταῖον λέγοντα κτλ.* (Bergk PLG II⁴ fr. 13 p. 404). Lob. I 342. Cf. etiam Galenum ibidem p. 281, 1 ss. Muell. *ἐμπλήσας ὁ Χρύσιππος* (fr. 907 Arn.) *ὅλον τὸ βιβλίον ἐπῶν Ὁμηρικῶν καὶ Ἡσιοδείων καὶ Στησιχορείων Ἐμπεδοκλείων τε καὶ Ὀρφικῶν.* Minuc. Fel. Octavius XIX 11 p. 29, 8 Waltzing. *Eadem fere Chrysippus: vim divinam rationalem, naturam et mundum, interim et fatalem necessitatem deum credit Zenonemque* (fr. 162 Arn.) *interpretatione physiologica* (*physiologica* Bursian.] *phylologiae* P corr. ex *physologiae*) *in Hesiodi, Homeri Orpheique carminibus imitatur.*

234. [Characis Pergameni *Συμφωνία Ὀρφέως Πυθαγόρου καὶ Πλάτωνος περὶ τὰ λόγια* (Eudocia FHG III 636 v. Kern *Orph.* 1 n. 1) commenticia est; sed v. nr. 9.]

235. Erotylus *ἐν τοῖς Ὀρφικοῖς* in papyro Leidensi W secundi fere p. Chr. saeculi Leemans *Pap. graec.* II 1885, 21 a 34. 35 p. 155 = Dieterich *Abraxas* 202, 16 (v. 165 et *N. Jahrb. Suppl.* XVI 1888, 754 = *Kl. Schr.* 6). Cf. Zosimus *Περὶ τοῦ θείου ὕδατος* Berthelot *Coll. des anciens. alchimist. Grecqu.* II 1888 p. 144, 7 et I (*Introduction*) p. 17.

236. Theon Malal. Chron. XIII p. 343, 11 *ἐπὶ δὲ τῆς βασιλείας αὐτοῦ* (*Γρατιανοῦ* a. 367—383) *Θ. ὁ σοφώτατος φιλόσοφος ἐδίδασκε καὶ ἡρμήνευε τὰ ἀστρονομικὰ καὶ τὰ Ἑρμοῦ τοῦ Τρισμεγίστου συγγράμματα καὶ τὰ Ὀρφέως* Reitzenstein *Poimandres* 211 n. 1; Heeg *Festschr. für M. v. Schanz* 1912, 164.

237. Hierocles (c. a. 420) in Photii Bibliotheca 214 p. 173 a 13 ss. Bekk. (librorum *Περὶ προνοίας*) *ὁ δὲ δ' τὰ λεγόμενα λόγια καὶ τοὺς ἱερατικοὺς θεσμοὺς εἰς συμφωνίαν συνάγειν οἷς Πλάτων ἐδογμάτισε βούλεται· ὁ δὲ ε' εἰς Ὀρφέα καὶ Ὅμηρον, καὶ ὅσοι ἄλλοι πρὸ τῆς Πλάτωνος ἐπιφανείας ἐγνωρίζοντο, τὴν Πλατωνικὴν περὶ τῶν προκειμένων φιλοσοφίαν ἀνάπτει.* Lob. I 345.

238. Syrianus (Procli magister; Academiae rector a. 431/2) *Εἰς τὴν Ὀρφέως θεολογίαν βιβλία β'* et *Συμφωνία Ὀρφέως Πυθαγόρου καὶ Πλάτωνος* Suid. Lob. I 344; Rohde *Psyche* I⁶ 414 ss.; Kroll De oraculis Chald. 7, qui iure addit Procl. Theolog. Platon. 215, 41 *καὶ οὗτος τοίνυν ἐν τοῖς τῆς Συμφωνίας*

⟨συγ?⟩γράμμασι. Syriani Ὀρφικαὶ συνουσίαι ap. Procl. in Tim. I 315, 2 Diehl.

239. Proclus (a. 410—485) Marin. Procli vita 18 p. 160, 33 Boisson. *νύκτωρ τε καὶ μεθ' ἡμέραν ἀποτροπαῖς καὶ περιρραντηρίοις καὶ τοῖς ἄλλοις καθαρμοῖς χρώμενος, ὁτὲ μὲν Ὀρφικοῖς, ὁτὲ δὲ Χαλδαϊκοῖς* . . . c. 20 p. 161, 21 *πιεζόμενος γὰρ ὑπὸ ταύτης* (sc. *τῆς τελευταίας νόσου*) *καὶ περιωδυνίαις συνεχόμενος, ἐκκρούειν ἐπειρᾶτο τὰς ἀλγηδόνας. παρεκελεύετο οὖν ἡμῖν ἑκάστοτε ὕμνους λέγειν, καί, λεγομένων τῶν ὕμνων, πᾶσα εἰρήνη τῶν παθῶν ἐγίγνετο καὶ ἀταραξία. καὶ ὅ γ' ἔτι τούτου παραδοξότερον, ὅτι καὶ μνήμην εἶχε τῶν λεγομένων, καίτοι τῶν ἀνθρωπίνων σχεδὸν ἁπάντων ἐπιλελησμένος, ἐπιβρισάσης αὐτῶι τῆς παρέσεως. ἀρχομένων γὰρ ἡμῶν ὑμνεῖν ἐκεῖνος ἀνεπλήρου τοὺς ὕμνους καὶ τῶν Ὀρφικῶν ἐπῶν τὰ πλεῖστα· καὶ γὰρ ταῦτά ἐστιν ὅτε παρόντες ἀνεγιγνώσκομεν.* c. 26 p. 163, 42 *καὶ τοιαύταις μὲν ἀρεταῖς συνεβίω ἔτι συσχολάζων τῶι φιλοσόφωι Συριανῶι, καὶ τὰς τῶν ἀρχαιοτέρων ἐπεξιὼν πραγματείας· τῆς δὲ Ὀρφικῆς καὶ Χαλδαϊκῆς θεολογίας στοιχεῖα ἄττα καὶ οἱονεὶ σπέρματα παρὰ τοῦ διδασκάλου λαβών, διὰ τὸ μὴ φθῆναι καὶ ἐν τοῖς ἔπεσιν αὐτῶι συγγενέσθαι (προέθετο μὲν γὰρ ἐξηγήσασθαι αὐτῶι τε καὶ τῶι ἐκ τῆς Συρίας φιλοσόφωι καὶ διαδόχωι Δομνίνωι θάτερα τούτων, ἤτοι τὰ Ὀρφέως ἢ τὰ λόγια, καὶ αἵρεσιν αὐτοῖς προὔτεινε τῶν ἑτέρων· ἐπειδὴ δὲ οὐ συνήχθησαν, οὐδὲ τὰ αὐτὰ εἵλοντο ἀμφότεροι, ἀλλ' ἐκεῖνος μὲν τὰ Ὀρφέως, ὁ δὲ ἡμέτερος τὰ λόγια, τοῦτό τε αὐτὸ διεκώλυσεν καὶ τὸ μὴ πολὺν ἐπιβιῶναι χρόνον τὸν μέγαν Συριανόν), λαβὼν δ' οὖν, ὡς εἴρηται* (164) *παρὰ τοῦ καθηγεμόνος τὰς ἀφορμάς, καὶ μετ' ἐκεῖνον τοῖς τε εἰς Ὀρφέα αὐτοῦ ὑπομνήμασιν ἐπιμελῶς ἐντυγχάνων, καὶ τοῖς Πορφυρίου καὶ Ἰαμβλίχου μυρίοις ὅσοις εἰς τὰ λόγια καὶ τὰ σύστοιχα τῶν Χαλδαίων συγγράμματα, αὐτοῖς τε τοῖς θείοις λογίοις ἐντρεφόμενος, ἐπὶ τὰς ἀκροτάτας τῶν ἀρετῶν, ὡς πρὸς ἀνθρωπίνην ψυχήν, ἀνέδραμεν, ἃς ὁ ἔνθους Ἰάμβλιχος ὑπερφυῶς θεουργικὰς ἀπεκάλεσεν.* c. 27 p. 164, 42 *ἀναγιγνώσκων δὲ ἐγώ ποτε παρ' αὐτῶι τὰ Ὀρφέως, καὶ οὐ μόνον τὰ παρὰ τῶι Ἰαμβλίχωι καὶ Συριανῶι ἀκούων ἐν ταῖς ἐξηγήσεσιν, ἀλλὰ πλείω τε ἅμα καὶ προσφυέστερα τῆι θεολογίαι, ἤιτησα τὸν φιλόσοφον μηδὲ τὴν τοιαύτην ἔνθεον ποίησιν ἀνεξήγητον ἐᾶσαι, ὑπομνηματίσασθαι δὲ καὶ ταύτην ἐντελέστερον. Ὁ δὲ ἔφασκεν προθυμηθῆναι μὲν πολλάκις γράψαι, κωλυθῆναι δὲ ἐναργῶς ἔκ τινων ἐνυπνίων. αὐτὸν γὰρ ἔλεγεν θεάσασθαι τὸν διδάσκαλον,*

ἀπείργοντα αὐτὸν μετὰ ἀπειλῆς. μηχανὴν οὖν ἐνταῦθα ἄλλην ἐπινοῶν, ἠξίωσα γὰρ παραγράφειν αὐτὸν τὰ ἀρέσκοντα τοῖς τοῦ διδασκάλου βιβλίοις· πεισθέντος δὲ τοῦ ἀγαθοειδεστάτου καὶ παραγράψαντος τοῖς μετώποις τῶν ὑπομνη(165)*μάτων, ἔσχομεν συναγωγὴν εἰς ταὐτὸν ἁπάντων, καὶ ἐγένετο εἰς Ὀρφέα αὐτῶι σχόλια καὶ ὑπομνήματα στίχων οὐκ ὀλίγων, εἰ καὶ μὴ εἰς πᾶσαν τὴν θεομυθίαν ἢ πάσας τὰς ῥαψωιδίας ἐξεγένετο αὐτῶι τοῦτο ποιῆσαι.* Ludwich *Königsberger Stud.* I 1887, 74 n. 16. Procli libri de Orpheo a Suida ad Syriani praeceptoris exemplum ficti sunt (R. Schoell Anecd. varia II 5).

240. *Σαραπίων* Isidori Alexandrini (c. a. 490) amicus, Suid. s. v. *ζητητικὸς δὲ ὢν τῆς ἀληθείας καὶ φύσει θεωρητικὸς οὐ περὶ τὰ τεχνικώτερα τῆς φιλοσοφίας ἠξίου διατρίβειν, ἀλλὰ τοῖς ἁδροτέροις καὶ ἐνθουσιαστικωτέροις νοήμασιν ἐνεφύετο. διὸ μόνον σχεδὸν τὸν Ὀρφέα ἐκέκτητο καὶ ἀνεγίγνωσκεν, ἐρωτῶν ἐφ' ἑκάστοις ἀεὶ τοῖς παραπίπτουσι ζητήμασι τὸν Ἰσίδωρον, ἄκραν ὡς εἰπεῖν ἐπιστήμην ἐν θεολογίαι προβεβλημένον . . . ὃς οὕτω μὲν κατεφρόνει χρημάτων ὥστε κεκτῆσθαι μηδ' ὁτιοῦν ἢ μόνα δύο ἢ τρία βιβλία, ὧν ἦν καὶ ἡ Ὀρφέως ποίησις.* Adde etiam Damascii Isidori vitam 126 p. 132 Westerm. de Asclepiodoto (c. a. 475) *πρὸς δὲ τὴν Ὀρφικήν τε καὶ Χαλδαϊκὴν τὴν ὑψηλοτέραν σοφίαν καὶ τὸν κοινὸν φιλοσοφίας νοῦν ὑπεραίρουσαν ἔτι μᾶλλον ἐλείπετο* (Kroll De or. Chald. 8) et Suid. s. *Ἡραΐσκος* de Asclepiade Neoplatonico (non Mendesio v. Freudenthal *RE*² II 1631 n. 35) *ὥρμησε γράφειν περιέχουσαν τῶν θεολογιῶν ἁπασῶν τὴν συμφωνίαν.* Lob. I 344 s. Hoc loco posui quamquam neque Asclepiadem neque Asclepiodotum neque Sarapionem de Orpheo librum condidisse inde non patet.

241. Sandon Hellanici (nr. 242?) filius, *φιλόσοφος* (ignotae aetatis) *ἔγραψε Ὑποθέσεις εἰς Ὀρφέα βιβλίον α'* Suid. Lob. I 337. 340; Schuster 86; Zeller I⁶ 128 n. 6.

242. Num Hieronymus (FHG II 450) et Hellanicus (Damasc. De princip. I 317, 15 Rue.), de quorum aetate certi adhuc nihil statui potest, peculiares de Orpheo libros scripserint, dubium est, Schuster 99. V. P. II 3 de Theogonia Hieronymiana. Pamphili Alexandrini *Ὀρφικά* ex Reinesii coniectura ap. Suid. s. *Πάμφιλος Ἀλεξανδρεύς* (trad. *Ὀπικά*) orta sunt Lob. I 342.

243. Phot. Bibl. cod. 170 p. 117a Bekk. *ἀνεγνώσθη βιβλίον πολύστιχον, μᾶλλον δὲ πολύβιβλον, ἐν λόγοις μὲν ιέ, τεύχεσι δὲ*

ε', ἐν οἷς μαρτυρίαι δῆθεν καὶ χρήσεις ὁλοκλήρων λόγων, οὐχ Ἑλληνικαὶ μόναι, ἀλλὰ καὶ Περσικαὶ καὶ Θράικιοι καὶ Αἰγύπτιοι καὶ Βαβυλωνιακαὶ καὶ Χαλδαϊκαὶ καὶ δὴ καὶ Ἰταλοὶ ἐκ τῶν παρ' ἑκάστοις δοκούντων λογίων κατεστρώθησαν, ἃς ὁ συγγραφεὺς συμφερομένας πειρᾶται δεικνύειν τῆι τῶν Χριστιανῶν ἀχράντωι καὶ ὑπερφυεῖ καὶ θειοτάτηι θρησκείαι κτλ. . . . περὶ τούτων Ἕλλησί τε καὶ Αἰγυπτίοις καὶ Χαλδαίοις καὶ τοῖς προειρημένοις πεφιλοσοφῆσθαί τε καὶ διακεκηρῦχθαι ἐν ἰδίοις αὐτῶν πειρᾶται δεικνύναι συγγράμμασιν . . . τὸ μέντοι ὄνομα τοῦ συντεταχότος τὰ τεύχη μέχρι νῦν οὐκ ἔχομεν εἰδέναι· οὐ γὰρ ἐνεφέρετο τοῖς βιβλίοις, ὅσα εἴδομεν, πλήν γε δὴ ὅτι Κωνσταντινούπολιν ᾤκει, γυναικί τε νόμωι γάμου συνώικει καὶ τοῖς ἐξ αὐτῆς αὐτοῦ παισί, καὶ ὅτι μετὰ τοὺς Ἡρακλείου χρόνους (a. 610—641) *τὸν βίον διήνυσεν.* Lob. I 346.

Poetae et philosophi Orphei libris usi.

244. Plato Ion 536 b *ἐκ δὲ τούτων τῶν πρώτων δακτυλίων, τῶν ποιητῶν, ἄλλοι ἐξ ἄλλου αὖ ἠρτημένοι* (TF] *ἀνηρτημένοι* W) *εἰσὶ καὶ ἐνθουσιάζουσιν, οἱ μὲν ἐξ Ὀρφέως, οἱ δὲ ἐκ Μουσαίου· οἱ δὲ πολλοὶ ἐξ Ὁμήρου κατέχονταί τε καὶ ἔχονται.* Diels II³ 167 n. 14 a.

245. Homerus Philostrat. Heroic. 301 (II p. 161, 19 Kays.) (*τὸν Ὅμηρον*) *μεγαλορρημοσύνην τε γὰρ ὑπὲρ τὸν Ὀρφέα ἀσκῆσαι ἡδονῆι τε ὑπερβαλέσθαι τὸν Ἡσίοδον καὶ ἄλλωι ἄλλον* . . . | [162, 12 Kays.] *Ὀρφέα δὲ ἐν πολλοῖς τῶν κατὰ θεολογίαν ὑπερῆρε, Μουσαῖον δ' ἐν ὠιδαῖς χρησμῶν, καὶ μὴν καὶ Παμφὼ σοφῶς μὲν ἐνθυμηθέντος, ὅτι Ζεὺς εἴη τὸ ζωιογονοῦν καὶ δι' οὗ ἀνίσταται τὰ ἐκ τῆς γῆς πάντα, εὐηθέστερον δὲ χρησαμένου τῶι λόγωι καὶ καταβεβλημένα ἔπη ἐς τὸν Δία ἄισαντος· ἔστι γὰρ τὰ τοῦ Παμφὼ ἔπη· 'Ζεῦ κύδιστε, μέγιστε θεῶν, εἰλυμένε κόπρωι μηλείηι τε καὶ ἱππείηι καὶ ἡμιονείηι'* (eosdem versus vindicat Gregorius Nazianzen. Or. in Iulian. I 141 [Migne 35, 653] Orpheo, v. Nonn. Abbas Migne 36, 1028; Lob. I 745 II; Ab. fr. 289) . . . *καὶ τὰς μάχας δέ, ὁπόσαι Ποσειδῶνι μὲν πρὸς Ἀπόλλω, Λητοῖ δὲ πρὸς Ἑρμῆν ἐγένοντο, καὶ ὡς ἐμάχοντο ἡ Ἀθηνᾶ τῶι Ἄρει καὶ ὁ Ἥφαιστος τῶι ὕδατι, ταῦτα τὸν Ὀρφέως τρόπον πεφιλοσοφῆσθαι τῶι Ὁμήρωι φησὶ καὶ οὐ μεμπτὰ εἶναι πρὸς ἔκπληξιν καὶ θεῖα, ὥσπερ τὸ 'ἀμφὶ δὲ σάλπιγξε μέγας οὐρανός' καὶ* ⟨*ὡς* add. Kays.⟩ *'ἀνεπήδησεν Ἀιδωνεὺς τοῦ θρόνου τινασσομένης τῆς γῆς ἐκ Ποσειδῶνος'.* Orphei versus quos Homerus

mutuatus esse criticis veteribus videbatur congessit Hermannus Orphica 477, v. Geffcken *N. Jahrb.* XXIX 1912, 596.

246. Hesiodus Schol. Lycophr. 399 p. 149, 13 Sch. *Ἡσίοδος ἐν τῆι Θεογονίαι* (485 Rz.) *τὴν Ὀρφέως ὑποκλέψας καὶ παραφθείρας Θεογονίαν.*

De Terpandro v. nr. 12.

247. Dialectus Dorica Iamblich. Vita Pythagor. 34, 243, p. 170, 1 N. (Metrodorus [Lob. I 722 n. b; Nauck p. 168; Rohde *Rhein. Mus.* XXVII 1872, 57 = *Kl. Schr.* II 167]) *κεχρῆσθαι δὲ τῆι Δωρικῆι διαλέκτωι καὶ τὸν Ὀρφέα, πρεσβύτατον* (Cobet] *πρεσβύτερον* codd.) *ὄντα τῶν ποιητῶν.* Geffcken *N. Jahrb.* XXIX 1912, 610; v. nr. 28.

248. Pythagoras Diogen. Laert. VIII 8 *Ἴων δὲ ὁ X. ἐν τοῖς Τριαγμοῖς φησιν αὐτὸν* (Pythagoram) *ἔνια ποιήσαντα ἀνενεγκεῖν εἰς Ὀρφέα.* Clem. Alex. Strom. I 131 (II 81, 10 Staeh.) *Ἴων δὲ ὁ X. ἐν τοῖς Τριαγμοῖς καὶ Πυθαγόραν εἰς Ὀρφέα ἀνενεγκεῖν τινα ἱστορεῖ.* Cf. Suid. s. Ὀ. nr. 223 d: *ἔγραψε Τριαγμούς, λέγονται δὲ εἶναι Ἴωνος τοῦ τραγικοῦ· ἐν δὲ τούτοις τὰ Ἱεροστολικὰ καλούμενα.* Diels I³ 287 n. 2. Cf. P. II s. *ΤΡΙΑΓΜΟΙ.*

249. Iamblich. Vita Pythag. 28, 146. 147 p. 106, 1 N. ex Androcyde (Bertermann De Iamblichi vitae Pythagoricae fontibus diss. Regimont. 1913, 29. 32) *πόθεν δὴ οὖν τὴν τοσαύτην εὐσέβειαν παρέλαβον οὗτοι οἱ ἄνδρες, εἴ τις βούλοιτο μαθεῖν, ῥητέον ὡς τῆς Πυθαγορικῆς κατ' ἀριθμὸν θεολογίας παράδειγμα ἐναργὲς ἔκειτο παρὰ Ὀρφεῖ.*[1] *οὐκέτι δὴ οὖν ἀμφίβολον γέγονε τὸ τὰς ἀφορμὰς παρὰ Ὀρφέως λαβόντα Πυθαγόραν συντάξαι τὸν περὶ Θεῶν λόγον, ὃν καὶ Ἱερὸν διὰ τοῦτο ἐπέγραψεν,*[2] *ὡς ἂν ἐκ τοῦ μυστικωτάτου ἀπηνθισμένον παρὰ Ὀρφεῖ τόπου — εἴτε ὄντως τοῦ ἀνδρός, ὡς οἱ πλεῖστοι λέγουσι, σύγγραμμά ἐστιν, εἴτε Τηλαύγους, ὡς ἔνιοι τοῦ διδασκαλείου ἐλλόγιμοι καὶ ἀξιόπιστοι διαβεβαιοῦνται ἐκ τῶν ὑπομνημάτων τῶν Δαμοῖ τῆι θυγατρί, ἀδελφῆι δὲ Τηλαύγους,*[3] *ἀπολειφθέντων ὑπ' αὐτοῦ Πυθαγόρου, ἅπερ μετὰ θάνατον*[4] *ἱστοροῦσι δοθῆναι Βιτάληι*[5] *τε τῆι Δαμοῦς θυγατρὶ καὶ Τηλαύγει ⟨ἐν⟩*[6] *ἡλικίαι γενομένωι, υἱῶι μὲν Πυθαγόρου, ἀνδρὶ δὲ τῆς Βιτάλης· κομιδῆι γὰρ νέος ὑπὸ τὸν Πυθαγόρου θάνατον ἀπολελειμμένος ἦν παρὰ Θεανοῖ τῆι μητρί — δηλοῦται δὴ διὰ τοῦ Ἱεροῦ λόγου τούτου*[7] *ἢ περὶ Θεῶν λόγου, ἐπιγράφεται γὰρ ἀμφότερον,*[8] *καὶ τίς ἦν ὁ παραδεδωκὼς Πυθαγόραι τὸν περὶ Θεῶν λόγον. λέγει γάρ·* | [107 N.] *'⟨λόγος⟩*[9] *ὅδε*[10]

περὶ θεῶν Πυθαγόρα τῶ Μνησάρχω,[11] τὸν ἐξέμαθον, ὀργιασθεὶς ἐν Λιβήθροις[12] τοῖς Θρακίοις, Ἀγλαοφάμω τελεστᾶ[13] μεταδόντος,[14] ὡς ἄρα Ὀ. ὁ Καλλιόπας κατὰ τὸ Πάγγαιον ὄρος ὑπὸ τᾶς ματρὸς πινυσθεὶς ἔφα, τὰν ἀριθμῶ οὐσίαν[15] ἀΐδιον[16] εἶναι μὲν[17] ἀρχὰν προμαθεστάταν τῶ παντὸς ὠρανῶ καὶ γᾶς καὶ τᾶς μεταξὺ φύσιος, ἔτι δὲ καὶ θείων[18] καὶ θεῶν καὶ δαιμόνων διαμονᾶς ῥίζαν.' (147) ἐκ δὴ τούτων φανερὸν γέγονεν ὅτι τὴν ἀριθμῶι[19] ὡρισμένην οὐσίαν τῶν θεῶν παρὰ[20] τῶν Ὀρφικῶν παρέλαβεν. ἐποιεῖτο δὲ διὰ τῶν αὐτῶν ἀριθμῶν καὶ θαυμαστὴν πρόγνωσιν καὶ θεραπείαν τῶν θεῶν κατὰ τοὺς ἀριθμοὺς[21] ὅτι μάλιστα συγγενεστάτην.[22]

1 ἔκειτο παρὰ ὀρφεῖ F, ἔκειτο (ἔκειντο pr.) περὶ (suprascr. pr. m. α et ἀ) ὀρφεῖ C, ἔκειτό πως (ἔκειτο πῶς P') ἐν ὀρφεῖ P. 2 ἐπέγραψεν P, ἐπεγράψαμεν FC. 3 ἀδελφῆι δὲ Τηλαύγους post ὑπ' αὐτοῦ Πυθαγόρου FC, transpos. Cobet. 4 μετὰ τὸν θάνατον αὐτῆς exspectat Nauckius. 5 Βιστάλα Damonis filia in Epistolograph. Graec. 603, 9 Herch. 6 ἐν om. FC, add. Menag. 7 τούτον Nauck., τοῦτο F, om. C unde δηλοῦται δὴ διὰ τοῦ ἱεροῦ ἢ περὶ θεῶν λόγου elicere volebat Kiessling.; verba ἢ περὶ θεῶν — ἀμφότερον uncis secl. Nauck. 8 ἀμφότερον F, ἀμφότερα C. 9 λόγος add. Lobeck Agl. I 722 n. c. 10 ὅδε Valcken., ὁ δὲ FP, οἱ δὲ C. 11 Μνασάρχω Valcken. 12 λιβήθροις codd., Λειβήθροις Valcken. v. nr. 250. 13 τελεστᾶ Schneid., τελεύτα FC, τέλευτα P, τελετὰς Cuper. 14 μεταδιδόντος Cuper, Lob. v. nr. 250. 15 ὡσίαν Valcken., ἐσίαν Lob. 16 αἴδίαν Lob. 17 εἶναι μὲν FC, ἔμμεν Valcken. cf. Rohde *Kl. Schr.* II 154 n. 1. 18 καὶ θείων codd. quod delere volebat Nauck., καὶ θείαν Rohde *Rhein. Mus.* XXXIV 1879, 267. 19 τὴν ἀριθμῶ F, τῷ ἀριθμῷ CP. 20 παρὰ F, περὶ CP. 21 κατὰ τοὺς ἀριθμοὺς verba abesse mavult Nauck. 22 εὐσεβεστάτην pro συγγενεστάτην temptabat idem.

Lob. I 721; Rohde *Rhein. Mus.* XXVII 1872, 46 = *Kl. Schr.* II 154; Bertermann 11.

249a. Iamblich. Vita Pythagor. 28, 151 p. 110, 5 N. ὅλως δὲ φασὶ Πυθαγόραν ζηλωτὴν γενέσθαι τῆς Ὀρφέως ἑρμηνείας τε καὶ διαθέσεως, καὶ τιμᾶν τοὺς θεοὺς Ὀρφεῖ παραπλησίως, ἱσταμένους[1] αὐτοὺς ἐν τοῖς ἀγάλμασι καὶ τῶι χαλκῶι, οὐ ταῖς ἡμετέραις συνεζευγμένους μορφαῖς, ἀλλὰ τοῖς ἱδρύμασι τοῖς θείοις,[2] πάντα περιέχοντας καὶ πάντων προνοοῦντας καὶ τῶι παντὶ τὴν φύσιν καὶ τὴν μορφὴν ὁμοίαν ἔχοντας. ἀγγέλλειν δὲ αὐτῶν τοὺς καθαρμοὺς καὶ τὰς λεγομένας τελετάς, τὴν ἀκριβεστάτην εἴδησιν αὐτῶν ἔχοντα. ἔτι δὲ φασὶ καὶ σύνθετον αὐτὸν ποιῆσαι τὴν θείαν φιλοσοφίαν καὶ θεραπείαν | [111 N.] ἃ μὲν μαθόντα παρὰ τῶν Ὀρφικῶν, ἃ δὲ παρὰ Χαλδαίων[3] καὶ μάγων, ἃ δὲ παρὰ τῆς τελετῆς[4] τῆς ἐν Ἐλευσῖνι γινομένης, ἐν Ἴμβρωι

τε καὶ Σαμοθράικηι καὶ Δήλωι, καὶ εἴ τι[5] *παρὰ τοῖς κοινοῖς,*[6] *καὶ περὶ τοὺς Κελτοὺς*[7] *δὲ καὶ τὴν Ἰβηρίαν* v. nr. 249.

1 *ἱστάμενον* Scalig. 2 *θείοις* Arcer., *θεοῖς* FC, totus locus admodum corruptus. 3 *παρὰ Χαλδαίων* F, *περὶ χαλκιδέων* C. 4 *περὶ τῆς τελευτῆς* C. 5 *καὶ εἴ τι* Scalig., *καὶ ἀεί τι* FC. 6 *κοινοῖς* F, v. Jos. Mohn. ap. Bertermann. l. l. 36 n. 1; *λοιποῖς* Kuster; *Θούσκοις* Longan., *περιοίκοις* Nauck. 7 *περὶ τοὺς Κελτοὺς* C, *παρὰ τοὺς Κ.* F.

250. Procl. Tim. V prooem. (III 168, 9 Diehl) Iamblichum (nr. 249) maxime secutus *αὗται δέ εἰσιν αἱ Ὀρφικαὶ παραδόσεις· ἃ γὰρ Ὀ. δι' ἀπορρήτων λόγων μυστικῶς παραδέδωκε, ταῦτα Πυθαγόρας ἐξέμαθεν ὀργιασθεὶς ἐν Λιβήθροις* (*Λεβήθροις* codd.) *τοῖς Θραικίοις Ἀγλαοφάμωι τελεστᾶ* (*τελέστα* codd.] *τελετὰς* Lob., alii, *τελεστᾶ* Diehl) *μεταδόντος ἣν περὶ θεῶν Ὀ. σοφίαν παρὰ Καλλιόπης τῆς μητρὸς ἐπινύσθη· ταῦτα γὰρ αὐτός φησιν ὁ Πυθαγόρας ἐν τῶι Ἱερῶι λόγωι,* in 40 E (III 161, 1 Diehl) *τοιαῦτα μὲν ἄν τις ἀπὸ τῶν προκειμένων λάβοι δόγματα. Πυθαγόρειον δὲ καὶ τὸ ταῖς Ὀρφικαῖς ἕπεσθαι γενεαλογίαις· ἄνωθεν γὰρ ἀπὸ τῆς Ὀρφικῆς παραδόσεως διὰ Πυθαγόρου καὶ εἰς Ἕλληνας ἡ περὶ θεῶν ἐπιστήμη προῆλθεν, ὡς αὐτὸς ὁ Πυθαγόρας φησὶν ἐν τῶι Ἱερῶι λόγωι,* Theolog. Platon. I 6 p. 13, 3 *ἅπασα γὰρ ἡ παρ' Ἕλλησι θεολογία τῆς Ὀρφικῆς ἐστὶ μυσταγωγίας ἔκγονος, πρῶτον μὲν Πυθαγόρου παρὰ Ἀγλαοφήμου τὰ περὶ θεῶν ὄργια διδαχθέντος, δευτέρου δὲ Πλάτωνος ὑποδεξαμένου τὴν παντελῆ περὶ τούτων ἐπιστήμην ἔκ τε τῶν Πυθαγορείων καὶ τῶν Ὀρφικῶν γραμμάτων.*

251. Heraclitus Clemens Alexandrin. Strom. VI 2, 27, 1 (II 443, 10 Staeh.) *σιωπῶ δὲ Ἡράκλειτον τὸν Ἐφέσιον, ὃς παρ' Ὀρφέως τὰ πλεῖστα εἴληφεν.* Plutarch. De def. orac. 12 p. 415 f.; v. P. II. s. *ΔΩΔΕΚΑΕΤΗΡΙΔΕΣ* Diels *Herakleitos*[2] 32 n. 63; Nestle *Philol.* LXIV 1905, 367.

252. Hippias Eleus (in *Συναγωγῆι* Th. Gomperz) ap. Clem. Alex. Strom. VI 2, 15, 1. 2 (II 434, 19 Staeh. = Diels II[3] 286 n. 6) *ἀλλ' ἵνα μὴ ἐπὶ πλέον προΐηι ὁ λόγος φιλοτιμουμένων ἡμῶν τὸ εὐεπίφορον εἰς κλοπὴν τῶν Ἑλλήνων κατὰ τοὺς λόγους τε καὶ τὰ δόγματα ἐπιδεικνύναι, φέρε ἄντικρυς μαρτυροῦντα ἡμῖν Ἱππίαν τὸν σοφιστὴν τὸν Ἠλεῖον, ὃς τὸν αὐτὸν περὶ τοῦ προκειμένου μοι σκέμματος ἥκει λόγον,*[1] *παραστησώμεθα ὧδέ πως λέγοντα· 'τούτων ἴσως εἴρηται τὰ μὲν Ὀρφεῖ, τὰ δὲ Μουσαίωι κατὰ βραχὺ*[2] *ἄλλωι ἀλλαχοῦ,*[3] *τὰ δὲ Ἡσιόδωι, τὰ δὲ Ὁμήρωι, τὰ δὲ τοῖς ἄλλοις τῶν ποιητῶν, τὰ δὲ ἐν συγγραφαῖς τὰ μὲν*

Ἕλλησι, τὰ δὲ βαρβάροις· ἐγὼ δὲ ἐκ πάντων τούτων τὰ μέγιστα καὶ ὁμόφυλα[4] *συνθεὶς τοῦτον*[5] *καινὸν καὶ πολυειδῆ τὸν λόγον ποιήσομαι'.*

1 ὅς — ἧκεν L, ὅς — ἥκεν Diels, ὅς ⟨εἰς⟩ — ἥκει Staeh. 2 κατὰ βραχὺ del. Th. Gomp. *Hellen.* I 289 3 ἄλλως Geel., ἄλλωι ⟨ἄλλα⟩ ἀλλαχοῦ post βαρβάροις Th. Gomp., ἄλλα ἀλλαχοῦ H. Gomperz *Sophist. und Rhet.* 72 n. 155. τὰ δὲ συγγραφεῦσι Th. Gomp. 4 τὰ μάλιστα [καὶ] ὁμ. Nauck. *Bull. Acad. Petropolit.* XII 1868, 528; βέλτιστα καὶ Cobet *Λόγιος Ἑρμῆς* I 1866. 1867, 232; τὰ μέγιστα ⟨ἐκλεξάμενος⟩ καὶ ⟨τὰ μάλιστα⟩ ὁμόφυλα Th. Gomp. 5 οὕτω Th. Gomp.

APPENDIX DE ORPHEO IN POESI CELEBRATO

Tragoediae.

253. Aeschyli tetralogiae Lycurgeae secunda fabula *Βασσάραι* (vel *Βασσαρίδες*) cuius argumentum de Orphei morte agebat v. nr. 45.

Aristiae *Ὀρφεύς* (Poll. IX 43) Nauck² p. 727 fr. 5.

Comoedia.

254. Antiphanis *Ὀρφεύς* Kock CAF II 85 fr. 180.

Epyllia.

255. De Philita v. supra nr. 62. Num Bion Smyrnaeus carmen Orphea celebrans condiderit, dubium; v. Knaack *RE*² III 481; Ehwaldium⁴ ad Ovidii Metam. XI 1. 44.

Lucani Orpheus: fragmenta in Hosii editione 328.

Pantomimus.

256. Lucian. *Περὶ ὀρχήσεως* 51 *ἔχει καὶ Θράικη πολλὰ τῶι ὀρχησομένωι ἀναγκαῖα, τὸν Ὀρφέα, τὸν ἐκείνου σπαραγμὸν καὶ τὴν λάλον αὐτοῦ κεφαλὴν τὴν ἐπιπλέουσαν τῆι λύραι, καὶ τὸν Αἷμον καὶ τὴν Ῥοδόπην καὶ τὴν Λυκούργου κόλασιν.* Cf. *Ἰάκχου σπαραγμόν* l. l. 39; Kern *Orph.* 56.

In amphitheatro.

257. Martialis Spect. 21 *quidquid in Orpheo Rhodope spectasse theatro dicitur, exhibuit, Caesar, harena tibi. repserunt*

scopuli mirandaque silva cucurrit, quale fuisse nemus creditur Hesperidum. affuit immixtum pecori genus omne ferarum et supra vatem multa pependit avis, ipse sed ingrato iacuit laceratus ab urso. haec tamen, haec res est facta ita, ficta prior et 21 b *Orphea quod subito tellus emisit hiatu, versa — miramur? — venit ab Eurydice.* Friedlaender-Wissowa *Sittengesch. Roms* II⁹ 91.

ADDENDA

258. (v. nrr. 46 ss.; 90 ss.) Tatian. Ad Graecos 1 p. 1, 9 Schw. in catalogo *εὑρημάτων* (cf. Clem. Alex. Strom. I 16, 74, 1 cum notis Staehlinii I 47, 20). *ποίησιν μὲν γὰρ ἀσκεῖν καὶ ᾄδειν Ὀ. ὑμᾶς ἐδίδαξεν, ὁ δὲ αὐτὸς καὶ μυεῖσθαι.*

259. (v. e. g. nrr. 27. 164) Quintilian. Instit. I 10, 9 p. 58, 8 Raderm. *quis ignorat, musicen . . . tantum iam illis antiquis temporibus non studii modo, verum etiam venerationis habuisse, ut idem musici et vates et sapientes iudicarentur, mittam alios, O. et Linus: quorum utrumque dis genitum, alterum vero, quia rudes quoque atque agrestes animos admiratione mulceret, non feras modo, sed saxa etiam silvasque duxisse posteritatis memoriae traditum est.* Lob. I 270 n. *p*.

260. (v. nr. 67) Lib. Monstr. III 3 (Haupt II 246, 19) *Hydra anguis armatus fuisse describitur, quae Eurydicen coniugem Orphei in ripa fluminis capite truncavit et demersit in gurgitem* v. F. Boll *Στοιχ.* I 109.

261. Stephan. Alexandr. *Περὶ χρυσοποιΐας σὺν θεῷι πρᾶξις δευτέρα* Phys. et med. Gr. min. ed. Ideler II 203, 11 *Ὀρφέα γάρ φησι λιχανὸν τοῖς* (suppeditavit benigne Wilamowitzius, postquam ipse *λιχανοὺς* conieci; *ληχάνοντες* Idel.) *ῥυθμικοῖς ἐνηρμόσθαι φθόγγοις, ὥστε καὶ τῆς ὁμοταγοῦς οὐσιῶν κινήσεως ἡ συμφωνία ὑπηχῆται, καὶ τὴν ᾄδουσαν ἐμμελῶς ἐκτελεῖ μελῳδίαν.*

262. *Στίχοι εἰς τὸν θεῖον Δαβίδ* (*Ψαλτήριον.* Venetiae 1494) v. Legrand *Bibliogr. Hellén.* I 1885, 23 *Σίγησον, Ὀρφεῦ· ῥῖψον, Ἑρμῆ, τὴν λύραν· τρίπους ὁ Δελφοῖς, δῦνον εἰς λήθην ἔτι.*

PARS POSTERIOR

FRAGMENTA ORPHICORUM

1. FRAGMENTA VETERIORA

1. Aristophanes Aves 690 (Avium chorus):

ἵν᾽ ἀκούσαντες πάντα παρ᾽ ἡμῶν ὀρθῶς περὶ τῶν μετεώρων,
φύσιν οἰωνῶν γένεσίν τε θεῶν ποταμῶν τ᾽ Ἐρέβους τε Χάους τε
εἰδότες ὀρθῶς, Προδίκωι παρ᾽ ἐμοῦ κλάειν εἴπητε τὸ λοιπόν.
Χάος ἦν καὶ Νὺξ Ἔρεβός τε μέλαν πρῶτον καὶ Τάρταρος εὐρύς,
γῆ δ᾽ οὐδ᾽ ἀὴρ οὐδ᾽ οὐρανὸς ἦν· Ἐρέβους δ᾽ ἐν ἀπείροσι κόλποις
τίκτει πρώτιστον ὑπηνέμιον Νὺξ ἡ μελανόπτερος ᾠόν,
ἐξ οὗ περιτελλομέναις ὥραις ἔβλαστεν Ἔρως ὁ ποθεινός,
στίλβων νῶτον πτερύγοιν χρυσαῖν, εἰκὼς ἀνεμώκεσι δίναις.
οὗτος δὲ Χάει πτερόεντι μιγεὶς νυχίωι κατὰ Τάρταρον εὐρὺν
ἐνεόττευσεν γένος ἡμέτερον, καὶ πρῶτον ἀνήγαγεν ἐς φῶς.
πρότερον δ᾽ οὐκ ἦν γένος ἀθανάτων, πρὶν Ἔρως ξυνέμειξεν ἅπαντα.
ξυμμειγνυμένων δ᾽ ἑτέρων ἑτέροις γένετ᾽ Οὐρανὸς Ὠκεανός τε
καὶ Γῆ πάντων τε θεῶν μακάρων γένος ἄφθιτον.

692 *παρ᾽ ἐμοῦ Προδίκωι* R, schol. Nub. 361 et Suid. 696 *ποθεινός* codd.] *πετηνός* Herwerd. coll. Platon. Phaedr. 252 b. 698 *ἠερόεντι* Hermann] *εὐρώεντι* Kock, *νύχιος* Herwerd. 701 *γένετ᾽* Ald.] *ἐγένετ᾽ PVAΓ*, *γέγον᾽* Kiehl Mnemosyn. II 1853, 104.

Diels II^3 166 n. 12; Kern De Theogon. 48. 72; Gruppe *Suppl.* 744; Holwerda 304; Zeller I^6 125 n. 2; Susemihl Ind. IX. XVII; Dieterich l. infra allato 123.

Errat Schol. 693 *ταῦτα οὐκ ἀναγκαῖον ἀπευθύνειν πρὸς τὰ Ἡσιόδου ἢ πρός τινα ἄλλον τινὸς γενεαλόγου.* Immo Theogoniae Orphicae primum vestigium (a. 414); quo in libro narrata sit, ignoramus. Mysteria Orphica in Aristophanis Nubibus 250 ss. irrisa esse, Dieterich. *Rhein. Mus.* XLVIII 1893, 275 = *Kl. Schr.* 117 luculenter demonstravit v. test. nr. 205. Memoratu dignum est, etiam mythum Aristophaneum in Platonis Symposio 189 d doctrinam Orphicam sapere, ut Conr. Ziegler *N. Jahrb.* XXXI 1913, 529 recte quidem observavit, Wilamowitzius autem *Platon* I[1] 370 et Deubner *Arch. f. Religionsw.* XX 1920, 167 iniuria negavisse videntur; Kern *Orph.* 48.

Ad *ὀρθῶς* 690. 692 confert Dieterich Nubes 250 *βούλει τὰ θεῖα πράγματ' εἰδέναι σαφῶς, ἅττ' ἐστὶν ὀρθῶς*; subaudiens vocem Orphicam.

2. Eurip. Hypsipyle (anni 409, Robert *Herm.* XLIV 1909, 401 n. 1) fr. LVII (p. 59 Arnim), v. W. Morel De Eurip. Hyps. diss. Moeno-Francofurt. 1921, 46.

> *⟨ὦ⟩ πότνια θεῶν*
> *⟨φ⟩άος ἄσκοπον* ⟨– ⏑ ⏑ – ⏑ ⏑⟩
> *⟨αἰθ⟩έρι πρωτόγονο* ⟨*ς*? *ν*? . . .⟩
> ⟨. . . *Ἔ*⟩*ρως ὅτε Ν*⟨*ὺξ*? . . .⟩
> ⏑ ⏑ *δη τοτε* . . .
> . . . *γενο* . . .

Poetam doctissimum, qui Orphei multis fabularum locis mentionem facit (v. test. nrr. 30. 38. 49. 50. 78. 79. 82. 83. 213) Theogoniam Orphicam in mente habuisse apparet; nam et Phanes *πρωτόγονος*, Aetheris filius, cui praeter alia etiam Amoris nomen inditum erat, et *Νύξ* eiusdem filia e laciniis miseris evadunt. *ἐν αἰθέρι φέγγος ἄελπτον* habent Orphici v. infra s. *ΙΕΡΟΙ ΛΟΓΟΙ*. Verisimilius autem vs. ⟨*αἰολό*⟩*χρως* (cf. Eurip. fr. 593 vs. 4 Nauck TGF[2]) *Ν*⟨*ὺξ ἐπιβαίνηι*?⟩ supplendum esse comiter mihi per litteras indicat W. Morelius. Certa restitutio fragmenti praeberi nequit; at verba Orphica elucent.

3. Plat. Respubl. II 364 e *βίβλων δὲ ὅμαδον*[1] *παρέχονται* (sc. *ἀγύρται καὶ μάντεις*) *Μουσαίου καὶ Ὀρφέως, Σελήνης τε καὶ Μουσῶν ἐκγόνων*,[2] *ὥς φασι, καθ' ἃς θυηπολοῦσιν, πείθοντες οὐ μόνον ἰδιώτας ἀλλὰ καὶ πόλεις, ὡς ἄρα λύσεις τε καὶ καθαρμοὶ ἀδικημάτων διὰ θυσιῶν*[3] *καὶ παιδιᾶς ἡδονῶν*[4] *εἰσι μὲν ἔτι ζῶσιν, εἰσὶ δὲ καὶ*

τελευτήσασιν, ἃς δὴ τελετὰς καλοῦσιν, αἳ τῶν ἐκεῖ κακῶν ἀπολύουσιν ἡμᾶς, μὴ θύσαντας δὲ δεινὰ περιμένει.[5] Cf. Schol. p. 398 Bekk. (Lob. I 751) *βίβλων*] *περὶ ἐπωιδῶν καὶ καταδέσμων καὶ καθαρσίων καὶ μειλιγμάτων καὶ τῶν ὁμοίων.*

1 *ὁρμαθὸν* Lob. et Diels coll. Theophr. char. VI 8 *ὁρμαθοὺς γραμματειδίων ἐν ταῖς χερσίν.* 2 *ἐγγόνων* codd. 3 *διὰ θυσιῶν* AM, *μετὰ* F. 4 *ἡδονῶν* del. Madvig. 5 *περιμένει* A, *περιμενεῖ* F, *περιμένειν* Cob. Platonis verba respicit Schol. Aristoph. Ran. 1033 v. test. nr. 90.

Lob. I 643; Diels II³ 168 n. 5; Zeller I⁶ 123, 2; Schuster 7. 14; Gruppe *Suppl.* 713. 720; Susemihl Ind. XVII; Maaß *Orph.* 76; Rohde *N. Heidelb. Jahrb.* VI 1895, 3 = *Kl. Schr.* II 295; Tannery *Rev. de philol.* XXV 1901, 317, qui contraponit II 364 b. c *ἀγύρται δὲ καὶ μάντεις ἐπὶ πλουσίων θύρας ἰόντες πείθουσιν ὡς ἔστι παρὰ σφίσι δύναμις ἐκ θεῶν ποριζομένη θυσίαις τε καὶ ἐπωιδαῖς, εἴτε τι ἀδίκημά του γέγονεν αὐτοῦ ἢ προγόνων, ἀκεῖσθαι μεθ' ἡδονῶν τε καὶ ἑορτῶν, ἐάν τέ τινα ἐχθρὸν πημῆναι ἐθέληι, μετὰ σμικρῶν δαπανῶν ὁμοίως δίκαιον ἀδίκωι βλάψει* (ADM] *βλάψη* F, *βλάψειν* scr. Mon., *βλάψαι* Muretus) *ἐπαγωγαῖς τισιν καὶ καταδέσμοις, τοὺς θεούς, ὥς φασιν, πείθοντές σφισιν ὑπηρετεῖν*, et 366 a. b *'ἀλλὰ γὰρ ἐν Ἅιδου δίκην δώσομεν ὧν ἂν ἐνθάδε ἀδικήσωμεν, ἢ αὐτοὶ ἢ παῖδες* (*ἢ παῖδες* suppl. Baiter v. fr. 4) *παίδων'. ἀλλ', ὦ φίλε, φήσει λογιζόμενος, αἱ τελεταὶ αὖ μέγα δύνανται καὶ οἱ λύσιοι θεοί* (v. *Διόνυσος Λυσεύς* Olympiodor. Phaed. 87, 13 Norv. s. *ΙΕΡΟΙ ΛΟΓΟΙ*), *ὡς αἱ μέγισται πόλεις λέγουσι καὶ οἱ θεῶν παῖδες ποιηταὶ καὶ προφῆται τῶν θεῶν γενόμενοι, οἳ* (del. Madv.) *ταῦθ' οὕτως ἔχειν μηνύουσι.* Phaedr. 244 d *ἀλλὰ μὴν νόσων γε καὶ πόνων τῶν μεγίστων, ἃ δὴ παλαιῶν ἐκ μηνιμάτων ποθὲν ἔν τισι τῶν γενῶν ἡ* (BT] *γενῶν ἦν* Herm.) *μανία ἐγγενομένη καὶ προφητεύσασα, οἷς ἔδει ἀπαλλαγὴν ηὕρετο, καταφυγοῦσα πρὸς θεῶν εὐχάς τε καὶ λατρείας, ὅθεν δὴ καθαρμῶν τε καὶ τελετῶν τυχοῦσα ἐξάντη ἐποίησε τὸν* [*ἑαυτῆς* del. Burn.] *ἔχοντα* (*αὐτὴν ἔχοντα* Aristid.) *πρός τε τὸν παρόντα καὶ τὸν ἔπειτα χρόνον, λύσιν τῶι ὀρθῶς μανέντι τε καὶ κατασχομένωι τῶν παρόντων κακῶν εὑρομένη* v. Procl. in Tim. 22 d (I 118, 30 Diehl); Lob. I 639.

Ad *θυηπολοῦσιν* v. infra s. *ΘΥΗΠΟΛΙΚΟΝ* (Suid. test. nr. 223 d) et de librorum Orphicorum fama quarto saeculo volgata Alexin in Lino test. nr. 220.

4. (227. 267) Plat. Respubl. II 363 c. d *Μουσαῖος δὲ τούτων* (sc. Hesiodi et Homeri) *νεανικώτερα τἀγαθὰ καὶ ὁ υἱὸς αὐτοῦ παρὰ θεῶν διδόασιν τοῖς δικαίοις· εἰς Ἅιδου γὰρ ἀγαγόντες τῶι λόγωι καὶ κατακλίναντες καὶ συμπόσιον τῶν ὁσίων κατασκευάσαντες ἐστεφανωμένους ποιοῦσιν τὸν ἅπαντα χρόνον ἤδη διάγειν μεθύοντας,*[1] *ἡγησάμενοι κάλλιστον ἀρετῆς μισθὸν μέθην αἰώνιον. οἱ δ' ἔτι τούτων μακροτέρους ἀποτίνουσιν*[2] *μισθοὺς παρὰ θεῶν· παῖδας γὰρ παίδων φασὶ καὶ γένος κατόπισθεν λείπεσθαι τοῦ ὁσίου καὶ εὐόρκου. ταῦτα δὴ καὶ ἄλλα τοιαῦτα ἐγκωμιάζουσιν δικαιοσύνην· τοὺς δὲ ἀνοσίους αὖ καὶ ἀδίκους εἰς πηλόν τινα κατορύττουσιν ἐν Ἅιδου καὶ κοσκίνωι ὕδωρ ἀναγκάζουσι φέρειν, ἔτι τε ζῶντας εἰς κακὰς δόξας ἄγοντες, ἅπερ Γλαύκων περὶ τῶν δικαίων δοξαζομένων δὲ ἀδίκων διῆλθε τιμωρήματα, ταῦτα περὶ τῶν ἀδίκων λέγουσιν, ἄλλα δὲ οὐκ ἔχουσιν. ὁ μὲν οὖν ἔπαινος καὶ ὁ ψόγος οὗτος ἑκατέρων.*

1 *μεθύοντας* seclus. Cobet. 2 *ἀποτίνουσιν* (= *ἀποτίνεσθαί φασιν* Diels) Monac. B, *ἀποτείνουσιν* A.

Lob. II 806; Diels II³ 168 n. 4; Gruppe *Suppl.* 719; Dieterich *Nekyia*² 72; Tannery *Rev. de philol.* XXV 1901, 315.

Qui filius Musaei dictus sit, dubium. Quamvis de Eumolpo certe cogitari possit (Maaß *Orph.* 111), tamen Orphicos a Platone significatos esse credimus (Rohde *Psyche* II⁶ 129 n. 3). Cf. Plutarch. Compos. Cimon. et Luc. c. 1 *Πλάτων ἐπισκώπτει τοὺς περὶ τὸν Ὀρφέα τοῖς εὖ βεβιωκόσι φάσκοντας ἀποκεῖσθαι γέρας ἐν Ἅιδου μέθην αἰώνιον.* Verba *παῖδας γὰρ παίδων κτλ.* Homerum ex Orpheo mutuatum esse opinatur Serv. ad Vergil. Aen. III 98 (*et nati natorum et qui nascentur ab illis*) *nati natorum propter illud 'et mansuram urbem'. nam oraculum semper ad petita respondet.*[1] *sane hic versus Homeri* (Il. *Υ* 308 *καὶ παίδων παῖδες, τοί κεν μετόπισθε γένωνται* cf. Macrob. Sat. V 3, 8) *est, quem et ipse de Orpheo*[2] *sustulit, item O. de oraculo Apollinis Hyperborei.*

1 respondit FHE. 2 de Orpheo ME, orpheos F, orpheo LH.

Lob. II 952 n. X; Gruppe *Suppl.* 719 n. 1; Dieterich *Nekyia*² 131 n. 3; R. Hirzel *Der Eid* 111 n., qui cum verbis Platonis *γένος — τοῦ ὁσίου καὶ εὐόρκου* comparat Pindar. Ol. III 73 *εὐσεβεῖ γνώμαι φυλάσσοντες μακάρων τελετάς* et carminis Orphici *ΟΡΚΟΙ* mentionem facit.

5. (228) Plat. Phaedo 69 c *καὶ κινδυνεύουσι*[1] *καὶ οἱ τὰς τελετὰς ἡμῖν οὗτοι καταστήσαντες οὐ φαῦλοί τινες*[2] *εἶναι, ἀλλὰ*

τῶι ὄντι πάλαι αἰνίττεσθαι, ὅτι ὃς ἂν ἀμύητος καὶ ἀτέλεστος εἰς Ἅιδου ἀφίκηται ἐν βορβόρωι κείσεται, ὁ δὲ κεκαθαρμένος τε καὶ τετελεσμένος ἐκεῖσε ἀφικόμενος μετὰ θεῶν οἰκήσει. εἰσὶν γὰρ δή, [*ὥς*][3] *φασιν οἱ περὶ τὰς τελετάς, ναρθηκοφόροι μὲν πολλοί, βάκχοι δέ τε παῦροι. οὗτοι δ' εἰσὶν κατὰ τὴν ἐμὴν δόξαν οὐκ ἄλλοι ἢ οἱ πεφιλοσοφηκότες ὀρθῶς.*

1 *κινδυνεύουσι* B *γρ* W Iambl. Olympiodor., *κινδυνεύωσι* B²TW. 2 *τινες* B²TW, om. B Iambl. Stob. 3 *ὥς* B Clem. Stob., om. T Iambl.

Lob. II 809; Gruppe *Suppl.* 719; Dieterich *Nekyia*² 73; Tannery *Rev. philol.* XXV 1901, 316; Kern *Orph.* 45; Casel De philosophor. graecor. silentio mystico 36 (*RVV* XVI 2).

Sententia *ἐν βορβόρωι κεῖσθαι* latet in Asii elegia v. 4 Bergk PLG⁴ II 406: *ἐν δὲ μέσοισιν ἥρως εἱστήκει βορβόρου ἐξαναδύς.* Maaß *Rektoratsprogr.* Marpurgi 1913, 47 n. 27. Versum *πολλοὶ μὲν ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι* Orphicum esse testatur Olympiodor. in Phaedon. 67 c p. 43, 21 et in 70 c p. 58, 14 Norv.; laudat versum eiusdem formae etiam Hermias in Phaedr. 249 c p. 172, 10 Couvr.; v. infra s. *ΙΕΡΟΙ ΛΟΓΟΙ.*

6. Plat. Phaedo 70 c *σκεψώμεθα δὲ αὐτὸ τῇδέ πῃ, εἴ ἄρα ἐν Ἅιδου εἰσὶν αἱ ψυχαὶ τελευτησάντων τῶν ἀνθρώπων εἴτε καὶ οὐ. παλαιὸς μὲν οὖν ἐστί τις λόγος* (B] *ὁ λόγος οὗτος* B²TW Olympiod., *λόγος οὗτος* Stob.) *οὗ μεμνήμεθα, ὡς εἰσὶν ἐνθένδε ἀφικόμεναι ἐκεῖ, καὶ πάλιν γε δεῦρο ἀφικνοῦνται καὶ γίγνονται ἐκ τῶν τεθνεώτων.* Olympiodor. interpretatur 60, 9 Norv. *Ὀρφικὸς γάρ ἐστι καὶ Πυθαγόρειος.*

7. (221) Plat. Phaedo 62 b *ὁ μὲν οὖν ἐν ἀπορρήτοις λεγόμενος περὶ αὐτῶν λόγος, ὡς ἔν τινι φρουρᾶι ἐσμεν* (*πάντες* add. B²) *οἱ ἄνθρωποι καὶ οὐ δεῖ δὴ ἑαυτὸν ἐκ ταύτης λύειν οὐδ' ἀποδιδράσκειν, μέγας τέ τίς μοι φαίνεται καὶ οὐ ῥάιδιος διιδεῖν.* Schol. p. 379 Bekk. *ἐντεῦθεν τὸ πρῶτον πρόβλημα τὸ μὴ δεῖν ἐξάγειν ἑαυτόν, οὐ ἐπιχείρημα μυθικὸν ἐξ Ὀρφέως ληφθέν* et Procl. in Remp. I 85, 1 Kr. v. s. *ΙΕΡΟΙ ΛΟΓΟΙ.*

Lob. II 795; Gruppe *Suppl.* 717; Rohde *Psyche* II⁶ 279 n. 1; Tannery *Rev. de philol.* XXV 1901, 314.

8. (221) Plat. Cratyl. 400 c *καὶ γὰρ σῆμά τινές φασιν αὐτὸ εἶναι τῆς ψυχῆς* (sc. *σῶμα*), *ὡς τεθαμμένης ἐν τῶι νῦν παρόντι· καὶ διότι αὖ τούτωι σημαίνει ἃ ἂν σημαίνηι*[1] *ἡ ψυχή, καὶ ταύτηι σῆμα ὀρθῶς καλεῖσθαι. δοκοῦσι μέντοι μοι*[2] *μάλιστα θέσθαι οἱ ἀμφὶ Ὀρφέα τοῦτο τὸ ὄνομα, ὡς δίκην διδούσης τῆς*

ψυχῆς ὧν δὴ ἕνεκα[3] *δίδωσιν, τοῦτον δὲ περίβολον ἔχειν, ἵνα σώιζηται, δεσμωτηρίου εἰκόνα· εἶναι οὖν τῆς ψυχῆς τοῦτο, ὥσπερ αὐτὸ*[4] *ὀνομάζεται, ἕως ἂν ἐκτείσηι τὰ ὀφειλόμενα, [τὸ]*[5] *σῶμα, καὶ οὐδὲν*[6] *δεῖν οὐδὲ*[7] *ἓν γράμμα.*

1 *σημήνῃ* T. 2 *μοι* om. Stob. 3 *ὧν δὴ ἕνεκα* Heindorf, *δὲ* codd. 4 *τοῦτο, ὥσπερ αὐτὸ* BT, *τοῦτο αὐτό, ὥσπερ* Stob. 5 *τὸ* omis. recte Stob. 6 *οὐδὲν* BT Stob., *οὐδὲ* Gudian. 44. 7 *οὐδὲ ἓν* Diels, *οὐδ' ἓν* Burnet, *οὐδὲν* B Stob., *οὐδὲ* T.

Lob. II 795; Diels II[3] 168 n. 3; Gruppe *Suppl.* 718; Rohde *Psyche* II[6] 108 n. 1; Tannery *Rev. de philol.* XXV 1901, 314.

Ab Orphicis Pythagoreos sententiam *σῶμα — σῆμα* mutuatos esse testatur Philolai fr. 14 (Diels I[3] p. 315) *μαρτυρέονται δὲ καὶ οἱ παλαιοὶ θεολόγοι τε καὶ μάντιες, ὡς διά τινας τιμωρίας ἁ ψυχὰ τῶι σώματι συνέζευκται καὶ καθάπερ ἐν σάματι τούτωι τέθαπται.* Cic. Hortens. fr. 88 Bait. (fr. 85 Or.) *ex quibus humanae vitae erroribus et aerumnis fit, ut interdum veteres illi sive vates sive in sacris initiisque tradendis divinae mentis interpretes, qui nos ob aliqua scelera suscepta in vita superiore poenarum luendarum causa natos esse dixerunt, aliquid vidisse videantur, verumque sit illud, quod est apud Aristotelem* (fr. 60 Rose[3] 71), *simili nos adfectos esse supplicio atque eos, qui quondam, cum in praedonum Etruscorum manus incidissent, crudelitate excogitata necabantur, quorum corpora viva cum mortuis, adversa adversis accomodata, quam aptissime* (*artissime* Bernays) *colligabantur, sic nostros animos cum corporibus copulatos ut vivos cum mortuis esse coniunctos.* Iamblich. Protrept. VIII 134 K p. 47, 21 Pistelli *τίς ἂν*[1] *οὖν εἰς ταῦτα βλέπων οἴοιτο εὐδαίμων εἶναι καὶ μακάριος, οἳ πρῶτον*[2] *εὐθὺς φύσει συνέσταμεν, καθάπερ φασὶν οἱ τὰς τελετὰς λέγοντες, ὥσπερ ἂν ἐπὶ τιμωρίαι πάντες; τοῦτο γὰρ θείως οἱ ἀρχαιότεροι λέγουσι τὸ φάναι διδόναι τὴν* | [48 Pist.] *ψυχὴν τιμωρίαν καὶ ζῆν*[3] *ἡμᾶς ἐπὶ κολάσει μεγάλων τινῶν ἁμαρτημάτων.*

1 *τίς ἂν* Vulcan., (*πολύ*) *τι. ἐὰν* codd. 2 *οἳ* ante *πρῶτον* ex Cizens. Rose, *οἱ* codd., *οἷς* A. 3 *ζῆν ἡμᾶς* codd., *ζημίας* Platt *Journ. of philol. Lond.* XXVI 1899, 232.

9. Plat. Leg. III 701 b. c *ἐφεξῆς δὴ ταύτηι τῆι ἐλευθερίαι ἡ τοῦ μὴ ἐθέλειν τοῖς ἄρχουσι δουλεύειν γίγνοιτ' ἄν, καὶ ἑπομένη ταύτηι φεύγειν πατρὸς καὶ μητρὸς καὶ πρεσβυτέρων δουλείαν καὶ νουθέτησιν* (L] *νομοθέτησιν* AO), *καὶ ἐγγὺς τοῦ τέλους οὖσιν νόμων ζητεῖν μὴ ὑπηκόοις εἶναι, πρὸς αὐτῶι δὲ ἤδη τῶι*

τέλει ὅρκων καὶ πίστεων καὶ τὸ παράπαν θεῶν μὴ φροντίζειν, τὴν λεγομένην παλαιὰν Τιτανικὴν φύσιν ἐπιδεικνῦσι καὶ μιμουμένοις, ἐπὶ τὰ αὐτὰ πάλιν ἐκεῖνα ἀφικομένους, χαλεπὸν αἰῶνα διάγοντας μὴ λῆξαί ποτε κακῶν.

Schuster 26; Kern De Theogon. 44.

Ad *λεγομένη παλαιὰ Τιτανικὴ φύσις* v. Kern *Orph.* 44 et infra s. *ΙΕΡΟΙ ΛΟΓΟΙ.*

10. Plat. Epist. VII 335 a *πείθεσθαι δὲ ὄντως ἀεὶ χρὴ τοῖς παλαιοῖς τε καὶ ἱεροῖς λόγοις, οἳ δὴ μηνύουσιν ἡμῖν ἀθάνατον ψυχὴν εἶναι δικαστάς τε ἴσχειν καὶ τίνειν τὰς μεγίστας τιμωρίας, ὅταν τις ἀπαλλαχθῆι τοῦ σώματος.*

De Orphicorum *ἱεροῖς λόγοις* v. infra s. *ΙΕΡΟΙ ΛΟΓΟΙ.*

11. (254) Plato Leg. II 669 d *ποιηταὶ δὲ ἀνθρώπινοι σφόδρα τὰ τοιαῦτα ἐμπλέκοντες καὶ συγκυκῶντες ἀλόγως, γέλωτ' ἂν παρασκευάζοιεν τῶν ἀνθρώπων ὅσους φησὶν Ὀ. λαχεῖν ὥραν τῆς τέρψιος.*

Orphei sententia huiusmodi fuisse videtur: ὅσσοι ⟨ἥβης μέτρον ἵκοντο⟩ λάχον δέ τε τέρψιος ὥρην id est quicunque ad pubertatis annos et ad eam aetatem adoleverunt, quae Veneri matura habetur. hinc Plato transfert ad iudicii maturitatem, illudque musicae genus, de quo loquitur, omnibus, qui in his rebus aliquem sensum habeant veraeque voluptatis capaces sint, taedio fore dicit Lob. II 948.

Lob. l. l.; Diels II³ 169 n. 2; Tannery *Rev. de philol.* XXV 1901, 313.

12. Plat. Leg. VIII 829 d. e *μηδέ τινα τολμᾶν ᾄδειν ἀδόκιμον μοῦσαν μὴ κρινάντων τῶν νομοφυλάκων, μηδ' ἂν ἡδίων ᾖ τῶν Θαμύρου τε καὶ Ὀρφείων ὕμνων.*

Lob. I 390; Diels II³ 169 n. 6 a; Tannery *Rev. de philol.* XXV 1901, 313.

Platonem in Legibus saepius quam in aliis dialogis Orphea arcessere iam Schuster 26 monuit; v. test. nr. 212, frr. 9. 11. 19. 21 et III 677 d Cliniae verba *τοῦτο ὅτι μὲν μυριάκις μύρια ἔτη διελάνθανεν ἄρα τοὺς τότε, χίλια δὲ ἀφ' οὗ γέγονεν* (del. Herm.) *ἢ δὶς τοσαῦτα ἔτη, τὰ μὲν Δαιδάλωι καταφανῆ γέγονεν* (del. Ast.), *τὰ δὲ Ὀρφεῖ, τὰ δὲ Παλαμήδει, τὰ δὲ περὶ μουσικὴν Μαρσύαι καὶ Ὀλύμπωι, περὶ λύραν δὲ Ἀμφίονι, τὰ δὲ ἄλλα ἄλλοις πάμπολλα, ὡς ἔπος εἰπεῖν χθὲς καὶ πρώιην γεγονότα.* De omnibus Platonis ad Orphicos spectantibus locis v. F. Weber *Platon. Notizen über O.* Progr. Monacense 1899.

13. Plat. Sympos. 218 b *πάντες γὰρ κεκοινωνήκατε τῆς φιλοσόφου μανίας τε καὶ βακχείας — διὸ πάντες ἀκούσεσθε· συγγνώσεσθε γὰρ τοῖς τε τότε πραχθεῖσι καὶ τοῖς νῦν λεγομένοις. οἱ δὲ οἰκέται, καὶ εἴ τις* (*τις* TW Pap. Oxyr., *τι* B) *ἄλλος ἐστὶν βέβηλός τε καὶ ἄγροικος, πύλας πάνυ μεγάλας τοῖς ὠσὶν ἐπίθεσθε.*

Diels II³ 169 n. 7; Kern *Archiv f. Gesch. d. Philos.* I 1888, 504; Gruppe *Suppl.* 711 n. 1. 713; Zeller *Zeitschr. wiss. Theolog.* XLII 1899, 269 = *Kl. Schr.* II 184; Casel De philosophor. Graecor. silentio mystico 29. 36 (*RVV* XVI 2).

V. infra s. *ΔΙΑΘΗΚΑΙ.*

14. (34) Plat. Phileb. 66 c *''Ἕκτηι δ' ἐν γενεᾶι' φησὶν Ὀ. 'καταπαύσατε κόσμον*[1] *ἀοιδῆς'. ἀτὰρ κινδυνεύει καὶ ὁ ἡμέτερος λόγος ἐν ἕκτηι καταπεπαυμένος εἶναι κρίσει.* Plutarch. De *E* ap. Delph. p. 391 d *πέμπτον εἴ τις ἡδονὴ καθαρὰ καὶ πρὸς τὸ λυποῦν ἄκρατος, ἐνταῦθα λήγει τὸ Ὀρφικὸν ὑπειπών·*

ἕκτηι δ' ἐν γενεῆι καταπαύσατε θυμὸν ἀοιδῆς.

1 *κόσμον* Platon. codd. et Euseb. Praep. ev. XIV 22 (II 319, 9 Dind.) *θυμὸν* Plutarchi codd., *θεσμὸν* Badham; Rohde *Psyche* II⁶ 120 n. 1, *οἶμον* Kroll *Philol.* LIII 1894, 420 collato Hom. Hymn. in Mercurium 451 *ἀγλαὸς οἶμος ἀοιδῆς.*

Procl. in Plat. Remp. II 100, 23 Kr. *''Ἕκτηι δ' ἐν γενεῆι' φησὶν Ὀ., τοὺς δημίους τοὺς κοσμικούς, οἳ τοὺς τυραννικῶς βεβιωκότας ἄγριοί τινες ὄντες καὶ ἀπαραίτητοι κολάζουσιν διαλαμβάνοντες· οἷς ὑπέστρωται τὰ τῆς τείσεως δεσμωτήρια καὶ τὸ ἔσχατον καὶ φρικωδέστατον τῶν ψυχῶν οἰκητήριον καὶ κολαστήριον ὁ Τάρταρος.* Laudat *'ἕκτηι δ' ἐν γενεᾶι'* vel simile saepius Damasc. De princ. 53 (I 107, 23 Rue.), 199 (II 80, 15), 253 (II 123, 5), 278 (II 150, 6) *ἕκτον τοίνυν, πῶς καὶ κατ' Ὀρφέα καὶ κατὰ τὰ λόγια τῆς ζωιογόνου θεοῦ ἐξῆπται ἡ φύσις,* 381 (II 231, 26).

Lob. II 788; Diels II³ 167 n. 1; O. Mueller *Prolegom.* 385; Schuster 13. 67; Kern De Theogon. 46; Gruppe *Suppl.* 692. 745; Zeller I⁶ 124 n.; Susemihl Ind. XI.

15. (32) Plat. Cratyl. 402 b (cf. Procl. in Tim. III 176, 10 Diehl) *ὥσπερ αὖ Ὅμηρος 'Ὠκεανόν τε θεῶν γένεσιν' φησιν 'καὶ μητέρα Τηθύν'* (Il. Ξ 201; v. Theaetet. 152 e). *οἶμαι δὲ καὶ Ἡσίοδος* (Theog. 337). *λέγει δέ που καὶ Ὀ. ὅτι*

Ὠκεανὸς πρῶτος καλλίρροος[1] *ἦρξε γάμοιο,*
ὅς ῥα κασιγνήτην ὁμομήτορα Τηθὺν ὄπυιεν.[2]

1 *καλλιρόους* B] *καλλιρρόους* T, *καλλίρους* Stobaei (Ecl. phys. I 10, 8 [I 120, 10 Wachsm.]) FP. 2 *ὄπυιεν* T] *ὤπυεν* B; cf. Schol. ad vocem *ὄπυιεν* (p. 370 Bekk.) *ὡμίλει, συνεγίνετο κατὰ νόμον καὶ ἐμίγνυτο, συνῴκει.*

Lob. I 508; Diels II^3 168 n. 2; Schuster 4. 19; Kern De Theogon. 40; Zeller I^6 123 n. 2; Holwerda 314; Gruppe *Suppl.* 694; Susemihl Ind. XIX.

16. (31) Plato Tim. 40 d. e *περὶ δὲ τῶν ἄλλων δαιμόνων*[1] (sc. praeter astra et terram) *εἰπεῖν καὶ γνῶναι τὴν γένεσιν μεῖζον ἢ καθ' ἡμᾶς, πειστέον δὲ τοῖς εἰρηκόσιν ἔμπροσθεν, ἐκγόνοις μὲν θεῶν οὖσιν, ὡς ἔφασαν, σαφῶς δέ που τούς γε αὑτῶν προγόνους εἰδόσιν·*[2] *ἀδύνατον οὖν θεῶν παισὶν ἀπιστεῖν, καίπερ ἄνευ τε εἰκότων καὶ ἀναγκαίων ἀποδείξεων λέγουσιν, ἀλλ' ὡς οἰκεῖα φασκόντων*[3] *ἀπαγγέλλειν ἑπομένους τῶι νόμωι πιστευτέον. οὕτως οὖν κατ' ἐκείνους ἡμῖν ἡ γένεσις περὶ τούτων τῶν θεῶν ἐχέτω καὶ λεγέσθω. Γῆς τε καὶ Οὐρανοῦ παῖδες Ὠκεανός τε καὶ Τηθὺς ἐγενέσθην, τούτων δὲ Φόρκυς Κρόνος τε καὶ Ῥέα καὶ ὅσοι μετὰ τούτων,* (41 a) *ἐκ δὲ Κρόνου καὶ Ῥέας Ζεὺς Ἥρα τε καὶ πάντες ὅσους ἴσμεν ἀδελφοὺς*[4] *λεγομένους αὐτῶν, ἔτι δὲ τούτων ἄλλους ἐκγόνους.*

1 *δαιμον*ων* A¹. 2 *εἰδόσιν* A², *εἰδότων* A¹, F Philopon. Clem. Euseb. 3 *φασκόντων* AF Procl. Euseb., *φάσκουσιν* Y Cyrill. Theodoret. 4 *ἀδελφοὺς* in rasura A.

Lob. I 510; Diels II^3 169 n. 8; Schuster 5. 25; Kern De Theogon. 41; Zeller I^6 123 n. 2; Gruppe *Suppl.* 702; Susemihl Ind. XVII.

17. Plat. Euthyphr. 5 e *ΕΥΘ αὐτοὶ γὰρ οἱ ἄνθρωποι τυγχάνουσι νομίζοντες τὸν Δία τῶν θεῶν ἄριστον καὶ δικαιότατον, καὶ τοῦτον ὁμολογοῦσι τὸν αὑτοῦ πατέρα δῆσαι, ὅτι τοὺς ὑεῖς κατέπινεν οὐκ ἐν δίκηι,* (6 a) *κἀκεῖνόν γε αὖ τὸν αὑτοῦ πατέρα ἐκτεμεῖν δι' ἕτερα τοιαῦτα ... ΣΩΚΡ ...* (6 b) *... ἀλλά μοι εἰπὲ πρὸς Φιλίου, σὺ ὡς ἀληθῶς ἡγῆι ταῦτα οὕτως γεγονέναι; ... ΕΥΘ καὶ ἔτι γε τούτων θαυμασιώτερα, ὦ Σώκρατες, ἃ οἱ πολλοὶ οὐκ ἴσασιν.*

Quae ultima verba ('*sed etiam alia atrociora, quae ignota plerisque Socrates ipse, si audiverit, vehementer sit admiraturus*') ad Saturni exsectionem, Zagrei interfectionem aliorumque deorum facinora in carminibus Orphicis nec usquam alibi tradita spectare

Lob. I 602 professus est. Eodem spectat Isocrat. XI (IX Drer.) 38 *τοιούτους δὲ λόγους περὶ αὐτῶν τῶν θεῶν* (sc. poetae) *εἰρήκασιν, οἵους*[1] *οὐδεὶς ἂν περὶ τῶν ἐχθρῶν εἰπεῖν τολμήσειεν·*[2] *οὐ γὰρ μόνον κλοπὰς καὶ μοιχείας καὶ παρ' ἀνθρώποις θητείας αὐτοῖς ὠνείδισαν, ἀλλὰ καὶ παίδων βρώσεις καὶ πατέρων ἐκτομὰς καὶ μητέρων δεσμοὺς*[3] *καὶ πολλὰς ἄλλας ἀνομίας κατ' αὐτῶν ἐλογοποίησαν*[4] (cf. Xenophan. Diels I[3] 59 fr. 11). (39) *ὑπὲρ ὧν τὴν μὲν ἀξίαν δίκην οὐκ ἔδοσαν, οὐ μὴν ἀτιμώρητοί γε διέφυγον, ἀλλ' οἱ μὲν αὐτῶν ἀλῆται*[5] *καὶ τῶν καθ' ἡμέραν ἐνδεεῖς κατέστησαν, οἱ δ' ἐτυφλώθησαν, ἄλλος δὲ φεύγων τὴν πατρίδα καὶ τοῖς οἰκειοτάτοις πολεμῶν ἅπαντα τὸν χρόνον διετέλεσεν, Ὀ. δ' ὁ μάλιστα τούτων τῶν*[6] *λόγων ἁψάμενος, διασπασθεὶς τὸν βίον ἐτελεύτησεν* v. supra p. 33.

1 *οἵους Γ, ὅσους Θ, οὓς Λ.* 2 *τολμήσειεν εἰπεῖν ΘΛ.* 3 *δεσμοὺς Γ*[1], *συνουσίας Γ*[2]*ΘΛ.* 4 *κατὰ τούτων ἐλογοποίησαν Θ, ἐλογοποίησαν κατὰ τούτων Λ.* 5 *ἀλῆται Γ, πλανῆται ΘΛ* Hesych. 6 *τῶν τοιούτων ΘΛ.*

Diels II[3] 167 n. 14 b.

18. Plato Sophist. 242 c. d *μῦθόν τινα ἕκαστος φαίνεταί μοι διηγεῖσθαι παισὶν ὡς οὖσιν ἡμῖν, ὁ μὲν ὡς τρία τὰ ὄντα, πολεμεῖ δὲ ἀλλήλοις ἐνίοτε αὐτῶν ἄττα πῃ,*[1] *τοτὲ δὲ καὶ*[2] *φίλα γιγνόμενα γάμους τε καὶ τόκους καὶ τροφὰς τῶν ἐκγόνων παρέχεται· δύο δὲ ἕτερος εἰπών, ὑγρὸν καὶ ξηρὸν ἢ θερμὸν καὶ ψυχρόν, συνοικίζει τε αὐτὰ καὶ ἐκδίδωσι· τὸ δὲ παρ' ἡμῶν*[3] *Ἐλεατικὸν ἔθνος, ἀπὸ Ξενοφάνους τε καὶ ἔτι πρόσθεν ἀρξάμενον, ὡς ἑνὸς ὄντος τῶν πάντων καλουμένων οὕτω διεξέρχεται τοῖς μύθοις.*[4] *Ἰάδες δὲ καὶ Σικελαί*[5] *τινες ὕστερον Μοῦσαι συνενόησαν*[6] *ὅτι συμπλέκειν*[7] *ἀσφαλέστατον*[8] *ἀμφότερα καὶ λέγειν ὡς τὸ ὂν πολλά τε καὶ ἕν ἐστιν, ἔχθραι δὲ καὶ φιλίαι συνέχεται.*

1 *ἀγάπῃ* B. 2 *καὶ* ante *φίλα* om. T. 3 *ἡμῶν* BTW, *ἡμῖν* Euseb., vulgo. 4 *τοὺς μύθους* Theodoret. 5 *σικελαὶ* B Simplic., *σικελικαὶ* TW Euseb. 6 *ξυνενόησαν* T Euseb. Simplic., *ξυννενοήκασιν* B. 7 *ἐμπλέκειν* W. 8 *ἀσφαλέστερον* Euseb.

Lob. I 613; Diels I[3] 49 n. 29; Schuster 15. 20; Kern De Theogon. 47; Gruppe *Suppl.* 715 s. 745; Susemihl Ind. XIV n. 97.

19. Plat. Leg. VII 796 b. c *οὐδ' ὅσα ἐν τοῖς χοροῖς ἐστιν αὖ μιμήματα προσήκοντα μιμεῖσθαι παρετέον, κατὰ μὲν τὸν τόπον τόνδε* (sc. Athenas) *Κουρήτων ἐνόπλια παίγνια, κατὰ δὲ Λακεδαίμονα Διοσκόρων. ἡ δὲ αὖ που παρ' ἡμῖν κόρη καὶ δέσποινα, εὐφρανθεῖσα τῇι τῆς χορείας παιδιᾶι* (codd.] *παιδείαι* Euseb.), *κεναῖς χερσὶν* (*κεναῖς χερσὶν* post *δεῖν* Euseb.) *οὐκ ᾠήθη*

δεῖν ἀθύρειν, πανοπλίαι δὲ παντελεῖ κοσμηθεῖσα, οὕτω τὴν ὄρχησιν διαπεραίνειν· ἃ δὴ πάντως μιμεῖσθαι πρέπον ἂν εἴη κόρους τε ἅμα καὶ κόρας, τὴν τῆς θεοῦ χάριν τιμῶντας, πολέμου τ' ἐν χρείαι καὶ ἑορτῶν ἕνεκα. τοῖς δέ που παισὶν εὐθύς τε καὶ ὅσον ἂν χρόνον μήπω εἰς πόλεμον ἴωσιν, πᾶσι θεοῖς προσόδους τε καὶ πομπὰς ποιουμένους μεθ' ὅπλων τε καὶ ἵππων ἀεὶ κοσμεῖσθαι δέον ἂν εἴη, θάττους τε καὶ βραδυτέρας ἐν ὀρχήσεσι καὶ ἐν πορείαι τὰς ἱκετείας ποιουμένους πρὸς θεούς τε καὶ θεῶν παῖδας.

Lob. I 541; Schuster 26; Kern De Theogon. 44; Gruppe *Suppl.* 714 v. s. *ΙΕΡΟΙ ΛΟΓΟΙ.*

20. Plat. Phaedr. 248 c. d *θεσμὸς δὲ Ἀδραστείας ὅδε. ἥτις ἂν ψυχὴ θεῶι συνοπαδὸς γενομένη κατίδηι τι τῶν ἀληθῶν, μέχρι τε τῆς ἑτέρας περιόδου εἶναι ἀπήμονα, κἂν ἀεὶ τοῦτο δύνηται ποιεῖν, ἀεὶ ἀβλαβῆ εἶναι· ὅταν δὲ ἀδυνατήσασα ἐπισπέσθαι μὴ ἴδηι, καί τινι συντυχίαι χρησαμένη λήθης τε καὶ κακίας πλησθεῖσα βαρυνθῆι, βαρυνθεῖσα δὲ πτερορρυήσηι τε καὶ ἐπὶ τὴν γῆν πέσηι, τότε νόμος ταύτην μὴ φυτεῦσαι εἰς μηδεμίαν θήρειον (θηρείαν* B) *φύσιν ἐν τῆι πρώτηι γενέσει, ἀλλὰ τὴν μὲν πλεῖστα ἰδοῦσαν εἰς γονὴν ἀνδρὸς γενησομένου φιλοσόφου ἢ φιλοκάλου ἢ μουσικοῦ τινος καὶ ἐρωτικοῦ, τὴν δὲ δευτέραν εἰς βασιλέως ἐννόμου ἢ πολεμικοῦ καὶ ἀρχικοῦ, τρίτην εἰς πολιτικοῦ ἤ τινος οἰκονομικοῦ ἢ χρηματιστικοῦ, τετάρτην εἰς φιλοπόνου* ⟨*ἢ* add. Badh.⟩ *γυμναστικοῦ ἢ περὶ σώματος ἴασίν τινος* (Herm.] *τινα* BT) *ἐσομένου, πέμπτην μαντικὸν βίον ἤ τινα τελεστικὸν ἕξουσαν· ἕκτηι ποιητικὸς ἢ τῶν περὶ μίμησίν τις ἄλλος ἁρμόσει, ἑβδόμηι δημιουργικὸς ἢ γεωργικός, ὀγδόηι σοφιστικὸς ἢ δημοκοπικός* (*δημοτικός* B), *ἐνάτηι τυραννικός.* Respubl. V 451 a *προσκυνῶ δὲ Ἀδράστειαν, ὦ Γλαύκων, χάριν οὗ μέλλω λέγειν.*

Iam ap. Aeschyl. Prom. 936 *οἱ προσκυνοῦντες τὴν Ἀδράστειαν σοφοί* cf. Eurip. Helen. 513 test. nr. 82, fr. 23 et infra s. *ΙΕΡΟΙ ΛΟΓΟΙ.*

Lob. I 514; Schuster 26; Kern De Theogon. 45; Susemihl Ind. XVI.

21. (33) Plato Leg. IV 715 e *ὁ μὲν δὴ θεός, ὥσπερ καὶ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχων,* (716 a) *εὐθείαι περαίνει κατὰ φύσιν περιπορευόμενος.*[1] *τῶι δ' ἀεὶ ξυνέπεται Δίκη* (v. frr. 22. 23) *τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός* (cf. Crit. 121 b; F. Kluge De Platonis Critia diss. Hal. 1909, 16), *ἧς ὁ*

μὲν εὐδαιμονήσειν μέλλων ἐχόμενος συνέπεται ταπεινὸς καὶ κεκοσμημένος, ὁ δέ τις[2] *ἐξαρθεὶς ὑπὸ μεγαλαυχίας, ἢ χρήμασιν ἐπαιρόμενος ἢ τιμαῖς, ἢ καὶ σώματος εὐμορφίαι ἅμα νεότητι καὶ ἀνοίαι φλέγεται τὴν ψυχὴν μεθ' ὕβρεως, ὡς οὔτε ἄρχοντος οὔτε τινὸς ἡγεμόνος δεόμενος, ἀλλὰ καὶ ἄλλοις ἱκανὸς ὢν ἡγεῖσθαι, καταλείπεται ἔρημος θεοῦ,* (716 b) *καταλειφθεὶς δὲ καὶ ἔτι ἄλλους τοιούτους προσλαβὼν σκιρτᾶι ταράττων πάντα ἅμα, καὶ πολλοῖς τισιν ἔδοξεν εἶναί τις, μετὰ δὲ χρόνον οὐ πολὺν ὑποσχὼν τιμωρίαν οὐ μεμπτὴν τῆι δίκηι ἑαυτόν τε καὶ οἶκον καὶ πόλιν ἄρδην ἀνάστατον ἐποίησεν.* Cf. Tim. 69 b.

1 *περιπορευόμενος* codd. cum Schol. Plutarcho Clemente Eusebio Stobaeo; *πορευόμενος* Ps.-Aristot. *Περὶ κόσμου* 7 (fr. 21 a qui in fine libri Platonis verba *ὁ μὲν δὴ θεὸς . . . εὐδ. μέλλων* exscripsit). 2 *ὁ δέ τις* codd. cum Clem. Euseb. Stob.; *εἰ δέ τις* Plut. Theodoret.

Adnotat Scholiasta p. 451 Bekk. *θεὸν μὲν τὸν δημιουργὸν σαφῶς, παλαιὸν δὲ λόγον λέγει τὸν Ὀρφικόν, ὅς ἐστιν οὗτος·*

Ζεὺς ἀρχή, Ζεὺς μέσσα, Διὸς δ' ἐκ πάντα τέτυκται.
Ζεὺς πυθμὴν γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος.

καὶ ἀρχὴ μὲν οὗτος ὡς ποιητικὸν αἴτιον, τελευτὴ δὲ ὡς τελικόν, μέσσα δὲ ὡς ἐξ ἴσου πᾶσι παρών, κἂν πάντα διαφόρως αὐτοῦ μετέχηι. εὐθείαι δὲ τὸ κατὰ δίκην σημαίνει καὶ ἀξίαν, καὶ ἀπαρεγκλίτως, καὶ οἱονεὶ κανόνι ἑνί, τὸ δὲ περιπορευόμενος τὸ αἰωνίως. τὸ ἀεὶ ὡσαύτως καὶ κατὰ τὰ αὐτά· ἡ γὰρ περιφορὰ τοῦτο ἔχει ὡς ἐν αἰσθητοῖς. Cetera v. fr. 22.

21 a. (46) Hymnum Orphicum Plato (fr. 21) respexisse verisimillimum est (cf. Schol. fr. 21), cuius vestigia primum occurrunt in Ps.-Aristotelis libello *Περὶ κόσμου* 7 p. 401 a 25 *ὡς δὲ τὸ πᾶν εἰπεῖν, οὐράνιός τε καὶ χθόνιος, πάσης ἐπώνυμος ὢν φύσεώς τε καὶ τύχης ἅτε πάντων αὐτὸς αἴτιος ὤν. διὸ καὶ ἐν τοῖς Ὀρφικοῖς*[1] *οὐ κακῶς λέγεται·*

Ζεὺς πρῶτος γένετο,[2] *Ζεὺς ὕστατος ἀργικέραυνος·*[3]
Ζεὺς κεφαλή, Ζεὺς μέσσα·[4] *Διὸς δ' ἐκ πάντα*[5] *τελεῖται·*[6]
Ζεὺς πυθμὴν[7] *γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος·*
Ζεὺς ἄρσην γένετο,[8] *Ζεὺς ἄμβροτος ἔπλετο νύμφη·*
Ζεὺς πνοιὴ[9] *πάντων,*[10] *Ζεὺς ἀκαμάτου πυρὸς ὁρμή.*
Ζεὺς πόντου ῥίζα·[11] *Ζεὺς ἥλιος ἠδὲ σελήνη·*
Ζεὺς βασιλεύς, Ζεὺς ἀρχὸς[12] *ἁπάντων ἀργικέραυνος·*[13]
πάντας[14] *γὰρ κρύψας αὖθις φάος ἐς πολυγηθὲς*[15]
ἐξ ἱερῆς[16] *κραδίης*[17] *ἀνενέγκατο, μέρμερα ῥέζων.*[18]

1 *τῷ ὀρφικῷ* P. 2 *ἐγένετο* OQ. 3 *ἀρχικέραυνος* PQ, *ἀρχοκέρ.* R 2494, v. Wilamowitz *Griech. Lesebuch* II *Erläut.* 133, ceteri melius *ἀργικέρ.* de quo v. Bechtel *Lexilogus zu Homer* 54. 4 *μέσος* R 1603, *μέσα* OPQ. 5 *πάντων* P. 6 *τελεῖται* Diels e coniectura, quam comprobavit Schol. Galeni cod. Parisini bibl. nat. Suppl. gr. 634 ed. Helmreich *Ansbacher Progr.* 1910, 30; *τέτυκται* codd. Apuleius Philopon. Tzetz., *τέτακται* R 1603, *τέτμηται* O, *πέφυκε* Procl. Theol. Plat. VI 8 p. 363, *πέλονται* Plut. De defectu orac. 48 p. 436 d. 7 *πυγμὴν* R 2992. 8 *ἄρσην ἐγένετο* Q, *ἀρχιγενέτωρ* O. 9 *πνοὴ* Q, *ποιὴ* R 2257. 10 *πάντων*] *τούτων* R 1603. 11 *Ζεὺς — ῥίζα* om. O. 12 *ἀργὸς* R 1603, *ἀρχὴ* PQ, *ἀρχῆς* R 2494, *ἀρχηγὸς* O. 13 *ἀργικέραυνος* R 2992, ceteri *ἀρχικ.* 14 *πάντα* O. 15 *εἰς πολυγηθὲς* P, *εἰς πολυγηθὴ* Q, *ἐπηλυγηθὲς* R 2992. 16 *ἀξιερῆς* R 1603. 17 *κραδίας* O. 18 *ῥέξων* O.

Cf. etiam Apuleii librum De mundo 37 p. 173 Thom.

Herm. VI p. 460; Lob. I 523. 529; Diels II³ 169 n. 6; Schuster 26. 35 ss. 45 n. 1. 88; Kern De Theogon. 35; Gruppe *Suppl.* 703. 705. 710; Holwerda 325; Zeller *Zeitschr. wiss. Theolog.* XLII 1899, 234. 238. 269 = *Kl. Schr.* II 154. 157. 184 et I⁶ 135 n. 1; Weinreich *Triskaidekad. Studien* (*RVV* XVI 1) 88; M. Wellmann *Herm.* LIV 1919, 230 n. (5).

Respicit hymnum forsitan Aeschylus (Euphorion?) fr. 70 Nauck²:

Ζεύς ἐστιν αἰθήρ, Ζεὺς δὲ γῆ, Ζεὺς δ' οὐρανός,
Ζεύς τοι τὰ πάντα χ' ὅτι τῶνδ' ὑπέρτερον.

Ad vs. 8 cf. Hesiod. Theog. 157 de Caelo *πάντας ἀποκρύπτασκε καὶ ἐς φάος οὐκ ἀνίεσκε.* Vs. 9 Ioann. Gaz. Descript. tabulae mundi I 49 p. 138 Friedl. novisse videtur, cum de Sole a Caelo evomito dicit *ἐκ κραδίης ἤμησε πυρώδεος ἄρσενα δίσκον* v. Gerh. Krahmer De tabula mundi ab Ioanne Gazaeo descripta diss. Halens. 1920, 20, qui Hesiodi Theogon. 497 de Saturno illo notissimo *πρῶτον δ' ἐξήμησε* ita utitur, ut iam Orphicum quendam poetam pro *ἀνενέγκατο* ad Hesiodi exemplum scripsisse arbitretur *ἐκ κραδίης ἤμησ' ἱερῆς,*.

Citant hymnum Orphicum praeter scriptores serioris aetatis (v. s. *ΙΕΡΟΙ ΛΟΓΟΙ*):

Ps.-Demosth. XXV 8 *βουλοίμην δ' ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸ τοῦ περὶ τῶν ἰδίων ἐμὲ τῶν τουτουὶ λέγειν, σπουδάσαντας ὑμᾶς ἐξετάσαι διὰ βραχέων, εἰς ὅσην αἰσχύνην καὶ ἀδοξίαν προῆχε τὴν πόλιν δημοσίαι πάντα τὰ τοιαῦτα θηρία, ὧν μέσος καὶ τελευταῖος καὶ πρῶτός ἐστιν οὗτος* (Gruppe 706; Holwerda 325; Rohde *Psyche* II⁶ 114 n. 2); Ps.-Plat. Epist. II 312 e *περὶ*

τὸν πάντων βασιλέα πάντ' ἐστὶ καὶ ἐκείνου ἕνεκα πάντα καὶ ἐκεῖνο αἴτιον ἁπάντων τῶν (om. Clem. Euseb. Philopon.) καλῶν, Ps.-Archytas Περὶ σοφίας (cf. Diels I³ 338, 27) ap. Iamblichum Protreptic. c. 4 p. 23, 3 ss. Pist. ὁ θεὸς ἀρχά τε καὶ τέλος καὶ μέσον ἀντὶ (ἐντὶ Mullach FPHG I 559] ἐστι codd.) πάντων τῶν κατὰ δίκαν τε καὶ τὸν ὀρθὸν (v. ὀρθῶς fr. 1) λόγον περαινομένων (Gruppe *Suppl.* 706); cf. Weinreich *Arch. Religionsw.* XVIII 1915, 604. Utitur iisdem versibus etiam Valerius Soranus († 82 a. Chr.: Cichorius *Herm.* XLI 1906, 63), cuius rei testis est Augustin. De civ. Dei VII 9: *In hanc sententiam etiam quosdam versus Valerii Sorani exponit idem Varro in eo libro, quem seorsum ab istis de cultu deorum scripsit* (Riese Varr. Sat. Menipp. rel. 252), *qui versus hi sunt* (Baehrens FPR 273 n. 4):

Iuppiter omnipotens regum rerumque deumque
progenitor genetrixque deum, deus unus et omnes.

Exponuntur autem in eodem libro ita, ut eum marem existimarent qui semen emitteret, feminam, quae acciperet; Iovemque esse mundum et eum omnia semina ex se emittere et in se recipere: 'Qua causa, inquit, scripsit Soranus: Iuppiter progenitor genetrixque; nec minus cum causa unum et omnia idem esse; mundus enim unus, et in eo uno omnia sunt'. (Lob. I 533; Schuster 37 n. 4; Zeller I⁶ 134 n. (4) et *Zeitschr. wiss. Theolog.* XLII 1899, 230 = *Kl. Schr.* II 150; Susemihl Ind. VI n. 22; Norden *Agnostos Theos* 229 n. 1; Weinreich *Triskaidek. Stud.* [*RVV* XVI 1] 89 n. 1).

Cetera in Neoplatonicorum Orphicis composita sunt quae hunc hymnum praebent ampliorem v. s. *ΙΕΡΟΙ ΛΟΓΟΙ*.

22. (1) Aëtii Plac. II 13, 15 = Plut. de plac. philos. II 13; Galen. histor. philos. 56 p. 624, 15 Diels; Stob. Eclog. I c. XXIV 1ᵍ (I 204, 21 Wachsm., Doxogr. 343, 11) Ἡρακλείδης (Voss De Heraclidis Pontici vita et script. fr. 58 p. 65) καὶ οἱ Πυθαγόρειοι ἕκαστον τῶν ἀστέρων κόσμον ὑπάρχειν γῆν [1] περιέχοντα ἀέρα τε [καὶ αἰθέρα [2]] ἐν τῶι ἀπείρωι αἰθέρι. ταῦτα δὲ τὰ δόγματα ἐν τοῖς Ὀρφικοῖς [3] φέρεται. [4] κοσμοποιοῦσι γάρ [5] ἕκαστον τῶν ἀστέρων.

1 γήινον Roeth, γῆν om. Plut. E. 2 καὶ αἰθέρα secl. Diels (cf. Stob. et Galen.) ea verba pro varia lectione vocum ἀέρα τε habens. 3 ἐν ἐνίοις Ὀρφικοῖς Galen. 4 φέρεσθαι Stob. Gal., ἐμφέρεται Plut. E. 5 γάρ om. Plut. GE, ut κοσμοποιοῦσι ad Ὀρφικοῖς referendum sit ut apud Galenum (v. Diels).

Lob. I 500; Zeller I[6] 534 n. 1; P. Tannery *Rev. philol.* XXI 1897, 190; Kroll De oraculis Chald. 20; Heeg 11. 70; P. Capelle De luna stellis lacteo orbe diss. Hal. 1917, 3 n. 1.

23. Ps.-Demosth. XXV 11 *τὴν τὰ δίκαι' ἀγαπῶσαν Εὐνομίαν περὶ πλείστου ποιησαμένους, ἣ πάσας καὶ πόλεις καὶ χώρας σώιζει· καὶ τὴν ἀπαραίτητον καὶ σεμνὴν Δίκην, ἣν ὁ τὰς ἁγιωτάτας ἡμῖν τελετὰς καταδείξας 'Ο. παρὰ τὸν τοῦ Διὸς θρόνον φησὶ καθημένην πάντα τὰ τῶν ἀνθρώπων ἐφορᾶν, εἰς αὑτὸν ἕκαστον νομίσαντα βλέπειν οὕτω δεῖ*[1] *ψηφίζεσθαι, φυλαττόμενον καὶ προορώμενον μὴ καταισχῦναι ταύτην.*

1 *δεῖ* add. A cum Blassius.

Lob. I 239. 391; Diels II[3] 173 n. 14; H. Weil *Playdoyers pol. de Démosthène* II 1886, 311; Gruppe *Suppl.* 705; Susemihl Ind. XIV n. 96; Holwerda 327; Dieterich *Nekyia*[2] 139; Schläfke De Demosthenis quae dicuntur adversus Aristogiton. oration. diss. Gryphisw. 1913, 93.

Ad eundem Orphicorum locum spectat Hymn. LXII 1:

Ὄμμα Δίκης μέλπω πανδερκέος, ἀγλαομόρφου,
ἣ καὶ Ζηνὸς ἄνακτος ἐπὶ θρόνον ἱερὸν ἵζει
οὐρανόθεν καθορῶσα βίον θνητῶν πολυφύλων.

Cf. praeter Lob. l. l. imprimis Dieterich. l. l., qui Ps.-Dem. or. XXV auctorem scholae Orphicae asseclam fuisse haud improbavit (v. etiam § 52 *μεθ' ὧν δ' οἱ ζωγράφοι τοὺς ἀσεβεῖς ἐν Ἅιδου γράφουσιν, μετὰ τούτων, μετ' Ἀρᾶς καὶ Βλασφημίας καὶ Φθόνου καὶ Στάσεως καὶ Νείκους, περιέρχεται. εἶθ' ὃν οὐδὲ τῶν ἐν Ἅιδου θεῶν εἰκός ἐστιν τυχεῖν ἵλεων, ἀλλ' εἰς τοὺς ἀσεβεῖς ὠσθῆναι διὰ τὴν πονηρίαν τοῦ βίου* [Schläfke l. l. 94] et § 37 *καὶ Ἀδράστειαν* (fr. 20) *μὲν ἄνθρωπος ὢν προσκυνῶ, καὶ ἔχω τοῖς θεοῖς καὶ πᾶσιν ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς σώσασί με πολλὴν χάριν* [Susemihl Ind. XVI n. 108]). *Δίκη πὰρ Διὶ πατρὶ καθεζομένη Κρονίωνι* iam ap. Hesiod. Op. 259, quem ut Orphicus poeta multi alii secuti sunt, quos enumerat Lob. I 396.

Ante omnes autem Anaximander ex Simplicii testimonio (Diels I[3] 15 n. 9) afferendus est: *ἐξ ὧν δὲ ἡ γένεσίς ἐστι τοῖς οὖσι, καὶ τὴν φθορὰν εἰς ταῦτα γίνεσθαι κατὰ τὸ χρεών· διδόναι γὰρ αὐτὰ δίκην καὶ τίσιν ἀλλήλοις τῆς ἀδικίας κατὰ τὴν τοῦ χρόνου τάξιν* cf. Diels *Der antike Pessimismus* 11 n. 1.

24. Aristot. Metaphys. *Λ* 6, 1071 b 26 *καίτοι εἰ ὡς λέγουσιν οἱ θεολόγοι οἱ ἐκ νυκτὸς γεννῶντες, ἢ ὡς* (om. *E*) *οἱ φυσικοὶ*

'ἦν (om. *E*) *ὁμοῦ πάντα χρήματα'* (Anaxagoras Diels I³ 399 n. 1) *φασί, τὸ αὐτὸ ἀδύνατον.* *N* 4, 1091 b 4 *οἱ δὲ ποιηταὶ οἱ ἀρχαῖοι ταύτηι ὁμοίως, ἧι βασιλεύειν καὶ ἄρχειν φασὶν οὐ τοὺς πρώτους, οἷον Νύκτα καὶ* (ἢ Susemihl) *Οὐρανὸν ἢ Χάος ἢ Ὠκεανόν, ἀλλὰ τὸν Δία.* De Nocte v. *ΙΕΡΟΙ ΛΟΓΟΙ.*

Diels II³ 170 n. 9; Schuster 17. 19; Kern De Theogon. 55. 56 n. 51; Zeller I⁶ 123 n. 1 et *Zeitschr. wiss. Theolog.* XLII 1899, 231 = *Kl. Schr.* II 151; Gruppe *Suppl.* 745; Susemihl Ind. VII.

25. Aristot. Metaphys. *A* 3, 983 b 27 *εἰσὶ δέ τινες οἳ καὶ τοὺς παμπαλαίους* (*παλαιοὺς* A) *καὶ πολὺ πρὸ τῆς νῦν γενέσεως καὶ πρώτους θεολογήσαντας οὕτως* (ut Thales) *οἴονται περὶ τῆς φύσεως ὑπολαβεῖν· Ὠκεανόν τε γὰρ καὶ Τηθὺν ἐποίησαν τῆς γενέσεως πατέρας, καὶ τὸν ὅρκον τῶν θεῶν ὕδωρ, τὴν καλουμένην ὑπ' αὐτῶν Στύγα τῶν ποιητῶν* (*τ. π.* del. Christ)· *τιμιώτατον μὲν γὰρ τὸ πρεσβύτατον, ὅρκος δὲ τὸ τιμιώτατόν ἐστιν. εἰ μὲν οὖν* (984) *ἀρχαία τις αὕτη καὶ παλαιὰ τετύχηκεν οὖσα περὶ τῆς φύσεως ἡ δόξα, τάχ' ἂν ἄδηλον εἴη.*

Diels II³ 170 n. 10; Schuster 11.

26. (8) Aristot. De gener. anim. *B* 1, 734 a 16 *ἢ γάρ τοι ἅμα πάντα γίγνεται τὰ μόρια, οἷον καρδία πλεύμων ἧπαρ ὀφθαλμὸς καὶ τῶν ἄλλων ἕκαστον, ἢ ἐφεξῆς, ὥσπερ ἐν τοῖς καλουμένοις Ὀρφέως ἔπεσιν· ἐκεῖ γὰρ ὁμοίως φησὶ γίγνεσθαι τὸ ζῶιον τῆι τοῦ δικτύου πλοκῆι.*

Lob. I 381. 465; Diels II³ 170 n. 10 a; Schuster 54 n. 1; Kern *Arch. f. Gesch. d. Phil.* I 1888, 501; Gruppe *Suppl.* 716 n. 1.

Orphicos Empedocles sequitur Diels I³ 245 n. 57:

ἧι πολλαὶ μὲν κόρσαι ἀναύχενες ἐβλάστησαν,
γυμνοὶ δ' ἐπλάζοντο βραχίονες εὔνιδες ὤμων,
ὄμματά τ' οἶ(α) ἐπλανᾶτο πενητεύοντα μετώπων.

Cf. Kern l. l.

V. s. *ΔΙΚΤΥΟΝ.*

27. (241) Aristot. De anima *A* 5, 410 b 19 *φαίνεται γὰρ εἶναί τινα μόνιμα τῶν ζώιων κατὰ τόπον. καίτοι δοκεῖ γε ταύτην μόνην τῶν κινήσεων κινεῖν ἡ ψυχὴ τὸ ζῶιον. ὁμοίως δὲ καὶ ὅσοι τὸν νοῦν καὶ τὸ αἰσθητικὸν ἐκ τῶν στοιχείων ποιοῦσιν· φαίνεται γὰρ τά τε φυτὰ ζῆν οὐ μετέχοντα φορᾶς οὐδ' αἰσθήσεως, καὶ τῶν ζώιων πολλὰ διάνοιαν οὐκ ἔχειν. εἰ δέ τις καὶ*

ταῦτα παραχωρήσειε καὶ θείη τὸν νοῦν μέρος τι τῆς ψυχῆς, ὁμοίως δὲ καὶ τὸ αἰσθητικόν, οὐδ' ἂν οὕτω λέγοιεν καθόλου περὶ πάσης ψυχῆς οὐδὲ περὶ ὅλης οὐδεμιᾶς (*οὐδὲ μιᾶς* E, *οὐδὲ περὶ μιᾶς* Simplic.). *τοῦτο δὲ πέπονθε καὶ ὁ ἐν τοῖς Ὀρφικοῖς ἔπεσι καλουμένοις λόγος· φησὶ γὰρ τὴν ψυχὴν ἐκ τοῦ ὅλου εἰσιέναι ἀναπνεόντων, φερομένην ὑπὸ τῶν ἀνέμων.*

Ad hunc locum Philopon. 186, 24 Hayd. *λεγομένοις εἶπεν, ἐπειδὴ μὴ δοκεῖ Ὀρφέως εἶναι τὰ ἔπη, ὡς καὶ αὐτὸς ἐν τοῖς Περὶ φιλοσοφίας* (fr. 7 Rose[3]) *λέγει· αὐτοῦ μὲν γάρ εἰσι τὰ δόγματα, ταῦτα δέ φασιν Ὀνομάκριτον ἐν ἔπεσι κατατεῖναι* (test. nr. 183). *λέγει οὖν ἐκεῖ ὅτι ἡ ψυχὴ ὑπὸ τῶν ἀνέμων ἐκ τοῦ παντὸς φερομένη ἀναπνεῖται ὑπὸ τῶν ζώιων. ὥστε καὶ οὗτος ὁ λόγος οὐ περὶ πάσης ψυχῆς λέγει· οὐ γὰρ πάντα ἀναπνεῖ τὰ ἔμψυχα· οὔκουν τὰ ἔντομα οὐδὲ τὰ φυτά. φασὶ δὲ αἰνίττεσθαι τὰ ἔπη διὰ μὲν τῆς ἀναπνοῆς τὴν ἐπιτηδειότητα τοῦ δεξομένου τὴν ψυχὴν σώματος, διότι ἡ ἀναπνοὴ* (*πνοὴ* R) *καταψύχουσα τὸ ἔμφυτον θερμὸν εἰς συμμετρίαν ἄγει, τοὺς δ' ἀνέμους φασὶ δυνάμεις τινὰς σημαίνειν δι' ὧν κατάγεται ἡ ψυχὴ εἰς τὴν γένεσιν ἐκ τῆς ὁλικῆς ἐνεργείας, ἣν ἐνεργεῖ τοῦ μερικοῦ σώματος τούτου καὶ τῆς γενέσεως ἀπηλλαγμένη.* Cf. 202, 1 Hayd. *εἰπὼν οὖν ἐν τοῖς ἐπάνω καὶ τὰ φυτὰ ἔμψυχα εἶναι, ἐν οἷς ἔλεγεν ὅτι διαιρούμενα τὴν αὐτὴν κατ' εἶδος ἔχει ψυχήν, καὶ ἔτι ἔνθα ἐνεκάλει τοῖς Ὀρφικοῖς ἔπεσι λέγουσι τὴν ψυχὴν ἐκ τοῦ ὅλου φερομένην ἀναπνεῖν ἡμᾶς* et in eundem Aristotelis locum Themistium 35, 17 Heinze *τοῦτο δὲ πέπονθε καὶ ὁ λόγος ὁ λεγόμενος ἐν τοῖς καλουμένοις Ὀρφέως ἔπεσι· φησὶ γὰρ τῆς ψυχῆς μεταλαμβάνειν τὰ ζῶια παρὰ τὴν πρώτην ἀναπνοήν* et Simplicium 72, 12 Hayd. *ἔοικε δὲ ὁ Ὀ. τὴν μὲν τῶν σωμάτων πρὸς ζωὴν ἐπιτηδειότητα ἀναπνοὴν καλεῖν, τὰς δὲ ὁλικὰς κινητικὰς αἰτίας ἀνέμους, ὧν οὐκ ἄν ποτε χωρὶς αἱ μερικαὶ ψυχώσειαν τὰ ἐπιτήδεια σώματα.*

Adde ex Iamblicho *Περὶ ψυχῆς* ap. Stob. Eclog. phys. I c. XLIX 32 (I 366, 17 Wachsm.) *ὥσπερ Ἀριστοτέλης μὲν* (*μὲν* del. Meinek.) *ἐν τοῖς Ὀρφικοῖς* (Gaisf. ex Aristot.] *φυσικοῖς* FP) *ἔπεσί φησι λέγεσθαι τὴν ψυχὴν εἰσιέναι* (Canter] *ὡς εἰσὶν* F, *ὡς εἴσην* P, *πως εἰσιέναι* Meinek.) *ἐκ τοῦ ὅλου ἀναπνεόντων ἡμῶν φερομένην ὑπὸ τῶν ἀνέμων· ἔοικέ γε μὴν αὐτὸς ὁ Ὀ. χωρὶς ὑπολαμβάνειν εἶναι καὶ μίαν τὴν ψυχήν, ἀφ' ἧς πολλὰς μὲν εἶναι διαιρέσεις, πολλὰς δὲ καὶ ἀμέσους* (Usen.] *μέσας* FP) *ἐπι-*

προίας καθήκειν ἐπὶ τὰς μεριστὰς ψυχὰς ἀπὸ τῆς ὅλης ψυχῆς et XLIX 38 (I 376, 2 Wachsm.) οἱ μὲν δὴ μίαν οὐσίαν τῆς ψυχῆς ἀριθμῶι τιθέμενοι, πληθύνουσαν (Wachsm.] πληθύνοντες FP) δὲ αὐτήν, ὡς Ἀμέλιος οἴεται, σχέσεσι καὶ κατατάξεσιν, ἢ ὡς οἱ Ὀρφικοὶ λέγουσιν, ἐπιπνοίαις ἀπὸ τῆς ὅλης, ἔπειτα ἀνασχέοντες (P^1] ἀναχέοντες FP^2, ἀναστοιχειοῦντες Lob. I 756, ἄγχοντες Usen. coll. Stob. p. 304, 18, ἀναστέλλοντες vel ἀναστρέφοντες temptabat Wachsm.) ἀπὸ τοῦ πλήθους τῆς ὅλης ἐπὶ τὴν μίαν ψυχὴν ἀποθεμένην (corr. Usen.] ἀποθεμένας FP) τὰς σχέσεις καὶ τὰς εἰς ἕτερον κατατάξεις καὶ (Cant., ἢ FP) ἀναλύοντες ἀπὸ τῆς εἰς τὰ μεταλαβόντα διαιρέσεως, ἀπολυομένης τῆς τῶν μετασχόντων διαλήψεως (corr. Heer.] ἀποδιαλήψεως FP), τηροῦσιν αὐτὴν ὅλην πανταχοῦ τὴν αὐτήν, μίαν οὐσίαν (om. P) τε αὐτῆι διδόασι καθ' ἓν πεπερασμένην.

Lob. I 349. 755; Diels II[3] 170 n. 11; Schuster 54; Zeller *Zeitschr. wiss. Theol.* XLII 1899, 237 = *Kl. Schr.* II 156.

V. infra s. *ΙΕΡΟΙ ΛΟΓΟΙ*.

28. (30) Eudem. (Spengel Eudemi Rhodii fragmenta[2] CXVII p. 169) ap. Damasc. De prim. princip. 124 (I 319, 8 Rue.) v. Kroll *Rhein. Mus.* LII 1897, 290 ἡ δὲ παρὰ τῶι Περιπατητικῶι Εὐδήμωι ἀναγεγραμμένη ὡς τοῦ Ὀρφέως οὖσα θεολογία πᾶν τὸ νοητὸν ἐσιώπησεν, ὡς παντάπασιν ἄρρητόν τε καὶ ἄγνωστον τρόπωι ⟨τῶι⟩[1] κατὰ διέξοδόν τε καὶ ἀπαγγελίαν, ἀπὸ δὲ τῆς Νυκτὸς ἐποιήσατο τὴν ἀρχήν, ἀφ' ἧς καὶ Ὅμηρος,[2] εἰ καὶ μὴ συνεχῆ πεποίηται τὴν γενεαλογίαν, ἵστησιν·[3] οὐ γὰρ ἀποδεκτέον Εὐδήμου λέγοντος, ὅτι ἀπὸ Ὠκεανοῦ καὶ Τηθύος ἄρχεται (Il. Ξ 302), φαίνεται γὰρ εἰδὼς καὶ τὴν Νύκτα μεγίστην οὕτω[4] θεόν, ὡς καὶ τὸν Δία σέβεσθαι αὐτήν· ‘ἅζετο γὰρ μὴ Νυκτὶ θοῆι ἀποθύμια ῥέζοι (Il. Ξ 261)’. ἀλλ' Ὅμηρος μὲν καὶ αὐτὸς ἀρχέσθω ἀπὸ Νυκτός· Ἡσίοδος δέ μοι δοκεῖ πρῶτον γενέσθαι τὸ Χάος ἱστορῶν τὴν ἀκατάληπτον τοῦ νοητοῦ καὶ ἡνωμένην παντελῶς φύσιν κεκληκέναι Χάος, τὴν δὲ Γῆν[5] πρώτην ἐκεῖθεν παράγειν ὥς τινα ἀρχὴν τῆς ὅλης γενεᾶς τῶν θεῶν· εἰ μὴ ἄρα Χάος μὲν τὴν δευτέραν τοῖν δυεῖν ἀρχῶν, Γῆν δὲ καὶ Τάρταρον[6] καὶ Ἔρωτα τὸ τριπλοῦν νοητόν, τὸν μὲν Ἔρωτα ἀντὶ τοῦ τρίτου, ὡς κατὰ ἐπιστροφὴν θεωρουμένην.[7] τοῦτο γὰρ οὕτως ὀνομάζει καὶ ὁ[8] Ὀ. ἐν ταῖς ῥαψωιδίαις (v. s. *ΙΕΡΟΙ ΛΟΓΟΙ*)· τὴν δὲ Γῆν ἀντὶ τοῦ πρώτου, ὡς πρώτην ἐν στερεῶι τινι καὶ οὐσιώδει καταστήματι παγεῖσαν, τὸν δὲ Τάρταρον ἀντὶ τοῦ μέσου, ὡς ἤδη πως εἰς διάκρισιν παρακεκινημένον.

1, *τρόπωι ⟨τῶι⟩* Kroll, *ἀνθρώπωι* Diels ap. Kern. De Theogon. 54, *τρόπον ⟨τινα⟩* Mullach. 2 *ὁ* ante *Ὅμηρος* add. C (apogr.) et edd. 3 *ἵστησιν*] *ἐνίστησιν* Kroll ap. Diels. 4 *οὕτω* M, *οὖσαν* Platt *Journ. of philol.* XXVI 1899, 230. 5 *τὴν δὲ τὴν* M, corr. Lob. 6 *τὴν δὲ καὶ Τάρταρον* M, corr. Taylor et Cory, *ταύτην δὲ καὶ T.* Mullach, qui etiam supra *ταύτην δὲ τὴν πρώτην* proposuit. 7 *θεωρουμένην . . . παρακεκινημένην* M, *θ . ον . . . π . ον* Holwerda 298. 8 *ὁ* ante *Ὀ.* add. C et edd.

Eudemum Rhodium Aristotelis discipulum a Damascio adhibitum esse demonstrat Diogenis Laert. I prooem. 9 *ὃς* (sc. *Θεόπομπος*) *καὶ ἀναβιώσεσθαι κατὰ τοὺς Μάγους φησὶ τοὺς ἀνθρώπους καὶ ἔσεσθαι ἀθανάτους καὶ τὰ ὄντα ταῖς αὐτῶν ἐπικλήσεσι διαμένειν. ταῦτα δὲ καὶ Εὔδημος ὁ Ῥόδιος ἱστορεῖ* cf. Damasc. 125 *bis* (I 322, 8 Rue.); Zeller I⁶ 122 n. 4. De Eudemi studiis theologicis v. Kern *Arch. Gesch. d. Philos.* I 1888, 507 n.; Martini *RE*² VI 898.

Lob. I 488; Diels II³ 171 n. 12; Schuster 16; Kern De Theogon. 53; Gruppe *Suppl.* 723; Susemihl Ind. V; Zeller I⁶ 122; Holwerda 298.

28 a. Chrysippus ap. Philod. De pietate 81, 18 Gomp. (Doxogr. 548, 18) = Fragm. Stoicor. ed. Arnim II 192 n. 636 *κἀν τῶι πρ⟨ώ⟩τ⟨ωι⟩* (sc. *Περὶ Φύσεως*) *τὴν Νύκτα θεάν φησιν ⟨εἶναι⟩ πρωτίστην.*

Chrysippum Eudemi Theogoniam secutum esse censet Zeller I⁶ 90 n. 2. Ioa. Lyd. De mens. II 8 p. 26, 1 Wue. *καὶ τρεῖς πρῶται κατ' Ὀρφέα ἐξεβλάστησαν ἀρχαὶ τῆς γενέσεως, Νὺξ καὶ Γῆ καὶ Οὐρανός, θεῶν δὲ τῶν ἐν γενέσει τρία γένη, οὐράνιον καὶ ἐπίγειον καὶ τὸ μεταξὺ τούτων* non ad hanc Theogoniam quadrat Kern De Theogon. 54. V. s. *ΕΙΣ ΤΟΝ ΑΡΙΘΜΟΝ ΥΜΝΟΣ.*

29. (35) Apollon. Rhod. Argonaut. I 494

ἂν¹ δὲ καὶ Ὀρφεὺς
λαιῇι ἀνασχόμενος κίθαριν πείραζεν ἀοιδῆς.
ἤειδεν δ' ὡς γαῖα καὶ οὐρανὸς ἠδὲ θάλασσα,
τὸ πρὶν ἐπ' ἀλλήλοισι μιῆι συναρηρότα μορφῆι,
νείκεος ἐξ ὀλοοῖο διέκριθεν ἀμφὶς ἕκαστα·
ἠδ' ὡς ἔμπεδον αἰὲν ἐν αἰθέρι τέκμαρ ἔχουσιν
ἄστρα σεληναίη τε καὶ ἠελίοιο κέλευθοι·
οὔρεά θ' ὡς ἀνέτειλε, καὶ ὡς ποταμοὶ κελάδοντες
αὐτῇσιν νύμφῃσι καὶ ἑρπετὰ πάντ' ἐγένοντο.
ἤειδεν δ' ὡς πρῶτον Ὀφίων Εὐρυνόμη τε
Ὠκεανὶς νιφόεντος ἔχον κράτος Οὐλύμποιο·
ὥς τε βίηι καὶ χερσὶν ὁ μὲν Κρόνωι εἴκαθε τιμῆς,

ἡ δὲ Ῥέη, ἔπεσον δ' ἐνὶ κύμασιν Ὠκεανοῖο·
οἳ δὲ τέως μακάρεσσι θεοῖς Τιτῆσιν ἄνασσον,
ὄφρα Ζεὺς ἔτι κοῦρος, ἔτι φρεσὶ νήπια εἰδὼς
Δικταῖον ναίεσκεν ὑπὸ σπέος, οἱ δέ μιν οὔπω
γηγενέες Κύκλωπες ἐκαρτύναντο κεραυνῶι
βροντῆι τε στεροπῆι τε· τὰ γὰρ Διὶ κῦδος ὀπάζει.

1 *ἂν* corr. Guelferb.] *ἀνα* L.

E scholiis Laurentiani notanda sunt: 496 *τὴν πρώτην σύγχυσιν τῶν στοιχείων ἄιδειν βούλεται, ὡς ἔκ τινος φιλονεικίας τὸ ἴδιον ἕκαστον μετέσχεν καὶ τάξιν ἔλαβεν. οἰκεία δὲ καὶ τοῖς ὑποκειμένοις πράγμασιν ἡ ᾠιδή, ὅτι πρέπον ἐστὶ τῆς μάχης παύσασθαι καὶ εἰς τὴν οἰκείαν διάθεσιν ἐπανιέναι.* 498 *Ἐμπεδοκλῆς φησιν ὅτι συγκεχυμένων ἁπάντων τὸ πρότερον νεῖκος καὶ φιλότης παραπεμφθέντα τὴν διάκρισιν ἐποιήσαντο, χωρὶς δὲ τούτων οὐδὲν δύναται γενέσθαι· ὧι ἕπεται, ὡς εἰκός, καὶ Ἀπολλώνιος. ὁ δὲ Θαλῆς ἀρχὴν ὑπεστήσατο πάντων ὕδωρ, λαβὼν παρὰ τοῦ ποιητοῦ* (Il. *Η* 99) *λέγοντος 'ἀλλ' ὑμεῖς ⟨μὲν⟩ πάντες ὕδωρ καὶ γαῖα γένοισθε'. καὶ Ζήνων* (fr. 104 Arn., cf. 105) *δὲ τὸ παρ' Ἡσιόδωι*[1] (Theog. 116) *Χάος ὕδωρ εἶναί φησιν, οὗ συνιζάνοντος ἰλὺν γίνεσθαι, ἧς πηγνυμένης ἡ γῆ στερεμνιοῦται· τρίτον δὲ Ἔρωτα γεγονέναι καθ' Ἡσίοδον* (vs. 120), *ἵνα τὸ πῦρ παραστήσηι· πυρωδέστερον γὰρ πάθος Ἔρως. Ἀναξαγόρας* (Diels I^3 391 n. 72) *δὲ μύδρον εἶναι τὸν ἥλιόν φησιν, ἐξ οὗ τὰ πάντα γίνεσθαι. διὸ καὶ Εὐριπίδης* (Orest. 983, cf. Diogen. Laert. II 10) *γνώριμος αὐτῶι γεγονώς*[2] *φησι χρυσέαν βῶλον τὸν ἥλιον εἶναι. τὴν δὲ σελήνην ὁ αὐτὸς Ἀναξαγόρας* (Diels l. l. 392 n. 77) *χώραν πλατεῖαν ἀποφαίνει, ἐξ ἧς*[3] *δοκεῖ ὁ Νεμεαῖος*[4] *λέων πεπτωκέναι.*

1 *Ἡσιόδῳ* P] *ἡσιόδου* L. 2 *γεγονώς* FP] *γέγονεν ὥς* L. 3 *ἀποφαίνει, ἐξ ἧς* Meineke *Anal. Alexandrin.* 85] *ἀποφαίνεται ἐν ᾗ* L. 4 *νεμειαῖος* L.

Diels II^3 175 n. 16; Schoemann Opusc. acad. II 12; Schuster 5 n. 3. 41; Susemihl *N. Jahrb.* XLIV 1874, 669; Max. Mayer *Giganten und Titan.* 234; Gruppe *Kulte und Myth.* I 640; Kern De Theogon. 57. 60; Gruppe *Suppl.* 697. 727. 739; Susemihl Ind. XXI; Zeller I^6 125. 134; Dieterich *Nekyia*^{2} 101. 153; Heeg 8; Polites *Δημώδ. κοσμογονικοὶ μῦθοι* Athenis 1894, 21; Ziegler *N. Jahrb.* XXXI 1913, 561.

Vs. 496—502 Empedoclei sunt (v. Schol.), v. etiam Tzetz. ad Iliad. 41, 21 Herm. Melanippae Euripideae fr. 484 N.^{2} (vs. 2—4)

(v. Dieterich 101) allato *καθὰ φησὶν Ὀ. τε ὁ παλαιὸς καὶ Ἡσίοδος, Ἐμπεδοκλῆς τε σὺν αὐτοῖς ὁ Ἀκραγαντῖνος καὶ Ἀναξαγόρας ὁ Κλαζομένιος καὶ ὁ τοῦ Ἀναξαγόρου τουτουὶ μαθητὴς Εὐριπίδης, οὗτινός εἰσιν ἔπη καὶ οἱ τανῦν ἐκτεθέντες μοι ἴαμβοι* cf. Syrian. in Aristotel. Metaph. B 1 p. 996 a 4 (11, 35 Kr.) *ἐπεὶ καὶ Πυθαγόρειος ὢν Ἐμπεδοκλῆς πῶς ἂν τὰς Ὀρφικὰς ἢ τὰς Πυθαγορείους ἀρχὰς ἠθέτησεν* et B 4 p. 1000 a 19 (43, 6 Kr.) v. test. nr. 181. Unde Apollonius vs. 503—511 hauserit obscurum: Kern l. l. 60; Malten *Archaeol. Jahrb.* XXVII 1912, 261 n. 3; Kern *Herm.* LI 1916, 556.

Imitantur praeter Ovid. Metam. X 145 et Apollinar. Sidon. c. VI 7 (v. nr. 104; cf. Lob. I 508, Max. Mayer l. l.) Apollonium Orphei Argonaut. 419, sed omittunt Empedoclea et immiscent Hesiodeis vere Orphica ut e. g. 424 *πολύμητιν Ἔρωτα* et 429 anthropogoniam, de qua vide s. *ΙΕΡΟΙ ΛΟΓΟΙ*

αὐτὰρ ἔγωγε μετ' αὐτὸν ἑλὼν φόρμιγγα λίγειαν
ἐκ στόματος μελίγηρυν ἱεὶς ἀνέπεμπον ἀοιδήν.
πρῶτα μὲν ἀρχαίου Χάεος μελανήφατον[1] *ὕμνον,*[2]
ὡς ἐπάμειψε φύσεις, ὥς τ' οὐρανὸς ἐς πέρας[3] *ἦλθε·*
γῆς τ' εὐρυστέρνου γένεσιν πυθμένας τε[4] *θαλάσσης·*
πρεσβύτατόν τε καὶ αὐτοτελῆ πολύμητιν Ἔρωτα,
ὅσσα τ' ἔφυσεν ἅπαντα,[5] *διέκριθεν ἄλλο ἀπ' ἄλλου·*[6]
καὶ Κρόνον αἰνολέτην, ὥς τ' ἐς Δία τερπικέραυνον
ἤλυθεν ἀθανάτων μακάρων βασιλήϊος ἀρχή.
μέλπον θ' ὁπλοτέρων μακάρων γένεσίν τε κρίσιν τε·
καὶ Βριμοῦς Βάκχοιο Γιγάντων τ' ἔργ' ἀΐδηλα,
ἀνθρώπων τ' ὀλιγοδρανέων πολυεθνέα φύτλην
ἤειδον· στεινὸν[7] *δὲ διὰ σπέος ἤλυθεν αὐδή*
ἡμετέρης χέλυος μελιχρὴν ὄπα γηρυούσης.

Cf. ad 428 Argonaut. 17 *Βριμοῦς τ' εὐδυνάτοιο γονὰς ἠδ' ἔργ' ἀΐδηλα Γηγενέων, οἳ λυγρὸν ἀπ' Οὐρανοῦ ἐστάξαντο σπέρμα γονῆς τό τε πρόσθεν ὅθεν γένος ἐξεγένοντο θνητῶν οἳ κατὰ γαῖαν ἀπείριτον αἰὲν ἔασι* test. nr. 224 et Mayer l. l. 237.

1 *μελανήφατον* (cf. *παλαίφατον*) codd., *μελάνην φάτιν* Wiel *Progr.* 1862, 21, *μέλανα σκότον* Ab. 2 *ὕμνον* codd., *ὕμνεον* Wiel, *ὕμνουν* Schenkl, Ab. 3 *ἑσπέρας* codd. 4 *πυθμένα τε* codd., corr. Herm. 5 *ὥς θ' ἅτ' ἔφυσεν* Wiel. 6 *διέκριθεν δ' ἄλλο ἀπ' ἄλλου* Vo, *δι' ἔκριθεν ἄλλο ἀπ' ἄλλου* R, *διέκριθε δ' ἄλλον ἀπ' ἄλλου* VWL, *διέκριθε δ'* (corr. ex *διέκριθεν*) *ἄλλο ἀπ' ἄλλου* S, *τὰ δ' ἔκριθεν ἄλλου ἀπ' ἄλλο* Herm., *διέκριθεν ἄλλο πρὸς ἄλλου* I. H. Voss (Ab.). 7 *στενὸν* codd., corr. Stephan.

29a. (248) Schol. Dan. in Verg. Bucol. IV 10 p. 46, 3 *Nigidius de diis lib. IV: quidam deos et eorum genera temporibus et aetatibus ⟨dispescunt⟩,*[1] *inter quos et O. primum regnum Saturni, deinde Iovis, tum*[2] *Neptuni, inde Plutonis; nonnulli etiam, ut magi, aiunt, Apollinis fore regnum: in quo videndum est, ne ardorem, sive illa ecpyrosis appellanda est, dicant.*

1 *dispescunt* add. Lob. 2 *tum . . . Plutonis* Dan.] *tunc neptunum inde apollinis* L.

Zoëga *Abhdlgn.* 216; Lob. II 791; Hertz De Nigidii Figuli stud. atque oper. Berol. 1845, 28; Zeller I^6 126 n. 2, qui Nigidium eadem Theogonia ac Apollonium usum esse opinatur; Geffcken *Herm.* XLIX 1914, 327; J. Kroll ibidem L 1915, 143 n. 1.

30. Chrysippus ap. Philodem. De pietate 80, 16 Gomp. (Doxogr. 547 b 16; fr. 1078. 1081 Arnim v. etiam test. nr. 233) *ἐν δὲ τῶι δευτέρ⟨ωι⟩* (sc. *περὶ Θεῶν*) *τά τε εἰς Ὀρφέα κ⟨αὶ⟩ Μουσαῖον ἀναφερ⟨όμ⟩ενα καὶ τὰ παρ' ⟨Ὁ⟩μήρωι καὶ Ἡσιόδω⟨ι⟩ καὶ Εὐριπίδη⟨ι⟩ καὶ ποιηταῖς ἄλλοις, ⟨ὡ⟩ς καὶ Κλεάνθης* (fr. 539 Arnim), *⟨π⟩ειρᾶται σ⟨υ⟩νοικειοῦν ταῖς δόξαις αὐτῶν. ἅπαντα ⟨τ'⟩ ἐστὶν αἰθήρ* (= *Ζεύς*), *ὁ αὐ⟨τ⟩ὸς ὢν καὶ πατὴρ καὶ υἱός, ⟨ὡς⟩ κἀν τῶι πρώτω⟨ι⟩ μὴ μάχεσθαι τὸ τὴν Ῥέ⟨α⟩ν καὶ μητέρα ⟨τοῦ⟩ Διὸς εἶναι καὶ θ⟨υγα⟩τέρα. τὰς δ' αὐτὰς πο⟨ι⟩εῖται σ⟨υ⟩νοικει⟨ώσε⟩ις κἀν τῶ⟨ι⟩ περὶ ⟨Χ⟩αρίτων ⟨ἐν ὧι τ⟩ὸν Δία νόμον φησὶν εἶναι καὶ τὰς Χάριτας τὰς ἡμετέ⟨ρ⟩ας καταρχὰς κα⟨ὶ⟩ τὰς ἀνταπ⟨ο⟩δόσεις τῶν εὐε⟨ργ⟩εσιῶ⟨ν⟩.*

Usener *Rhein. Mus.* LV 1900, 293 = *Kl. Schr.* IV 313; Dieterich *Mithrasliturg.* 156; Norden *Agnostos Theos* 229 n. 1. Cf. de Iove Valerii Sorani versus fr. 21 a p. 93.

31. Papyri tertii a. Chr. saec. fragmentum in vico Gurob repertum et editum cum commentario bonae doctrinae plenissimo a J. Gilbart Smyly *Greek Papyri from Gurob Dublin* 1921 n. 1 tab. I. II; edo ex tabulae imagine et apographo mihi a Smylyo comiter misso.

I (versuum exitus).

. ας ταε . . . να εὐρηι
ωμα . . . υν λεγε
διὰ τὴν τελετὴν
ἔτεμον ποινὰς πατέ-
σῶισομ με Βριμώ με
Δημήτηρ τε Ῥέα

II (versuum initia).

1—4 dubia vestigia.

παρα
ματ

Κούρητές τε ἔνοπλοι
ωμεν.
ἵ〉να ποιῶμεν ἱερὰ καλά
. νηι κριός τε τραγός τε
ἀπερίσια δῶρα
. ον καὶ ἐπὶ ποταμοῦ νομωι
άνων τοῦ τράγου
τὰ δὲ λοιπὰ κρέα ἐσθιέτω
ος μὴ ἐφοράτω
χον ἀναθεὶς εἰς τὸ ἀνηιρε-
αλων εὐχή·

νον καὶ Εὐβουλέα καλῶ
. ας εὐρῆας κικλήσκω
. . ιτοφίλους σὺ ἀπαυάνας
Δ〉ήμητρος καὶ Παλλάδος ἡμῖν
λευ Ἰρικεπαῖγε σῶισόν με
ητα εἷς Διόνυσος σύμβολα
υρα θεὸς διὰ κόλπου
. . . ν ἔπιον ὄνος βουκόλος
γιας σύνθεμα ἄνω κάτω τοῖς
καὶ ὅ σοι ἐδόθη ἀνηλῶσαι
ε〉ὶς τὸν κάλαθον ἐμβαλῖν
κ〉ῶνος ῥόμβος ἀστράγαλοι
η ἔσοπτρος.

δροις
πουσ
ουνεν
ῥάχος κ
εὔχεσ〈θαι?
εὐχέσ〈θω?
νον π .
μὴ ἔχη
τι ημε
θεν του
τριχῶν
Βλέπω
κα
δωι λοι
ε . . . ινη
δι
. θ . εικα
γευ . . σ
ζε . . .
πορθ . .
διουλ
.

I 1 an 〈ἕκ〉αστα ἔ〈γγο〉να? Wilcken. Ad *εὐρηι* cf. 19 *εὐρῆας*. 3 *διὰ τὴν τελετὴν* Diels, *διοτοκιν τελετηv* Smyly. 4 *πατέ|〈ρος〉* verisimile i. e. Saturni. 5 *με〈γάλη〉* Hunt. 10 *〈κρή〉νηι* litterarum vestigiis vetatur; sed cf. 12 *ποταμοῦ*. 12 *νόμωι* vel *νομῶι*? 13 *〈τὰς ὄρχεις λαμβ〉άνων* Smyly collato Mich. Psell. *Τίνα περὶ δαιμόν. δοξάζ. Ἕλληνες* 39 Boisson. *τραγοσκελὲς μίμημα παθαινόμενον περὶ τοῖς διδύμοις, ὅτιπερ ὁ Ζεύς, δίκας ἀποτιννὺς τῆς βίας τῆι Δήμητρι, τράγου ὄρχεις ἀποτεμών, τῶι κόλπωι ταύτης κατέθετο ὥσπερ δὴ καὶ ἑαυτοῦ.* 14 *λοιπὰ* difficile lectu, quia in vetustiorum litterarum vestigiis scriptum ut *διὰ τὴν* vs. 3. Benigne Smyly per litteras mecum communicavit haec *The letters written above the line are quite certainly πα, and the letter after δε is almost equally certainly λ; in this Dr. Hunt agrees with me. The two letters between have been corrected: neither λεπτὰ nor ἄεργα, can be read. The only Greek word, as far as I can see, which can be reconciled with the writing is λοιπά. It also seems to me to be a natural word in this connection; τὰ λοιπὰ κρέα is found not only in Dittenberger Syll. II*^{3} *736, 96, but also in 1044, 40 and τὰ δὲ ἄλλα κρέα occurs in 1025, 23. 55: similarly in Latin Ovid. Metam. XII 154 sacra tulere suam, pars est data cetera mensis.* 15 〈*ὁ δὲ βέβηλ*〉*ος*

Smyly. 16 χου Wilcken, λλου Smyly. Inter vs. 17 et 18 maius intervallum precationis initium indicans. 18 ⟨Πρωτόγο⟩νον Smyly. 19 ευρήας (= εὐρείας) Wilcken (v. etiam vs. 1), cui Hunt assentitur, Ευηιας Smyly; ⟨μαι⟩εντρίας reliquiis non respondet. 22 ⟨βασι⟩λεῦ vel ⟨Εὐβου⟩λεῦ. Ἰρικεπαῖγε = Ἠρικεπαῖε Wilcken, Πικεπαῖγε Smyly. 23 ητα Wilcken, unde Φάν⟩ητα Diels; ιτα Smyly qui Λικν⟩ῖτα proponit. Inter . . . ητα et εἷς nullae litterae fuisse videntur. 24 νρα Wilcken, ηρα Smyly. 25 ψυχ⟩ρ⟨ὸ⟩ν litt. vestigiis vetatur. ὄνος certa lectio esse videtur; ὅσιος vel οἶνος legi nequit. 27 καὶ ὅ σοι Wilcken, ς διο σοι Smyly. Etiam de ἀνήλωσαι (imperat. med. aorist.) cogitari potest. V. Croenert Mem. Hercul. 286. 30 post ἔσοπτρος nullae litterae.

II 10 ῥάχος cf. Phot. Lex s. ῥάχοι· αἱ μυρίκιναι ῥάβδοι, 'ῥάχοισιν ὀρχάδος στέγης'. Σοφοκλῆς δὲ (λέγει corr. M. Schmidt) τοὺς φραγμοὺς τῆς ποίμνης (Soph. fr. 743 Nauck[2]); ῥάκος praefert Wilcken. 12 an οἶ⟩|νον π⟨ιν? 13 ἐχέ⟨τω? Wilcken. 14 τε⟩τιημε⟨ν . . idem. 18 an καλῶς? Wilcken. Post vs. 2 et 26 paragraphos *very doubtful* indicat Smyly. vs. 17 ss. litterarum ἔκθεσις perspicua, quae orationem (βλέπω vs. 17) indicare videtur. 23 γεύσασ⟨θαι? Wilcken.

Orphicorum legis sacrae reliquiae cui partes metricae immixtae erant (maxime vs. 4—7. 10. 11. 21. 23 v. etiam II 14). Cum textus continuus restitui nequeat, bis precationem (vs. 5 et 18 ss.), vs. 9 ss. sacra ineunda, vs. 23 ss. σύμβολα Orphica indicari elucet. Vs. 20 et 27 sacerdos mystam alloquitur. Vs. 5 *Βριμώ* in Orphei Argonauticis 17 et 429 occurrit (v. fr. 29 et de hierophantae Eleusinii voce mystica ἱερὸν ἔτεκε πότνια κοῦρον Βριμὼ Βριμόν Kern *RE*[2] III 854 et Dieterichii *Mithrasliturgie* 213 n. II); vs. 6 ad Δημήτηρ (cf. vs. 21) τε Ῥέα vide infra in Carminibus de raptu Proserpinae et s. *ΙΕΡΟΙ ΛΟΓΟΙ*; vs. 7 *Κούρητές τε ἔνοπλοι* in *Εὐχὴ πρὸς Μουσαῖον* 20 *Κούρητάς τ' ἐνόπλους Κορύβαντάς τ' ἠδὲ Καβείρους* et *Κούρητες* saepissime in *Ἱεροῖς λόγοις* et Hymnis; vs. 18 *Εὐβουλεύς* in lamellis aureis fr. c—e 2, g 2, in Carminibus de raptu Proserpinae, in Hymnis XXIX 8, XXX 6, XLI 8, XLII 2, LII 4, LVI 3, LXXII 3; vs. 21 *Παλλάς* v. s. *ΙΕΡΟΙ ΛΟΓΟΙ*. De Baccho (vs. 24 εἷς Διόνυσος ex versu notissimo εἷς Ζεύς εἷς Ἀίδης εἷς Ἥλιος εἷς Διόνυσος cf. Weinreich *Neue Urkunden zur Sarapis-Religion* 27 et infra s. *ΒΑΚΧΙΚΑ*) taceo, quia deus vere Orphicus est; vs. 18 *Πρωτόγο?⟩νο(ς)* et vs. 23 *Φά?ν⟩η(ς)* eiusdem dei figurae sunt velut vs. 22 *Ἰρικεπαῖγος*, cuius nulla antiquior extat memoria. Nam latet haud dubie *Ἠρικεπαῖος*, Orphicorum deus clarissimus, cuius cultum testatur titulus secundi p. Chr. saeculi Hierocaesareae in Lydia a. 1906 ab Ios. Keilio et A. de Premersteinio (*Denkschr. Wien. Akad. Phil. hist. Kl.* LIII 1908, 54 n. 112) felicissime repertus: ἐπὶ ἱεροφάντου |

Ἀρτεμιδώρου τοῦ Ἀπολ|λωνίου Μηνόφιλος, Περη|λίας(?) καὶ Σεκοῦνδος Ἀπολ|5 λωνίου οἱ συγγενεῖς Διο|νύσῳ Ἠρικεπαίῳ τὸν βωμόν (Kern *Genethliakon f. Robert* 1910, 93; *Herm.* LI 1916, 565 n. 2). Ad vs. 20 cf. fr. 32 b 1 *δίψαι αὖος ἐγὼ καὶ ἀπόλλυμαι*, ad vs. 24 *θεὸς διὰ κόλπου* Hymn. LII 11 *ὑποκόλπιε* (*Εὐβουλεῦ* vs. 4), fr. 32 c 8 *Δεσποίνας δὲ ὑπὸ κόλπον ἔδυν* et quae Dieterich *Mithrasliturgie* 123. 136 exposuit; ad vs. 25 *ὄνος ἄγων μυστήρια* Aristophan. Ran. 159; ad vs. 28 symbolum Eleusinium *ἐνήστευσα, ἔπιον τὸν κυκεῶνα, ἔλαβον ἐκ κίστης, ἐργασάμενος ἀπεθέμην εἰς κάλαθον καὶ ἐκ καλάθου εἰς κίστην* Dieterich l. l. 212 n. I et Epiphan. fr. 34; ad vs. 29 versus de Zagrei crepundiis ibidem. Cetera apud Smylyum in commentario inveniuntur.

32. Lamellae aureae (v. etiam fr. 47) Peteliae (a), Eleuthernae (b), Thuriis (c—f), Romae (g) repertae, saepe editae, proxime a Domenico Comparetti *Laminette Orfiche Firenze* 1910 (v. Gruppe *Berliner philol. Wochenschr.* 1912, 103) et Alexandro Olivieri Lamellae aureae Orphicae *Kleine Texte* 133, Bonnae 1915, ubi p. 3 libellorum de eis scriptorum conspectum invenies, cui addimus Zeller *Zeitschr. wiss. Theol.* XLII 1899, 253 = *Kl. Schr.* II 170; P. Foucart *Recherches sur l'origine et la nature des mystères d'Éleusis* (= *Mém. de l'academ. des inscr.* XXXV 1895) 66—72 = *Les Mystères d'Éleusis* 1914, 425—431; Ian Herm. Wieten De tribus laminis aureis quae in sepulcris Thurinis sunt inventae (c—f), Amstelodami 1915; E. Pfeiffer *Studien zum antiken Sternglauben* (*Στοιχεῖα* II) 1916, 129; C. Reinhardt *Parmenides und die Geschichte der griech. Philosophie* 1916, 198; Kern *Herm.* LI 1916, 555; W. Kroll *N. Jahrb.* XXXIX 1917, 149; S. Eitrem *Beiträge zur griech. Religionsgesch. Videnskappselskapets Skrifter* II, *Hist.-filos. Kl. Kristiania* 1914 n. 1, 53 (*Opferritus und Voropfer*), 1920 n. 2, 19; Leisegang *Der Heilige Geist* I 1919, 111; Weege *Etrusk. Malerei* 1920, 112 ss.; C. Meuli *Odyssee und Argonautika* 1921, 27; Diels *Der antike Pessimismus* 1921, 13.

a) Peteliae (apud *Strongoli*) inventa, nunc Londini in museo Britannico. Saec. IV—III a. Chr. n. IG XIV 638; Comparetti 32; Diels II³ 175 n. 17; Olivieri 12 b, a¹; v. E. Curtius *Griech. Quell- und Brunneninschr.* 1859 (*Abhdlg. Ges. d. Wiss. Goett.* VIII), 17.

εὑρήσσεις δ' Ἀίδαο δόμων ἐπ' ἀριστερὰ κρήν|ην,
πὰρ δ' αὐτῆι λευκὴν ἑστηκυῖαν κυπάρισσον· |

ταύτης τῆς κρήνης μηδὲ σχεδὸν ἐμπελάσειας. |
εὑρήσεις δ' ἑτέραν, τῆς Μνημοσύνης ἀπὸ λίμνης |
ψυχρὸν ὕδωρ προρέον· φύλακες δ' ἐπίπροσθεν ἔασιν. |
εἰπεῖν· ʽΓῆς παῖς εἰμι καὶ Οὐρανοῦ ἀστερόεντος,
αὐτὰρ ἐμ|οὶ γένος οὐράνιον· τόδε δ' ἴστε καὶ αὐτοί.
δίψηι δ' εἰμ[ὶ] αὖ|η καὶ ἀπόλλυμαι· ἀλλὰ δότ' αἶψα
ψυχρὸν ὕδωρ προρέ|ον τῆς Μνημοσύνης ἀπὸ λίμνης'.
καὐτ⟨οί⟩ σ⟨ο⟩ι δώσουσι | πιεῖν θείης ἀπ⟨ὸ κρή⟩νης,[1]
καὶ τότ' ἔπειτ' ἄ⟨λλοισι μεθ'⟩ ἡρώε|σσιν ἀνάξει⟨ς.⟩
. . . . *ιης το δειγ* . . . 16 litt. . . . | *θανεῖσθ⟨αι⟩*
. . . . *τόδ' ἔγραψ⟨α*[2] . . . . |
τογλως?[3] *εἶπα . σκότος ἀμφικαλύψας.*

1 Suppl. Goettling, *ἀπ⟨ὸ λίμ⟩νης* Franz. 2 *ἔγραψ⟨α* suppl. Diels, *ἔγραψ⟨ε* (sc. *'Ο.*) Comp. 3 *ΤΟΓΛΩΣ* lam.] *τὸ κλέος* (= notitia) Ol. Sententia versuum 12—14 obscura; tentamina invenies ap. Ol.

b) Eleuthernae in insula Creta reperta, nunc in museo Atheniensi, saec. II a. Chr. Comparetti 37; Diels II[3] 176 n. 17a; Olivieri 14b[1].

I. A. *δίψαι αὖος ἐγὼ καὶ ἀπόλλυμαι·* B. *ἀλλὰ πιέ μοι*
κράνας αἰειρόω ἐπὶ δεξιά, τῇ κυφάρισος.
τίς δ' ἐσί; πῶ δ' ἐσί; A. *Γᾶς υἱός ἠμι καὶ 'Ωρανῶ ἀστερό-*
εντος.

II. A. *δίψαι αὖος ἐγὼ καὶ ἀπόλλυ[μα]μαι·* B. *ἀλλὰ πιέ μοι*
κράνας αἰειρόω ἐπὶ δεξιά, τῇ κυφάρισος.
τίς δ' ἐσί; πῶ δ' ἐσί; A. *Γᾶς υἱός ἠμι καὶ 'Ωρανῶ ἀστερό-*
εντος.

III. A. *δίψαι αὖος [αλ. σσ] ἐγὼ καὶ ἀπόλλυμαι·* B. *ἀλλὰ πίεμ*
μου[1]
κράνας αἰενάω[2] *ἐπὶ δε⟨ξ⟩ιά, τῇ κυφάρισσος.*
τίς δ' ἐσί; πῶ δ' ἐσί;[3] A. *Γᾶς υἱός ἠμ⟨ι⟩ καὶ 'Ωρανῶ ἀστερό-*
εντος.

Archetypi restitutio difficilis. Temptat Olivieri:

A. '*δίψαι αὖος ἐγὼ καὶ ἀπόλλυμαι.*' B. '*ἀλλὰ πίε μμου*
κράνας αἰενάω ἐπὶ δεξιά, τῇ⟨ι⟩ κυφάρισσος.
τίς δ' ἐσί; [πῶ δ' ἐσί;]' A. *Γᾶς υἱός ἠμι καὶ 'Ωρανῶ ἀστερό-*
εντος.

1 *πίε μμου* Murray, Oliv.] *πι' ἔμ μου = πι' ἔγ μου* W. Schulze ap. Dieterich *Nekyia*[2] 107 n. 2, *πίεμ ⟨μ⟩οι = πιεῖν μοι δότε* Compar. Diels, v. a vs. 8. 2 *αἰέναος* (*ἀέναος*) *κρήνη* occurrit inde ab Hesiodo Op. 595 saepe (v. Croenert. ap. Passovium 117, ubi adde inscript. Magnes. 252 *καλλιπαρθένιος πηγὴ ἀέναος, νᾶμα Νυμφῶν ἀνέκλειπτον*, sed rarior et melior lectio est *αἰειρόω* in I et II. 3 *πῶ δ' ἐσί = πόθεν δ' ἐσί* Wackernagel *Vorlesungen über Syntax* I 299; uncis inclusit Diels, cum C. Robertus apud Kernium *Herm.* LI 1916, 560 n. 1 Homericum illud *τίς πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες* in mentem revocans tertiam exspectet interrogationem et quartum versum fingat: *Γ⟨αί⟩ας υἱός ἠμι καὶ Ὠρανῶ ἀστερόεντος.*

IV. Ad Cretensium religionem Orphicam spectat etiam epigramma conclamatissimum saec. II a. Chr. Phaesti quondam in lapide repertum et optime editum a G. de Sanctis *Monum. ant. d. r. Accademia dei Lincei* XI 1901, 542 (Blass *Griech. Dialektinschr.* III 2, 360 nr. 5112), de quo fusius egit Kern l. l. 557 (cf. etiam *Herm.* LII 1917, 475):

θαῦμα μέγ' ἀνθρώποις | πάντων Μάτηρ[1] *πρ⟨ο⟩δίκνυτι, |*
τοῖς ὁσίοις κίγκρητι καὶ οἳ γον|εὰν ὑπέχονται,[2]
τοῖς δὲ π||αρεσβαίνονσι θιῶν γέν|ος ἀντία πράτ⟨τ⟩ει.
πάντε|ς δ' εὐσεβίες τε καὶ εὔγλωθ|(τ)οι[3] *πάριθ' ἁγνοὶ*
ἔνθεον ἐς | Μεγάλας Ματρὸς ναόν, || ἔνθεα δ' ἔργα
γνωσῆ⟨θ'⟩ ἀθανάτας ἄξια τῶδε ν|αῶ.

1 Eleutheruae portum nomen *Παντομάτριον* duxisse (Fick *Vorgriech. Ortsnamen* 12) monendum est. 2 *οἳ γονεὰν ὑπέχονται* ut mystae in tertio lamellarum versu faciunt dicentes: *Γᾶς υἱός ἠμι καὶ Ὠρανῶ ἀστερόεντος*, cf. infra g vs. 3; = *τόκον ὑπισχνοῦνται* Blass, v. Wackernagel *Glotta* VII *Suppl.* 217 n. 1. 3 *εὔγλωθ(τ)οι* Blass et Wilamowitz *Lit. Centralbl.* 1902, 1484; *ΕΥΓΛΩΘΙΟΙ* lapis v. Kern l. l. LI 557 n. 1 et LII 475.

c) Lamella Thuriis in agro Sybaritico reperta cum d. e. f; nunc in museo Neapolitano. Saec. IV—III a. Chr. n. IG XIV 641, 1; Comparetti 17; Diels II[3] 176 n. 18; Olivieri 4 A cum imagine 26 supra.

ἔρχομαι ἐκ κοθαρῶ⟨ν⟩, κοθαρὰ[1] *χθονί⟨ων⟩ βα|σίλεια,*
Εὐκλῆς Εὐβο⟨υ⟩λεύς τε καὶ ἀ|θάνατοι θεοὶ ἄλλοι·
καὶ γὰρ ἐγὼν | ὑμῶν γένος ὄλβιον εὔχομαι | εἶμεν,
ἀλ⟨λ⟩ά με Μο⟨ῖ⟩ρ[α] ἐδάμασ⟨σ⟩ε | καὶ αθάνατοι θεοὶ ἄλλοι[2]
— ◡ ◡ — ◡ ◡ — ◡ καὶ ἀσ|στεροβλῆτα κεραυνόν.[3]
κύκλο⟨υ⟩ | δ' ἐξέπταν βαρυπενθέος ἀργα|λέοιο,
ἱμερτο⟨ῦ⟩ δ' ἐπέβαν στεφά|νο⟨υ⟩ ποσὶ καρπαλίμοισι,

Δεσσ|ποίνας δ[ὲ] ὑπὸ κόλπον ἔδυν χθονί|ας βασιλείας·
ἱμερτο⟨ῦ⟩ δ' ἀπέβαν | στεφάνο⟨υ⟩ ποσὶ καρπαλίμοι|σι[4]
'ὄλβιε καὶ μακαριστέ, θεὸς δ' ἔ|σηι ἀντὶ βροτοῖο'.
ἔριφος ἐς γάλ' ἔπετο|ν.

1 *ΚΟΘΑΡΟΚΟΘΑΡΑ* lam. 2 *καὶ ἀθάνατοι θεοὶ ἄλλοι* e versu 2 repetita esse Dieterichium *De hymn. Orphicis* 31 = *Kl. Schr.* 92 secuti putaverunt Weilius, Radermacher, Comparetti, Olivieri; postea (in. vs. 5) lacunam sumpserunt Murray et Diels. 3 *κατ' ἀστεροβλῆτα κεραυνόν* Buecheler *Rhein. Mus.* XXXVI 1881, 333 (cf. Radermacher ibidem LXVII 1912, 472); *καὶ ἀστεροβλῆτα κεραυνός* Kaibel v. Meuli *Odyssee u. Argonautika* 28; *καὶ ἀστεροβλῆτα κεραυνῶν* Dieterich. Vs. 9 = 7, at consilio *ἀπέβαν* pro *ἐπέβαν*, de quo v. Eitrem *Opferritus u. Voropfer* 53; Weinreich *Goett. Gel. Anz.* 1921, 136. 4 *στεμανο* (*στεφάνου*) et *καρπασίμοισι* vitia fabricatoris.

d) Thuriis (v. c. e) reperta IG XIV 641, 2; Comparetti 21; Diels II^{3} 176 n. 19; Olivieri 9 b cum imagine 26 infra.

ἔρχομα⟨ι⟩ ἐ⟨κ⟩ κα⟨θα⟩ρῶν[ς χ⟨θ⟩ον⟨ί⟩ων][1] | *καθαρά,*[2] *χ⟨θ⟩ονίων βασ⟨ί⟩λ[η]ει⟨α⟩, |*
Εὔκλε καὶ Εὐβουλεῦ[ι] καὶ ⟨ὅσοι⟩[3] *θεοὶ*[4] *δαίμο⟨ν⟩|ε⟨ς⟩ ἄλλοι·*
καὶ γὰρ[5] *ἐγὼν ὑμῶ⟨ν⟩ γένο⟨ς⟩ εὔχομα|ι ὄλβιο⟨ν⟩ εἶναι,*[6]
πο⟨ι⟩νὰ⟨ν⟩[7] *δ' ἀνταπέ[ι]τε[σε]ι⟨σ'⟩ | ἔργω⟨ν⟩*[8] *ἕνεκ[α] οὔτι δικα⟨ί⟩ων, |*
† εἴτε με Μο⟨ῖ⟩ρ[α] ἐδαμάσ⟨σ⟩ατ[ο] | εἴτ[ε] ἀστεροπῆτι κ⟨ε⟩ραυνῶν. |[9]
νῦν δ' ἱκέτι⟨ς ἥ⟩κω[ι] πα⟨ῤ⟩ ἁγ⟨αυ⟩ὴ⟨ν⟩ Φε⟨ρ⟩σε|φόνε⟨ι⟩αν,[10]
ὥς με[ι] πρόφ⟨ρ⟩ω⟨ν⟩ πέ⟨μ⟩ψη⟨ι⟩ | ἕδρα[ι]ς ε⟨ἰ⟩ς εὐαγέ[ι]ω⟨ν⟩.[11]

Multa magna cum incuria a sculptore administrata sunt (v. quoque e).

1 *ΕΚΑΡΩΙΣΧΟΝΩΝ* lam. 2 initio vs. 2 in lam. ante *ΚΑΘΑ* lineola transversa exarata est, quam pro litterae fragmento habere dubito. 3 ⟨*ὅσοι*⟩ add. Radermacher, Diels. 4 *καὶ* post *θεοί* add. Murray. 5 *ΓΡΑ* lam. 6 *ΟΛΒΙΟΙΕΙΝΑΙ* lam. 7 *ΠΟΝΑΙ* lam. 8 *ΕΡΓΩΙ* lam. 9 versus nondum sanatus: temptaverunt e. g. *ε⟨ὖ⟩τέ με Μο⟨ῖ⟩ρ' ἐδαμάσ⟨σ⟩ατ[ο] ὅ τ' ἀστεροπητ⟨ὰ⟩ κ⟨ε⟩ραυνῶν* Weil, *εἴτε με Μο⟨ῖ⟩ρ[α] ἐδάμασ⟨σ'⟩ εἴτε ἀστεροπῆτ⟨α⟩ κ⟨ε⟩ραυνῶν* Kaibel, *εἴτε με Μο⟨ῖ⟩ρ[α] ἐδαμάσ⟨σ⟩[ατο] εἴτ[ε] ἀστεροπῆτ⟨α⟩ κ⟨ε⟩ραυνῶν* Olivieri, qui alia conamina adnotat. Post *ἐδαμάσατο* lacunam statuerunt Murray et Diels, qui Radermacherum (v. c) secutus *στεροπῆτι κεραυνῶι* scripsit. *σὺν ἀστεροπῆτι Κεραυνῶι* Wieten 82. 96. 10 *ΔΙΚΕΤΙΙΚΩΙΠΑΙΑΓΝΗΦΕΣΕ* | *ΦΟΝΕΑΝ* lam.] *πα⟨ῤ⟩ ἁγ⟨αυ⟩ὴ⟨ν⟩* egregie Diels cf. Hymn. XLI 5; XLIV 6; XLVI 6; *ἁγνὴν* ante *ἥκω* transposuit Comparetti. 11 versus vitiosus; *ε⟨ἰ⟩ς εὐαγε⟨όν⟩τω⟨ν⟩* Diels, *ΠΕΙΨΗΕΔΡΑΙΣΕΣΕΥΑΓΕΙΩΙ* lam.

e) Thuriis (v. c. d) inventa, IG XIV 641, 3; Comparetti 19; Diels II^{3} 176 ad n. 19; Olivieri 10 c cum imagine 27 supra.

ἔ[ι]ρχομαι ἐ⟨κ⟩ καθαρῶ⟨ν⟩ καθ|⟨αρά, χθ⟩|ο⟨νίων⟩ βασίλ⟨εια⟩,
[υρ][1] Εὔκλε[να] κα⟨ὶ⟩ Εὐ|βο⟨υ⟩λεῦ καὶ θεοὶ ὅσοι δ⟨αί⟩μο|νες ἄλλο⟨ι⟩·
καὶ γὰρ ἐ⟨γ⟩ὼ⟨ν⟩ ὑ⟨μῶν⟩ | γένος[2] εὔχομα⟨ι⟩ ε⟨ἶ⟩να⟨ι⟩ | ὄλβιο⟨ν⟩,
ποινὰν ⟨δ’⟩ δ’ ἀνταπ|έτε⟨ισ’⟩[3] ἔργω⟨ν ἕνεκ’⟩ ο⟨ὔ⟩τι δικ|α⟨ί⟩ων,
† ε⟨ἴ⟩τ⟨ε⟩ με Μο⟨ῖ⟩ρ[α] ⟨ἐδάμασσ’⟩ | ε⟨ἴ⟩τ[ε] ⟨ἀστε⟩ροπῆτι [κη] κε-ρα|υν⟨ῶν⟩.
νῦν δ[ὲ] ⟨ἱ⟩κ⟨έτις⟩ ἥκω | [ἥκω] παρ’ ἁ⟨γαυὴν⟩ Φ⟨ερ⟩σεφ⟨όνειαν⟩, |
ὥς με ⟨π⟩ρόφ⟨ρων⟩ πέ⟨μ⟩ψ⟨ηι⟩ [ἔμ’] | ἕδρας ἐς εὐ⟨α⟩γ⟨έ⟩ω⟨ν⟩.

Multae litterae supervacaneae, multae mancae, ut in n. d, multae vitiosae de quo v. quae Ol. accurate adnotavit. 1 *ΥΡ* lam.; an ⟨*Κο*⟩*ύρ*⟨*η*⟩ supplendum? (Oliv.). 2 *\ΙΙΕΝΟΣ* lam. 3 *ΝΑΤΑΠ* lam. pro *ΑΝΤΑΠ*.

De Gnosticorum mysteriis similia praebentibus v. Norden *Agnostos Theos* 193 n. 1.

f) Thuriis cum c—e reperta. Saec. IV—III a. Chr. n. IG XIV 642; Comparetti 6; Diels II^{3} 177 n. 20; Olivieri 15c A^{2} cum imagine 27 infra.

ἀλλ’ ὁπόταμ ψυχὴ προλίπηι φάος ἀελίοιο, |
δεξιὸν ΕΓΟΙΑΣΔΕΕΕΝΑΙ[1] πεφυλαγμένον | ε[ι]ὖ μάλα πάντα.
χαῖρε παθὼν τὸ πάθη|μα· τὸ δ’ οὔπω πρόσθ’[ε] ἐπεπόνθεις·
θεὸς ἐγ|ένου ἐξ ἀνθρώπου· ἔριφος ἐς γάλα | ἔπετες.
χαῖρ⟨ε⟩, χαῖρε, δεξιὰν ὁδοιπορ⟨ῶν⟩ |
λειμῶνας τ[ε] ἱεροὺς καὶ ἄλσεα | Φερσεφονε⟨ί⟩ας.[2]

Praetereo sculptoris vitia quae Olivieri accurate adnotavit. 1 desperavi; multa conamina extant e quibus eligo tria: *δεξιὸν εἰσιέναι δεῖ τινα πεφ.* Rohde, *δεξιὸν ἔνθ’, ἃς δεῖ [τινα], πεφ.* Diels qui interpretatur *'gelange auf dic rechte Seite, bis wohin man (gelangen) darf'*, *ε⟨ἶ⟩ς οἴ⟨μ⟩ας δ’ ἐ⟨νέρων⟩ . . . . | . . . . ε⟨ἶ⟩[ε]ναι πεφ.* Oliv. 2 Rohdii coniectura nova lamellae revisione (cf. imaginem) confirmatur ita ut ceterorum tentamina (*λειμῶνάς τ[ε] ἱεροὺς κατά ⟨τ’⟩ ἄλσεα* Diels) praeteream. *ΦΕΡΣΕΦΟΝΕΦΑΣ* lam.

g) Romae, ni fallimur, reperta, hodie Londini in museo Britannico; saec. II p. Chr. n. Comparetti 43; Diels *Philotesia für P. Kleinert* 1907, 39 et II^{3} 178 n. 19a; Olivieri 18 B^{2}.

ἔρχεται ἐκ καθαρῶν καθαρά, χθονίων βασίλεια,
Εὔκλεες Εὐβουλεῦ τε, Διὸς τέκος ἀγλά’,[1] ἔχω δὲ
Μνημοσύνης τόδε δῶρον[2] ἀοίδιμον ἀνθρώποισιν.
'Καικιλία Σκουνδεῖνα,[3] νόμωι ἴθι δῖα γεγῶσα.'[4]

1 *τέκος ἀγλά’* = *τέκος ἀγλαόν* Diels, Olivieri; *ὅπλα δ’ ἔχ’ ὧδε* = *'hic recipe Memoriae arma'* Murray. 2 *Μνημοσύνης τόδε δῶρον* lamellam

ipsam Orphicam esse docuit Diels; ad *ἀοίδιμον* confert idem Il. *Z* 358. Cf. oraculum Phaestium (b IV) vs. 2 *οἳ γονεὰν ὑπέχονται.* 3 propter metrum, *Σ⟨ε⟩κ.* edd. 4 *νόμωι ἴθι δῖα* (cf. diva; *θῖα* Murray) *γεγῶσα* Diels, *νόμωι αἰεὶ διαγεγῶσα* falso Comparetti.

33. (253) Clem. Alex. Strom. V 8, 49, 3 (II 360, 10 Staeh.) *τί δ'; οὐχὶ καὶ Ἐπιγένης ἐν τῶι περὶ τῆς Ὀρφέως ποιήσεως* (test. nr. 229) *τὰ ἰδιάζοντα παρ' Ὀρφεῖ ἐκτιθέμενός φησι 'κερκίσι καμπυλόχοισι'*[1] *τοῖς ἀρότροις μηνύεσθαι, 'στήμοσι' δὲ τοῖς αὔλαξι· 'μίτον' δὲ τὸ σπέρμα ἀλληγορεῖσθαι, καὶ 'δάκρυα Διός' τὸν ὄμβρον δηλοῦν, 'Μοίρας' τε αὖ τὰ μέρη τῆς σελήνης, τριακάδα καὶ πεντεκαιδεκάτην καὶ νουμηνίαν· διὸ καὶ 'λευκοστόλους' αὐτὰς καλεῖν τὸν Ὀρφέα φωτὸς οὔσας μέρη. πάλιν 'ἄνθιον' μὲν τὸ ἔαρ διὰ τὴν φύσιν, 'ἀργίδα' δὲ τὴν νύκτα διὰ τὴν ἀνάπαυσιν, καὶ 'Γοργόνιον' τὴν σελήνην διὰ τὸ ἐν αὐτῆι πρόσωπον, 'Ἀφροδίτην' τε τὸν καιρὸν καθ' ὃν δεῖ σπείρειν, λέγεσθαι παρὰ τῶι θεολόγωι.*

τοιαῦτα καὶ οἱ Πυθαγόρειοι[2] *ἠινίσσοντο, Φερσεφόνης μὲν κύνας τοὺς πλανήτας, Κρόνου δὲ δάκρυον τὴν θάλασσαν ἀλληγοροῦντες. καὶ μυρία ἐπὶ μυρίοις εὕροιμεν ἂν ὑπό τε φιλοσόφων ὑπό τε ποιητῶν αἰνιγματωδῶς εἰρημένα, ὅπου γε καὶ ὅλα βιβλία ἐπικεκρυμμένην τὴν τοῦ συγγραφέως βούλησιν ἐπιδείκνυται,*[3] *ὡς καὶ τὸ Ἡρακλείτου Περὶ φύσεως, ος καὶ δι' αὐτὸ τοῦτο Σκοτεινὸς προσηγόρευται. ὁμοία τούτωι τῶι βιβλίωι καὶ ἡ Φερεκύδους θεολογία τοῦ Συρίου.*

1 *καμπυλόχοισι* Lob. II 838 ex Hesychio, *καμπυλόχροισι* L. 2 *πυθαγόριοι* L. 3 *ἐπιδείκνυνται* idem.

Lob. II 836; Diels II³ 178 n. 22; Dieterich *Abraxas* 29. 102; Tannery *Rev. philol.* XXI 1896, 192; Heeg diss. 38.

De textura cum agro comparata v. Eitrem *Nordisk tidsskrift f. filologi, 4de raek.* VIII 32; ad *μίτον* v. vas celeberrimum in Cabirio Thebano repertum (Kern *Herm.* XXV 1889, 7; *RE*² X 1440; M. Mayer *Herm.* XXVII 1892, 512), in quo *Μίτος* et *Κράτεια* (*Arch. Religionsw.* XIX 1919, 552 n. 1). Quae de *Μίτωι* = *Μήτι* exposuit Kaibel *Goett. Gel. Nachr.* 1901, 519, refutavit Kern *RE*² X 1441. Cf. Hippolyt. *Περὶ τοῦ σωτῆρος ἡμῶν Ἰησ. χριστ. καὶ περὶ τοῦ ἀντιχρίστ.* 4 p. 4, 1 Lagarde *ἔστι μὲν οὖν ὁ ἱστὸς τοῦ κυρίου τὸ πάθος τὸ ἐπὶ τῶι σταυρῶι γεγενημένον, στήμων δὲ ἐν αὐτῶι ἡ τοῦ ἁγίου πνεύματος δύναμις, κρόκη δὲ ἡ ἁγία σὰρξ ἐνυφαινομένη πνεύματι, μίτος δὲ ἡ δι' ἀγάπης χριστοῦ χάρις σφίγγουσα καὶ ἑνοῦσα τὰ ἀμφότερα εἰς*

ἕν, κερκίδες δὲ ὁ λόγος κτλ. Ad *δάκρυα* v. ⟨*Κρόνου*⟩ *δάκρυον* Porphyr. Vit. Pyth. 41 (Diels I³ 357 n. 2), versus Hermeticos ap. Stob. Ecl. I 5 p. 77, 16 Wachsm. (*δάκρυ μέν ἐστι Κρόνος*) et infra s. *ΙΕΡΟΙ ΛΟΓΟΙ*; Lob. II 926. Ad *Γοργόνιον* cf. Plut. De fac. in orbe lun. 29 p. 944 b (Lob. II 840; Heeg l. l.).

34. (196) Clem. Alex. Protrept. II 17, 2—18, 1 (I 14, 7 Staeh.) ~ Euseb. Praep. ev. II 3, 23 (I 80, 26 Dind.) *τὰ γὰρ Διονύσου μυστήρια τέλεον*[1] *ἀπάνθρωπα· ὃν εἰσέτι παῖδα ὄντα ἐνόπλῳ κινήσει περιχορευόντων Κουρήτων, δόλῳ δὲ ὑποδύντων Τιτάνων, ἀπατήσαντες παιδαριώδεσιν ἀθύρμασιν, οὗτοι δὴ οἱ Τιτᾶνες διέσπασαν, ἔτι νηπίαχον ὄντα,*[2] *ὡς ὁ τῆς τελετῆς ποιητὴς Ὀ. φησιν ὁ Θράικιος·*

κῶνος καὶ ῥόμβος καὶ παίγνια καμπεσίγυια,
μῆλά τε χρύσεα καλὰ παρ' Ἑσπερίδων λιγυφώνων.

καὶ τῆσδε ὑμῖν[3] *τῆς τελετῆς τὰ ἀχρεῖα σύμβολα οὐκ ἀχρεῖον εἰς κατάγνωσιν παραθέσθαι· ἀστράγαλος, σφαῖρα, στρόβιλος, μῆλα, ῥόμβος, ἔσοπτρον,*[4] *πόκος.*

1 *τελέως* Lob. 2 *νηπιάζοντα* Eus. H. 3 *ἡμῖν* Eus. IO. 4 *εἴσοπτρον* Dind.

Arnob. Adv. nation. V 19 p. 191, 3 Reiff. *sed et illa desistimus Bacchanalia altera praedicare, in quibus arcana et tacenda res proditur insinuaturque sacratis, ut occupatus puerilibus ludicris distractus ab Titanis*[1] *Liber sit, ut ab isdem membratim sectus atque in ollulas coniectus ut coqueretur, quemadmodum Iuppiter suavitate odoris inlectus, invocatus advolarit ad prandium compertaque re gravi grassatores obruerit fulmine atque in imas Tartari praecipitaverit sedes. cuius rei testimonium argumentumque fortunae suis prodidit in carminibus Thracius*[2] *talos speculum turbines, volubiles rotulas et teretis pilas et virginibus aurea sumpta ab Hesperidibus mala.*

1 *titatis* P, *Titanibus* Sabaeus. 2 *thracios* P; *vates Thracius* Gelenius; O. *Thracius* dubitanter Reiff.

Cf. Epiphan. Cathol. et Apostol. Eccles. fidei expos. 10 p. 506 Oehl. *παρ' Ἕλλησι δὲ πόσα μυστήρια καὶ τελεταί; ὡς αἱ μεγαρίζουσαι* (*μητριάζουσαι* Checoz., *δημητρίζουσαι* Lob. II 832) *γυναῖκες καὶ θεσμοφορίζουσαι ἀλλῆλαι πρὸς ἀλλήλας διαφέρονται, ὅσα τὰ ἄλλα, τά τε ἐν Ἐλευσῖνι μυστήρια, Δηοῦς καὶ Φερεφάττης καὶ τῶν ἐκεῖσε ἀδύτων τὰ αἰσχρουργήματα, γυναικῶν ἀπογυμνώσεις, ἵνα σεμνότερον εἴπω, τύμπανά τε καὶ πόπανα, ῥόμβος τε καὶ κάλαθος, ἐρέα ἐξειργασμένη καὶ κύμβαλον καὶ κυκεὼν ⟨ἐν*

suppl. Jahn⟩ ἐκπώματι κατεσκευασμένος κτλ. V. R. van der Loeff *Mnemos.* XLV 1917, 361, Kern *Arch. Religionsw.* XIX 1916—1919, 433.

Herm. XVII; Lob. I 555. 699; Giseke 77; Schuster 48; Susemihl Ind. XI; Kern *Herm.* XXV 1890, 5, *RE*² X 1440, *Orph.* 51.

Hesiod. Theog. 215 Ἑσπερίδας θ', ᾗς μῆλα πέρην κλυτοῦ Ὠκεανοῖο χρύσεα καλὰ μέλουσι κτλ. et vs. 518 πρόπαρ Ἑσπερίδων λιγυφώνων. Versibus Orphicis utitur libellus ritualis fr. 31 vs. 29. κάλαθος ibidem vs. 28.

35. (200) Clem. Alex. Protr. II 18, 1. 2 (I 14, 16 Staeh.) ~ Euseb. Praep. ev. II 3, 25 (I 81, 6 Dind.). Ἀθηνᾶ μὲν οὖν τὴν καρδίαν τοῦ Διονύσου ὑφελομένη Παλλὰς ἐκ τοῦ πάλλειν τὴν καρδίαν προσηγορεύθη· οἱ δὲ Τιτᾶνες, οἱ καὶ διασπάσαντες αὐτόν, λέβητά τινα τρίποδι ἐπιθέντες καὶ τοῦ Διονύσου ἐμβαλόντες[1] τὰ μέλη, καθήψουν[2] πρότερον· ἔπειτα ὀβελίσκοις περιπείραντες[3] ὑπείρεχον Ἡφαίστοιο (sumpsit Orphicus ex Il. B 426). Ζεὺς δὲ ὕστερον ἐπιφανεὶς — εἰ θεὸς ἦν, τάχα που τῆς κνίσης τῶν ὀπτωμένων κρεῶν μεταλαβών, ἧς δὴ τὸ 'γέρας λαχεῖν'[4] [cf. Il. Δ 49] ὁμολογοῦσιν ὑμῶν οἱ θεοί — κεραυνῶι τοὺς Τιτᾶνας αἰκίζεται καὶ τὰ μέλη τοῦ Διονύσου Ἀπόλλωνι τῶι παιδὶ παρακατατίθεται καταθάψαι. ὃ δέ, οὐ γὰρ ἠπείθησε Διί, εἰς τὸν Παρνασσὸν φέρων κατατίθεται διεσπασμένον τὸν νεκρόν.

1 ἐμβαλόντες Eus. H, ἐκβαλόντες Eus. O, βαλόντες Eus. BI, ἐμβάλλοντες P. 2 καθήψων Eus. BI. 3 ἀμπείραντες (ut Il. B 426) Eus. H. 4 λαχεῖν post θεοί Eus. BIO.

Hanc fabulam Orphicam et Callimacho (frr. 171. 374 Schneid.) et Euphorioni (fr. 12 Scheidw.) notam fuisse testantur Schol. Lycophr. 207 (98, 8 Scheer); v. Lob. I 558; Maaß *Orph.* 118. Enarrata erat etiam in Ἱεροῖς λόγοις, ubi cetera invenies.

36. Philodem. De pietat. 44 p. 16, 1 Gomp. de triplici Bacchi ortu ⟨πρώτην τού⟩των τὴν ἐκ μ⟨ητρός⟩, ἑτέραν δὲ τ⟨ὴν ἐκ⟩ τοῦ μηροῦ, ⟨τρί⟩την δὲ τὴ⟨ν ὅτε δι⟩ασπασθεὶς ὑπὸ τῶν Τιτάνων Ῥέ⟨ας τὰ⟩ μέλη συνθε⟨ίσης⟩ ἀνεβίω[ι]. καὶ ⟨ἐν⟩ Μοψοπίαι δ' Εὐ⟨φορί⟩ω⟨ν (fr. 33 Scheidw.) ὁ⟩μολογεῖ ⟨τού⟩τοις, ⟨ὁ⟩ δ' Ὀρ⟨φεὺς ἐν Ἅιδου⟩ καὶ πάντα ⟨χρόνον⟩ ἐνδιατρε⟨ίβειν⟩.

Prioris enuntiati suppl. fere omnia Gomperzius; posterior pars Wilamowitzio *Herm.* XXXIII 1898, 521 debetur excepto ἐνδιατρε⟨ίβειν⟩ quod iam G. invenit. R. Philippson (v. *Herm.* LV 1920, 266) nunc per litteras mihi commendat κἂν ⟨τῆι⟩ Μοψοπίαι δ' Εὐ⟨φορί⟩ω⟨ν ὁ⟩μολογεῖ ⟨τού⟩τοις, ⟨ὁ⟩ δ' Ὀρ⟨φεὺς νέρθε⟩ καὶ πάντα ⟨χρόνον⟩ ἐνδιατρε⟨ίβειν φησίν⟩ vel ⟨ὁ⟩ δ' Ὀρ⟨φεὺς⟩ καὶ πάντα ⟨χρόνον⟩ ἐν ⟨Ἅιδου⟩ διατρε⟨ίβειν sc. φησίν⟩.

37. (67) Schol. Apollon. Rhod. III 26 p. 451, 3 ex Apollodoro *Περὶ θεῶν* (Wendel *Abhdl. Ges. d. Wiss. Goett.* XVII 2, 1920, 63) *Ἴβυκος* (fr. 31 Bergk[4]) . . . *ὁ δὲ Ἡσίοδος*[1] (Theog. 120) *ἐκ Χάους λέγει τὸν Ἔρωτα. ἐν δὲ τοῖς εἰς Ὀρφέα Χρόνου·*[2]

αὐτὰρ Ἔρωτα Χρόνος καὶ πνεύματα πάντ' ἐτέκνωσε.

1 *Ἴβυκος δὲ καὶ Ἡ.* Bergk. 2 *Χρόνου* et *Χρόνος* Zoëga, *κρόνου* et *κρόνος* L.

Herm. XXII; Lob. I 482; Zoëga *Abhdlgn.* 229; Kroll *Philol.* LIII 1894, 561.

Orph. Argon. 13 *καὶ Χρόνον ὥς ἐλόχευσεν ἀπειρεσίοις ὑπὸ κόλποις Αἰθέρα καὶ διφυῆ περιωπέα κυδρὸν Ἔρωτα, Νυκτὸς ἀειγνήτης πατέρα κλυτόν* v. test. nr. 224 et infra c. 3 et 4 de Chrono. Ad *πνεύματα* cf. imprimis Eudem. ap. Damasc. De princ. I 321 Rue. de Pherecydis Pentemycho (Kern fr. I; Diels II³ 201 n. 8) *τὸν δὲ Χρόνον ποιῆσαι ἐκ τοῦ γόνου αὐτοῦ* (sc. *Ζάντος* Kern De Theogon. 85. 98; *ἑαυτοῦ* cod.) *πῦρ καὶ πνεῦμα καὶ ὕδωρ,* lamminam plumbeam Cumanam IG XIV 872, 4 *δαίμονες καὶ πνεύματα οἱ ἐν τῶι ⟨τό⟩πωι τούτωι θηλυκῶν καὶ ἀρρενικ⟨ῶν⟩, ἐξορκίζω ὑμᾶς τὸ ἅγιον ὄνομ⟨α⟩,* Pap. mag. Paris. *Suppl.* 574 IV saec. p. Chr. (Dieterich *Mithrasliturgie* 96. 116 ss., Leisegang *Der Heilige Geist* I 254).

38. (259) Schol. Apollon. Rhod. III 1 p. 450, 7 *ὅτι δὲ θαλιῶν εἰσι προστάτιδες αἱ Μοῦσαι, ἐν τοῖς Ὀρφικοῖς δεδήλωται·*

οὐδέ τι λήθονται[1] *Μουσέων βροτοί· αἵ γὰρ ἔασι*
κοίρανοι, αἶσι[2] *μέμηλε χορὸς θαλίαι τ' ἐρατειναί.*

1 *λήθονται* Ruhnk., *λήγονται* L. 2 *ᾗσι* Ab., *οἷσι* Lob.

Herm. XXI; Lob. I 593.

39. (258) Schol. Apollon. III 1 p. 450, 2 *τινὲς μὲν οὖν, ὅτι εὑρέτις ὀρχήσεως ἐν τοῖς Ὀρφικοῖς παραδέδοται ἡ Ἐρατώ.*

Lob. I 593.

40. (256) Schol. Euripid. Alcest. 1 (II 216 Schw.) *Ἀπολλόδωρος* (deest FHG I) *δέ φησι κεραυνωθῆναι τὸν Ἀσκληπιὸν ἐπὶ τῶι τὸν Ἱππόλυτον ἀναστῆσαι, Ἀμελησαγόρας* (FHG II 22 fr. 2) *δὲ ὅτι Γλαῦκον, Πανύασσις* (fr. 19 Ki.) ⟨*δὲ*⟩[1] *ὅτι Τυνδάρεων, οἱ δὲ Ὀρφικοὶ ὅτι Ὑμέναιον, Στησίχορος* (fr. 16 Bgk.) *δὲ ἐπὶ Καπανεῖ καὶ Λυκούργωι, Φερεκύδης δὲ ἐν τῆι η' τῶν Ἱστοριῶν* (FHG I 71 fr. 8) ⟨*διὰ τὸ*⟩[2] *τοὺς ἐν Δελφοῖς* [*φησι*][3] *θνήισκοντας αὐτὸν ἀναβιώσκειν, Φύλαρχος* (FHG I 337 fr. 17) *δὲ διὰ τοὺς Φινείδας, Τελέσαρχος* (FHG IV 508 fr. 1) *δὲ δι'*

Ὠρίωνα, Πολύαρχος[4] δὲ ὁ Κυρηναῖος (deest FHG IV 479) διὰ τὸ τὰς Προίτου θυγατέρας αὐτὸν ἰάσασθαι [κεραυνωθῆναί φησιν].

1 δὲ add. Schw. 2 διὰ τὸ add. idem. 3 φησι del. idem. 4 Πολύανθος Sext. Emp.

Eundem catalogum Apollodoreum (v. Muenzel Quaestion. mythogr. 1883, 3) praebent Philodem. De piet. 52, 131 Gomp.; Sext. Empir. Adv. math. I 260 p. 658 Bk.; Apollod. Bibl. III 121; Schol. Pindar. Pyth. III 96 (II 75, 17 Drachm.). De Amelesagora cf. Wilamowitzii *Ilias und Homer* 371 n. 2.

Lob. II 594; Robert *Heldens.* I 523 n. 4.

41. (260) Schol. Apollon. Rhod. III 467 p. 463, 9 πότνα θεὰ Περσηί] τινὲς αὐτήν φασι Διὸς εἶναι παῖδα. ἐν δὲ τοῖς Ὀρφικοῖς Δήμητρος γενεαλογεῖται·

καὶ τότε δὴ Ἑκάτην Δηὼ τέκεν εὐπατέρειαν.

Βακχυλίδης δὲ Νυκτός φησιν αὐτὴν θυγατέρα· 'Ἑκάτα δαιδοφόρε, Νυκτὸς μεγαλοκόλπου θύγατερ' (fr. 40 Bergk[4]; 31 Blass — Suess). Μουσαῖος (cf. fr. 6 Kern, fr. 16 Diels) δὲ Ἀστερίας καὶ Διός, Φερεκύδης (fr. 10 FHG I 72) δὲ Ἀρισταίου τοῦ Παίονος v. fr. 42.

Herm. 503 n. 6; Lob. I 544; Reitzenstein Ined. poet. Graec. fragm. III (Ind. Rostoch. 1892/93) 23; Malten *Arch. Religionsw.* XII 1909, 439 n. et *Herm.* XLV 1910, 549.

42. (219) Schol. Theocrit. II 12 p. 272, 18 Wend. Καλλίμαχος (fr. 556 Schneid.) κατὰ λέξιν οὐδέ φησιν·[1] 'τῆι Δήμητρι μειχθεὶς ὁ Ζεὺς τεκνοῖ Ἑκάτην διαφέρουσαν ἰσχύϊ καὶ μεγέθει τῶν θεῶν'.[2] ἣν ὑπὸ γῆν πεμφθῆναι ὑπὸ τοῦ πατρὸς πρὸς Περσεφόνης ζήτησιν[3] ⟨φησίν vel φασίν· διὸ⟩[4] καὶ νῦν Ἄρτεμις καλεῖται καὶ Φύλαξ[5] καὶ Δαιδοῦχος καὶ Φωσφόρος καὶ Χθονία.[6]

1 Verba Καλλίμαχος — φησιν solum in cod. K extant, qui habet καταλέξω δέ φησι. Emendavit post Schneid. Reitzenstein Ined. poet. Graec. fragm. III (Ind. lect. Rostoch. 1892/1893) 23. 2 τῶν θεῶν om. K. 3 ἀναζήτησιν UEAG. 4 φησιν· διὸ add. Reitzenstein; φασιν Schneid. 5 Φύλαξ K, φυλακὴ cett. Cf. Hesych. s. φυλάδα. 6 ἡ Χθονία pro καὶ Χθ. K.

Lob. I 545; Malten *Arch. Religionsw.* XII 1909, 439 n. et *Herm.* XLV 1910, 549, 3, qui Callimachi verba, quae usque ad Χθονία pertinere arbitratur, ex Apollodoro fluxisse *Herm.* l. l. 550 n. 1 non sine iure contendens fr. 42 cum 41 coniungit.

Callimachum Orphicorum auctoritate usum esse verisimile est, v. frr. 35 et 41 (Malten *Herm.* l. l. 550 n. 3).

43. (212) Schol. Hesiod. Theogon. 914 (Gaisford II 537) *ἡρπάσθαι δὲ τὴν Περσεφόνην φασὶν οἱ μὲν ἐκ Σικελίας, Βακχυλίδης* (fr. 64 Bergk[4]; fr. 47 Blass—Suess) *δὲ ἐκ Κρήτης, Ὀ. δὲ ἐκ τῶν περὶ τὸν Ὠκεανὸν τόπων, Φανόδημος* (FHG I 369 fr. 20) *δὲ ἀπὸ τῆς Ἀττικῆς, Δημάδης* (v. l. *Δημέας, Δημαίας* cf. Hiller de Gaertringen ad IG XII 5, 445 p. 115; FHG IV 377) *δὲ ἐν Νάπαις. τοῦτο δὲ λέγει, ἐπεὶ οὐχ ἑκοῦσα ἡ γῆ δέχεται τὰ σπέρματα.*

Lob. I 546; Malten *Arch. Religionsw.* XII 1909, 435 n. 2.

44. (214) Etym. Gud. ed. Sturz 395, 1. *Μίνθη, ἥν τινες ἡδύοσμον καλοῦσι· ἔστι*[1] *δὲ καλάμινθος, ἄγριον ἡδύοσμον, ὅπερ λυπουμένη ἡ Δημήτηρ ἰδοῦσα [ἰδοῦσα]*[2] *ἐμίσησε καὶ ἄκαρπον ἐποίησεν. Ὀρφεύς·*

τὸ πρὶν ἐὸν μέγα δένδρον ἐπὶ χθονὶ καὶ φερέκαρπον.[3]

1 *ἔτι* Sturzius; corr. Lob. 2 secl. Lob. 3 *φέρε καρπόν* Sturzius; corr. Lob.

Lob. II 833; Kaibel *Herm.* XXX 1895, 439; Malten *Arch. Religionsw.* XII 1909, 417 n. 3.

45. (257) Schol. Apollon. II 946 p. 436, 16 *ἐν δὲ τοῖς Ὀρφικοῖς (Σινώπη) Ἄρεως καὶ Αἰγίνης γενεαλογεῖται· κατὰ δέ τινας Ἄρεως καὶ Παρνάσσης· κατ' Εὔμηλον* (Kinkel EGF 191 fr. 8; Wilamowitz *Berlin. Klassikertexte* V 2, 51) *καὶ Ἀριστοτέλην* (Rose[3] fr. 581) *Ἀσωποῦ.*

Lob. I 594; Robert *Heldens.* I 77 n. 6.

46. (261) Schol. Eurip. Hecub. 3 (I 11, 19 Schw.) *τὰ περὶ τῆς Ἑκάβης διαφόρως ἱστόρηται. Φιλόχορος μὲν γὰρ ἐν τῶι περὶ τραγωιδιῶν συγγράμματι* (FHG IV 648) *Χοιρίλην αὐτήν φησι καλεῖσθαι, ἴσως δὲ διὰ τὸ πολύπαιδα γεγενῆσθαι· ἡ γὰρ χοῖρος πολλὰ τίκτει, καὶ ἐν τοῖς Ὀρφικοῖς οἱ χοῖροι*[1] *ἑκάβαι προσαγορεύονται. οἱ δὲ λοιποὶ τῶι κυρίωι αὐτὴν ὀνόματι προσηγόρευσαν.*

1 *αἱ χοῖροι* Platt *Journ. phil.* Lond. XXVI 1899, 232.

Sittig *RE*[2] VII 2659.

2. CARMINA DE RAPTU ET REDITU PROSERPINAE

Marm. Par. test. nr. 221 *Ὀ. — τὴ⟨ν ἑ⟩αυτοῦ πόησιν ἐξ⟨έ⟩θηκε Κόρης τε ἁρπαγὴν καὶ Δήμητρος ζήτησιν καὶ τὸν αὐτοῦ ⟨εὑρεθέντα ὑπ' αὐτῆς σπόρον καὶ τὸ πλῆ⟩θος τῶν ὑποδεξαμένων τὸν καρπόν*, Argon. 26 test. nr. 224, *Δήμητρός τε πλάνην καὶ Φερσεφόνης μέγα πένθος, θεσμοφόρος θ' ὡς ἦν.* Pausan. IX 27, 2 *Ὠλῆνος δὲ ὕστερον Πάμφως τε ἔπη καὶ Ὀ. ἐποίησαν· καί σφισιν ἀμφοτέροις πεποιημένα ἐστὶν ἐς Ἔρωτα, ἵνα ἐπὶ τοῖς δρωμένοις Λυκομίδαι καὶ ταῦτα ἄιδωσιν· ἐγὼ δὲ ἐπελεξάμην ἀνδρὶ ἐς λόγους ἐλθὼν* (add. Sylburg) *δαιδουχοῦντι.*

Hymnorum hi loci ad raptum pertinent XVIII 12

Εὔβουλ', ἁγνοπόλου Δημήτερος, ὅς ποτε παῖδα
νυμφεύσας λειμῶνος ἀποσπαδίην διὰ πόντου
τετρώροις ἵπποισιν ὑπ' Ἀτθίδος ἤγαγες ἄντρον
δήμου Ἐλευσῖνος, τόθι περ πύλαι εἴσ' Ἀίδαο.

XXIX (in Proserpinam) 9

Ὡρῶν συμπαίκτειρα 12 *λειμωνιάσιν χαίρουσα πνοῇσιν,*
14 *ἁρπαγιμαῖα λέχη μετοπωρινὰ νυμφευθεῖσα.*

XLI (in matrem Antaeam cf. Lob. II 829) 3

ἥ ποτε μαστεύουσα πολυπλάγκτωι ἐν ἀνίηι
νηστείαν κατέπαυσας Ἐλευσῖνος γυάλοισιν[1]
ἦλθές τ' εἰς Ἀίδην πρὸς ἀγαυὴν Περσεφόνειαν[2]
ἁγνὸν παῖδα Δυσαύλου ὁδηγητῆρα λαχοῦσα,[3]
μηνυτῆρ' ἁγίων λέκτρων χθονίου Διὸς ἁγνοῦ,
Εὔβουλον τέξασα θεὸν[4] *θνητῆς ὑπ' ἀνάγκης.*

1 *Ἐλευσῖνος ἐν γ.* codd. 2 *Φερσεφόνειαν* Ab. 3 *δύσαγνος παῖδ' ἁγνὸν ὁδηγητῆρα λαβοῦσα* codd., corr. Herm. 4 cf. Dieterichium *De hymn. Orph.* 28 = *Kl. Schr.* 89.

XLIII (in Horas) 7

⟨ἁγνῆς ?⟩[1] *Περσεφόνης συμπαίκτορες, ἡνίκα Μοῖραι*[2]
καὶ Χάριτες κυκλίοισι χοροῖς ποτὶ φῶς ἀνάγουσι[3]
Ζηνὶ χαριζόμεναι καὶ μητέρι καρποδοτείρηι.

1 *ἁγνῆς* add. Ab. 2 *Περσεφόνης συμπαίκτορες, ἡνίκα Μοῖραι ταύτην* codd.; *ταύτην* secl. et *εὖτέ ἑ* pro *ἡνίκα* coni. Herm. 3 *ἀνάγωσι* codd.

Cf. etiam Argonaut. 1191

ὧν πέρι μῦθον ἅπαντ' ἔκλυες, Μουσαῖε δαΐφρον,
ὥς ποτε Φερσεφόνην τέρεν' ἄνθεα χερσὶ δρέπουσαν
ἐξάπαφον συνόμαιμοι ἀν' εὐρύ τε καὶ μέγα ἄλσος·

αὐτὰρ ἔπειθ' ὥς μιν Πλουτεὺς κυανότριχας ἵππους
ζευξάμενος κούρην ἐπεβήσατο δαίμονος αἴσηι·
ἁρπάξας δ' ἔφερεν διὰ κύματος ἀτρυγέτοιο.


Spectare videtur ad has res etiam Suidas s. *βάραθρον* ~ Schol. Aristoph. Plut. 431 (Abel fr. 213; Malten *Arch. Religionsw.* XII 1909, 421 n. 1) *βάραθρον χάσμα τι φρεατῶδες καὶ σκοτεινὸν ἐν τῆι Ἀττικῆι, ἐν ὧι τοὺς κακούργους ἔβαλλον. ἐν δὲ τῶι χάσματι τούτωι ὑπῆρχον ὄγκινοι, οἳ μὲν ἄνω οἳ δὲ κάτω. ἐνταῦθα τὸν Φρύγα τὸν τῆς Μητρὸς τῶν θεῶν ἐνέβαλον ὡς μεμηνότα, ἐπειδὴ προέλεγεν ὅτι ἔρχεται ἡ μήτηρ εἰς ἐπιζήτησιν τῆς κόρης. ἡ δὲ θεὸς ὀργισθεῖσα ἀκαρπίαν ἔπεμψε τῆι χώραι· καὶ γνόντες τὴν αἰτίαν διὰ χρησμοῦ τὸ μὲν χάσμα κατέχωσαν, τὴν δὲ θεὸν θυσίαις ἵλαον ἐποίησαν* cf. eundem s. *μητραγύρτης· ἐλθών τις εἰς τὴν Ἀττικὴν ἐμύει τὰς γυναῖκας τῆι Μητρὶ τῶν θεῶν, ὡς ἐκεῖνοί φασιν. οἱ δὲ Ἀθηναῖοι ἀπέκτειναν αὐτόν, ἐμβαλόντες εἰς βάραθρον ἐπὶ κεφαλήν. λοιμοῦ δὲ γενομένου ἔλαβον χρησμὸν ἱλάσασθαι τὸν πεφονευμένον, καὶ διὰ τοῦτο ᾠκοδόμησαν βουλευτήριον ἐν ὧι ⟨τόπωι?⟩ ἀνεῖλον τὸν μητραγύρτην, καὶ περιφράττοντες αὐτὸ καθιέρωσαν τῆι Μητρὶ τῶν θεῶν, ἀναστήσαντες καὶ ἀνδριάντα τοῦ μητραγύρτου. ἐχρῶντο δὲ τῶι Μητρώιωι ἀρχείωι καὶ νομοφυλακείωι, καταχώσαντες καὶ τὸ βάραθρον,* cf. Thalheim *RE*² II 2853.

Poesin Orphicam (v. quoque infra s. *ΙΕΡΟΙ ΛΟΓΟΙ*) sapiunt etiam Nonnus VI 155; XXVII 285; XLVII 50 et Claudianus De raptu Pros. I 229; II 18. 204. 223; III 48. 209.

Haecce de raptu carmina Orphica discernenda videntur esse: 1 carmen veterrimum, quod sequi videtur Helenae Euripideae canticum 1301 a Wilamowitzio *Sitzungsber. Akad. Berlin* 1902, 871 (v. 872 n. 1) = *Griech. Verskunst* 215 restitutum et a Maltenio *Arch. Religionsw.* XII 1909, 419 egregie tractatum cuiusque fragmenta extare non videntur (sed cf. frr. 41—43); 2 (I) carmen Siculum, cuius vestigia etiamnunc apparent in lamella aurea Thuriis inventa (fr. 47); 3 (II) Hymni Homerici recensio Orphica in papyro Berolinensi (*Κάθοδος* [*τῆς Κόρης?*] fr. 49 vs. 120) servata; 4 (III) carmen serioris aetatis a Pausania et Clemente Alexandrino adhibitum (fr. 51—53).

Lob. I 546. II 818. 827; Schuster 76; R. Foerster *Raub und Rückkehr der Persephone* 1874, 39; Kern *Athen. Mitth.* XVI 1891, 15; Maaß *Orph.* 183 n. 20; Malten *Arch. Religionsw.* XII 1909, 285. 417 (cf. etiam *Herm.* XLV 1910, 506).

I. Carmen Siculum
servatum in lamella aurea



47. Lamella aurea Thuriis in agro Sybaritico a. 1879 inventa, nunc in museo Neapolitano s. III—IV a. Chr. n. (cf. fr. 32 c—f) Edd. Murray ap. Harrison *Prolegomena to the Study of Greek Religion*[1] 1903, 665 IV; Comparetti 10; Diels *Festschr. Th. Gomperz* 1902, 1; Vorsokrat. II[3] 177 n. 21; Olivieri 22 d cum imagine 28.

Titulum difficillimum ex Dielesii (Vorsokr.) restitutione aliorum tentaminibus, quae Olivieri congessit, examinatis denuo edere e re esse mihi visum est. Quae Comparetti de hoc exemplo *τῶν λεγομένων ἀπορρήτων* sectae Orphicae conicere sibi visus est, silentio praeterire malo (v. etiam O. Gruppe *Berl. philol. Wochenschrift* 1912, 103); sed et ea, quae nuper Ol. suo Marte protulit, hic fusius exponere non licet, cum ipse restitutionem suam commendare vix videatur. Attamen bibliopolarum Bonnensium permissu liberali reddidi exemplar quod Ol. confecit; sequitur p. 118 Dielesii ingeniosa restitutio, quam omnibus numeris absolutam esse vir summus ipse cautissime negavit.

πρατογόνωι[1] *Γῆι ματρὶ ἔφη Κυβελήϊα*[2] *Κόρρα·*
. . . . *Δήμητρος* . . . *πανόπτα Ζεῦ* . . . .
Ἥλιε Πῦρ διὰ πάντ' ἄστη[3] *νίσεαι, ὅτε Νίκαις*
ἠδὲ Τύχαις ἐφάνης[4] *⟨καὶ ὁμοῦ⟩*[5] *παμμήστορι Μοίραι,*
τῆι τοι γάννυα[6] *πιαίνεις τῆι σῆι, κλυτὲ δαῖμον,*[7]
δεσποτείαι· τὶν πάντα[8] *δαμαστά, ⟨τὰ⟩ πάντα κρατυντά,*
ἐμβρόντητα δὲ πάντα· ⟨τὰ⟩ Μοίρης τλητέα πάντη.[9]
μητέρι Πῦρ μὲν μ' ἄγ[ε], εἰ νῆστις οἶδ'[10] *⟨ὑπομεῖναι⟩,*
ἑπτά τε νῆστιν νυξὶν ἢ μεθ' ἡμέραν (?) ἐλινύεν.[11]
ἑπτῆμαρ τὶν νῆστις ἔην,[12] *Ζεῦ Ὀλύμπιε*[13] *καὶ πανόπτα*
Ἅλιε[14] . . . .

1 *πρατογόνωι* Diels] *πρωτόγονε* vel *πρωτόγονο⟨ς⟩* ceteri. 2 *Κυβελήϊα* Diels] *ΚΥΒΕΛΕΙΑ* lam. 3 *ἄστη* Diels coll. Parmenide 1, 3 (I^3 148). 4 *ἐφάνης* Diels] Orphicorum Phaneta ceteri intellexerunt cf. Diels *Festschr.* 13. 5 *⟨καὶ ὁμοῦ⟩* Diels. 6 *γάννυα* = *γάνεα* Buecheler. 7 *ΤΗΣΥΚΛΗΤΕΔΑΡΜΟΝ* leg. Diels, unde elicuit *τῆι σῆι, κλυτὲ δαῖμον.* 8 *ΤΙΣΠΑΝΗ* idem, unde *τὶν πάντα.* 9 *πάντη* e *ΤΕΑΠΗ* idem. 10 *οἶδ'* ex *ΟΙΔ'* idem. 11 *ΗΜΕΡΑΛΕΓΙΝΥΕΤ* idem, cuius commentarium quaeso inspicias. 12 *ΤΙΝΗΣΤΙΑΣΤΑΝ* idem, unde *τὶν νῆστις ἔην.* 13 *Ζεῦ ΕΝΟΡΥΠΙΕ* lam., unde Diels *Ὀλύμπιε*, Olivieri *ἐριούνιε.* 14 Post *Ἅλιε* sequuntur 19 litterae quae legi nequeunt; tum investigavit Diels *δυσσεβέ⟨ων⟩ ἄστακτα πυρὸς* . . . *πεδίον* . . . *Ῥαδαμ⟨α⟩νθυ* . . . *συμμήστορα Μοίρην.*

Orphicam de raptu Proserpinae traditionem in Sicilia notam fuisse e Timaeo (Diodor. V 2—5, cf. Cicero in Verr. IV 106; Geffcken *Timaios' Geographie des Westens* 62; Malten *Herm.* XLV 1910, 521) coniecit Malten *Arch. Religionsw.* XII 1909, 426 cf. etiam O. Rossbach *Castrogiovanni das alte Henna in Sicilien* 1912, 15. Ceres voce raptae audita ex Sicilia advolans in tractatu papyraceo Berolinensi fr. 49 vs. 47. Ad vs. 1, unde hunc poetam Cererem Cybelen Terram Matrem Orphicorum modo commiscuisse patet, cf. quae Dielesius *Festschr.* 5 congessit (Malten *Arch. Religionsw.* XII 1909, 419 n. 2. 421) et infra s. *ΙΕΡΟΙ ΛΟΓΟΙ.*

II. *Κάθοδος ⟨τῆς Κόρης?⟩* 1

48. (209) Ps.-Iustin. Cohortat. ad Gentil. 17 b p. 66 Otto *ὁ δὲ ποιητὴς Ὅμηρος, τῆι τῆς ποιήσεως ἀποχρώμενος ἐξουσίαι καὶ τὴν ἐν ἀρχῆι τῆς πολυθεότητος Ὀρφέως ζηλώσας δόξαν, μυθωδῶς μὲν πλειόνων θεῶν μέμνηται, ἵνα μὴ δόξηι τῆς Ὀρφέως ἀπᾴδειν ποιήσεως, ἣν οὕτως ζηλῶσαι προὔθετο, ὡς καὶ διὰ*

τοῦ πρώτου τῆς ποιήσεως ἔπους τὴν πρὸς αὐτὸν σημῆναι σχέσιν. τοῦ γὰρ Ὀρφέως·

Μῆνιν ἄειδε, θεά, Δημήτερος ἀγλαοκάρπου

ἐν ἀρχῆι τῆς ποιήσεως εἰρηκότος, αὐτὸς ‘Μῆνιν ἄειδε, θεά, Πηληϊάδεω Ἀχιλῆος’ γέγραφεν, ἑλόμενος, ὡς ἐμοὶ δοκεῖ, ἐν ἀρχῆι καὶ τοῦ κατὰ τὴν ποίησιν ἐκπεσεῖν μέτρου, ἵνα μὴ δόξηι τοῦ τῶν θεῶν ὀνόματος μὴ μεμνῆσθαι πρῶτον.[1] Versum Orphicum affert etiam Tzetz. Exeges. in Iliad. 26, 14 Herm.

1 *μὴ μεμνῆσθαι πρῶτον* CE, *μεμνῆσθαι πρῶτον* F, *μεμνῆσθαι πρῶτος* ABDG.

Herm. XVIII p. 478; Lob. II 827; Giseke 79; Buecheler *Berl. Klassikertexte* V 1, 17.

49. Tractatus pap. Berol. 44 saec. I a. Chr. (Schubart et Wilcken; saec. II Diels) editus a W. Schubartio et F. Buechelero adiutis a Dielesio *Berl. Klassikertexte* V 1 p. 7 n. 2. Partim ed. etiam Diels II³ 173 n. 15 a. Egerunt de papyro quoque Croenert *Lit. Centralbl.* 1907, 442; T. W. Allen *Classical Review* XXI 1907, 97; K. F. W. Schmidt *Wochenschr. kl. Phil.* XXV 1908, 281; Ludwich *Berl. philol. Wochenschr.* 1919, 999. 1028. Utor quoque imagine lucis ope confecta, quam mihi benigne suppeditavit W. Schubart. Multa admodum obscura sunt. Ad meum usum papyrum nuper inspexit Udalricus Wilcken. Adhibui etiam schedulas mihi a Croenertio liberaliter traditas.

I. *⟨Ὀρφεὺς υἱὸς ἦν Οἰάγ⟩ρου καὶ Καλλιόπης τῆς*
⟨Μούσης, ὁ δὲ Μουσ⟩ῶν βασιλεὺς Ἀπόλλων τού-
⟨τωι ἐπέπνευσεν, ὅθεν⟩ ἔνθεος γενόμενος
⟨ἐποίησεν τοὺς ὕμνους,⟩ οὓς ὀλίγα Μουσαῖος ἐπα-
⟨νορθώσας κατέγ⟩ραψεν· παρέδωκεν δὲ
⟨τὰ Ὀρφέως ὄργι⟩α σέβεσθαι Ἕλλησίν τε καὶ
⟨βαρβάροις, καὶ κ⟩α⟨θ’⟩ ἕκαστον σέβημα ἦν ἐ-
⟨πιμελέστατος περὶ⟩ τελετὰς καὶ μυστήρια καὶ
⟨καθαρμοὺς καὶ⟩ μαντεῖα. τ⟨ὴ⟩ν Δ⟨ή⟩μητρα θε⟨ὰν⟩
. . . . *υ . ας ἥ τ . σ . . . π . νουσας*
. . . . *τῆς Δήμη⟨τ⟩ρος ετ* . . . .
. . . . *διάγοι α . . . καὶ* . . .
. . . . *⟨τα⟩ύτης ἐχθρ⟨ὸ⟩ς* . . . .
. . . . *ως* . . .

sequuntur nonnulli versus qui legi nequeunt

II. ⟨ὁ Ὀ⟩ρφεὺς . . Διὸς ἀδελφὴν παραδέδωκεν,
οἱ δὲ μητέρα· ὧν οὐθὲν τῶν εὐ⟨σ⟩εβούν-
των εἰς ἐπίμνησιν ⟨πε⟩ποίηται· ἔ⟨χ⟩ει γὰρ ἐ⟨κ⟩
Διὸς καὶ Δήμητρ⟨ος⟩ θυγατρ⟨ὸς⟩ ἀρχὴν Φερ-
σεφόνη⟨ς . . . .⟩εκον . η . συνπαρουσῶν
τῶν ⟨Ὠκεα⟩νοῦ θυγατέρ⟨ω⟩ν, ὧν ὀνόματα
τα⟨ῦτα ἐκ τῶν⟩ Ὀρφέως ἐπῶν· Λευ⟨κ⟩ίππη
Φανερή ⟨τε⟩ καὶ Ἠλέκτρη[ι] καὶ Ἰάν⟨θ⟩η[ι] Μηλο-
βοσί⟨ς τε Τ⟩ύχη τε ⟨καὶ⟩ Ὠκυρόη καλυκῶπ⟨ις⟩
Χρ⟨υσηίς τ' Ἰάνε⟩ιρά τ' Ἀκάστη τ' Ἀδμή⟨τη τε⟩
καὶ Ῥ⟨οδόπη Πλουτώ τε καὶ ἱμερό⟩εσσα Κ⟨α-⟩
⟨λυψὼ καὶ Στὺξ Ο⟩ὐρανίη τε Γαλαξ⟨αύρη τ'⟩
ἐρ⟨ατεινή· . . . κα⟩λλιερ . . τ . ν δε . . .
. . . .
λε . . . .
θυγα⟨τ . . . .
γνης . . . .
. . . .

deficit papyrus

III. ναρκίσ⟨σο⟩ν, ⟨ἐφ' ὃν ἡ Κόρη θ⟩αμβήσασα ἐπέδρα-
μεν· καὶ ⟨δὴ ταύτης τα⟩ῖς χερσὶν βουλομένης
ἀνασπάσα⟨σθαι? αὐτόν, τότε⟩ λέγεται τὴν γῆ⟨ν⟩
χα⟨ν⟩εῖν καὶ ⟨ἐκ γῆς⟩ τὸν Ἀϊδωνέα ἀναβ⟨άν⟩τα
ἐφ' ἅρμ⟨ατος⟩ κ⟨αὶ ἐφ'⟩ ἵππων συναρπά⟨σ⟩αντα
τὴν Κό⟨ρην ἀπαγαγεῖ⟩ν· τὸν δὲ Δία βρονταῖς
καὶ ἀ⟨στρ⟩απαῖ⟨ς καὶ ὕ⟩ς ἐπαξονεῖν μελαίνα⟨ς,⟩
⟨α⟩ἳ δ⟨ίδονται ὡς ν⟩ομαὶ Ἀρτέμιδος τοξεί⟨αι,⟩
Ἀθηνᾶς . . . . χοίρας μιᾶς· ὧν
τ . . ου . . . . η βραβευτὴς δυσ-
. . . . πι . . . . ἐπὶ τῇ το⟨ῦ .⟩
. . . . ν . . . νος . . . . ⟨κ⟩αὶ
⟨τῶν σ⟩υν⟨παιζ⟩ουσῶν καταγελασθείη· ⟨ἐπεὶ-⟩
⟨δὴ⟩ δὲ ⟨ἤκου⟩σ⟨ε⟩ τῆς γεγωνυίας ἡ Δημήτηρ,
⟨ἐκ⟩ Σ⟨ικ⟩ελίας ἐξελθοῦσα ἐπλανᾶτο κατὰ
⟨γῆν· ἣ δ⟩ὲ πε⟨ρὶ⟩ τ⟨ὴν⟩ πόλιν ἀφανὴς γέγονεν
. . . . ουτι . . . ενκ . ελ . αχ . . . . . .
. . . . ειης . . . . σε . . . . ε
. . . .

IV. ειν τ⟨ὴν⟩ συμφοράζουσαν στενάχειν ὑπὲρ
τῆς θυγατρός· Καλλιόπης δὲ καὶ Κλ⟨ει⟩σι⟨δί⟩κης
καὶ Δαμ⟨ω⟩ν⟨άσ⟩σης μετὰ τῆς βασιλί⟨σσ⟩ης ἐ⟨φ'⟩ ὑ-
δρείαν ἐλθουσσῶν πυνθάνεσθαι τῆ⟨ς⟩ Δήμη-
τρος ὡς θνητῆς τινος, χρείας δ' ἕν⟨εκ⟩ά
τινος αὐτὴν παραγεγονένα⟨ι⟩ ὁ Μ⟨ουσα⟩ῖο⟨ς⟩
διὰ τῶν ἐπῶν αὐτοῦ λέγων ἐστίν . . . . αν· ἐν
μὲν ⟨τ⟩ο⟨ῖ⟩ς λ⟨ιτ⟩οῖς δεῖ τὴν αἰτίαν αἰτεῖ⟨ν⟩ μετ' εὐ-
εργεσίαν θ . . . . . . τομεν, ἐρα⟨σθέ⟩ντι δ' ἐν ταινίᾳ
κρόκον μυάκ⟨α⟩νθον ⟨καὶ⟩ ἀκ⟨αλλίδ⟩ας εὐτεκνείας
ναῦν, ἐπ[ε]ιπλεκ⟨τ⟩έον ἀεὶ ε . σε . . ἔνθα πρὸς αὐτο . ς
. . . . α . . η⟨. . . . 'καλυ⟩κώπ⟨ι⟩δι κ⟨ο⟩ύρῃ
⟨Γαῖα Διὸ⟩ς βουλ⟨ῆσι χαριζομέ⟩να ⟨Πολυδέ-⟩
κ⟨τῃ, θ⟩αυμαστὸν ⟨γ⟩αν⟨όωντα, σέβας τ⟩ότε πᾶ-
⟨σι⟩ν ἰδ⟨έσθαι ἀθ⟩αν⟨ά⟩τοις τε ⟨θεοῖς ἠδὲ θ⟩νη-
τοῖς
⟨ἀνθ⟩ρώποις, ⟨τοῦ⟩ καὶ ἀπὸ ῥί⟨ζης ἑκατὸν κάρα
ἐξε-⟩
⟨πεφύκει . . . .

deficit papyrus

V. Νύσ⟨ιον⟩ ἂμ πεδίον τ⟨ῇ ὄρουσεν ἄναξ πολυδέ-⟩
γμων ἵπποις ἀθανάτα⟨ισι Κρόνου πολυώνυ-⟩
μος υἱός. ὄφρα μὲν οὖ⟨ν γαῖάν τε καὶ οὐρανὸν⟩
ἀστερόεντα λεῦσσε θεὰ ⟨καὶ πόντον⟩ ἀγά⟨ρ-⟩
ροον ἰχθυό⟨ε⟩ντα αὐγά⟨ς⟩ τ' ἠελίου, ἔτι ἤλ⟨πε-⟩
⟨το μητ⟩έρα ⟨κε⟩δνὴν ⟨ὄ⟩ψεσθαι καὶ φῦλα θε⟨ῶν⟩
ἀειγ⟨ενετάων' . . .⟩ κ . . ἡ Δημήτηρ ὑπὸ
τ⟨ῆ⟩ς Ἑ⟨κάτης? ὡς πρῶτον ἠ⟩ρωτήθη, ἔφη . .
ση . . . . σιθη . νη . . . . .
πα . . . .
αι . . . .
⟨ἕ⟩τοιμ . . . .

sequuntur nonnulli versus qui legi nequeunt

VI. ε, ⟨δί⟩δωσι δ⟨ὲ α⟩ὐτῆι Β[ρ]αυβὼ[ι] παιδίον, ⟨ὃ τι⟩θηνή-
σεται,
⟨ἀγαπ⟩ᾷ ⟨δὲ καὶ πάν⟩υ αὐτήν· ἡ δὲ Δημήτη⟨ρ ἤδη⟩ εἰς
⟨οἶ⟩κον
κ⟨αταινέσασ⟩α κ⟨α⟩τάξ⟨ε⟩σθαι σὺν τῶι πα⟨ιδί⟩ωι . . . . . .

⟨οἷα δεῖ τιθ⟩ήνην, καὶ ἀμβροσίαι χρ⟨ίο⟩υσα ⟨τὸ⟩ παιδίον
⟨καθῆ⟩κεν ⟨δι⟩ὰ ν⟨υ⟩κτὸς εἰς τὴν πυράν, πρωὶ δὲ λ⟨αθο⟩ῦσα
⟨τοὺς γονεῖς⟩ ἀνελάμβανεν· τοῦ δὲ παιδίου οὐ βου-
⟨λομένου⟩ θηλάζειν οὐδὲ προσφορὰν ἄλλην λαμβάνον-
τος, ⟨ἀλλ' ὄν⟩τος εὐτρόφου καὶ καλοῦ, ἔκθαμβος γενη-θεῖσα
ἡ Β⟨αυβὼ⟩ ἐπὶ τῆι ⟨τοῦ⟩ παιδίου εὐτροφίᾳ, νυκτὸς
α⟨ἰσθομέν⟩η ⟨διὰ⟩ τῆς θύρα⟨ς⟩ τὴν μὴ νοήσασαν ἐγκρύ-
π⟨του⟩σαν τὸ παιδίον εἰς πυρὰν καὶ ὑπολαβοῦσα
⟨ἄρρη⟩τα γείν⟨ε⟩σθαι ἀνεβόα· 'τέκνον Δημοφόων,
⟨ξείνη σε πυρῇ ἔνι πο⟩λλῇ κρύπτ⟨ει, ἐμοὶ⟩ δὲ γό⟨ο⟩ν
⟨καὶ κήδεα λυγρὰ τ⟩ίθησιν'· ⟨τότε δ⟩ὲ ἡ Δημήτηρ βαρὺ
⟨ὀργισθεῖσα εἶπ⟩ε⟨ν·⟩ 'ἄφρονε⟨ς⟩ ἄνθ⟨ρω⟩ποι, δυστλή-μονες
⟨οὔτε κακοῖο ὕμμιν ἐπ⟩ερ⟨χομένου πρ⟩ογνώμονες οὔτ' ἀ-
⟨γ⟩α⟨θοῖο· . . . γ⟩ὰρ ἀφραδί⟨η . . . . . .⟩μος πολὺ πείρατι νυ-
κτὸς τη . . . . εκ . α . . . . . . ἥρπασεν ἀγηρ . . .
⟨. . . . . νῦν δ' οὐκ ἔσθ' ὥς ⟨κεν θά⟩νατον
⟨καὶ κῆρας ἀλύξαι.' καὶ τὸ παι⟩δίον ἐπι . κ . . . σα καίει

VII. καὶ ἀποκτείνει ⟨κ⟩αὶ ὀ⟨ρθ⟩ῶς αὐτὴν δια⟨καλύπτει⟩·
λέγει γάρ· 'εἰμὶ δὲ Δη⟨μ⟩ήτηρ ὡρηφόρ⟨ος ἀγλαό-⟩
δωρος. τίς θεὸς οὐράνιος ἠὲ θν⟨η⟩τῶ⟨ν ἀνθρώ-⟩
πων ἥρπασε Φερσεφ⟨ό⟩νην καὶ ⟨ἑὸν φίλον ἦπα-⟩
φε θυμόν;' τοῦ δὲ Κ⟨ελε?⟩οῦ εἰς ⟨τὴν αὐλὴν ἀνα-⟩
βάντος ἐξ ἀγροῦ τ . . . . α . . . .
ε . ε μὲν ἀφεικότος . . . .
τὴν μητέρα, τίς ἡ ξέ⟨νη . . . .
τὴν θυγατέρα ζη⟨τ . . . . εἰ-⟩
πόντος τῆι μ⟨η⟩τ⟨ρὶ . . . .
ἡ δὲ Δημήτηρ ⟨. . . . . σε-⟩
βασ⟨τ⟩ῆς? εἰπεῖν . . . .
κύρ⟨ιον τῶ⟩ν πάν⟨των . . . . λει-

π⟨ο⟩μένου φωνῆς . . . .
ει . . . τά⟨ς μ⟩ελαίνα⟨ς . . . .
χ⟨. .⟩με . τι θεος α . . . .
στημουχοιραεν . . . .
πέποται ἕως τῶν . . . .
πρὸς Τριπτ⟨όλ⟩εμο⟨ν . . . .
ὅθεν Κάθοδος λέγ⟨ε⟩τ⟨αι.⟩

Vs. 2—5 suppl. pleraque Diels, v. test. nrr. 22 ss., 58. 77 (p. 23). 2. 3 τούτωι — ὅθεν suppl. Steegmann ap. Dielesium. 6—26 suppl. pleraque Buech. 6 ⟨τὰ Ὀρφέως ὄργι⟩α Diels ap. Buech., ⟨καὶ τὰ ἱερὰ ὄργι⟩α Ludw. θεοὺς πλείστους Buecheleri vestigiis non respondet, ut mihi Croenert nuper scripsit. 9. 10 τ⟨ὴ⟩ν Δ⟨ή⟩μητρα θε⟨ὰν πρῶτος ἦν ὁ μην?⟩ύ⟨σ⟩ας ἥτ⟨ι?⟩ς ⟨τὰς?⟩ π⟨ο?⟩νούσας Allen. 10—20 v. Ludwichii tentamina. 13 τα⟩ύτης (τῆς) ἐχθρ⟨α⟩ς Hiller de Gaertringen. 15 ὁ suppl. Wilcken, quia una littera tantum deest; idem ⟨μὲ⟩ν improbat, cum duarum litterarum spatium extet. ⟨ἣ⟩ν Ὀρφεὺς ⟨μὲ⟩ν improbabiliter igitur Croenert. παραδέδωκεν Croenert, ἢ διαδέδωκεν Buech. 16 οὐθεὶς Croenert, οὐθὲν confirmat Wilcken. 17 ποιηται Pap., ⟨πε⟩ποίηται Schub. et Ludw., ποι⟨εῖ⟩ται Schm.; sed cf. Buech. ἔ⟨χ⟩ει γὰρ ὅ⟨τι Croenert. 19 ρισκούσης vel ιτεκούσης vel πεκούσης Schub., ⟨νάρκισσον εὑ⟩ρισκούσης Diels, θρωισκούσης Buech., ⟨ἀθυ⟩ρισκούσης Schm. coll. Hom. H. in Cerer. 16, ⟨οὐχὶ⟩ ἑκού⟨σ⟩η⟨ς?⟩ Allen. coll. Hom. H. 19, ⟨ἴα πλ⟩εκούσης Ludw. coll. Paus. IX 31, 9 Κόρην τὴν Δήμητρός φησιν ἁρπασθῆναι παίζουσαν καὶ ἄνθη συλλέγουσαν, ἁρπασθῆναι δὲ οὐκ ἴοις ἀπατηθεῖσαν, ἀλλὰ ναρκίσσοις et Diod. V 3, 2 (Timaeus v. fr. 47) de Enna ἔστι δ' ὁ τόπος οὗτος πλησίον μὲν τῆς πόλεως, ἴοις δὲ καὶ τοῖς ἄλλοις ἄνθεσι παντοδαποῖς εὐπρεπὴς καὶ θέας ἄξιος. 26—31 temere suppl. Ludw. 32—40 suppl. pleraque Buech. 33 ναρκίσ⟨σο⟩ν Wilcken; νάρκισ⟨σο⟩ν priores. 35 ἀνασπάσαι Wilcken, qui tertium σ addubitat. Cf. Herod. II 92 τὴν βύβλον . . . ἀνασπάσωσι ἐκ τῶν ἑλέων. 37 ἐφ' ἁρμ⟨άτων⟩ κ⟨υαν⟩ίππων Schm. coll. Ovid. Fast. IV 445 *hanc videt et visam patruus velociter aufert regnaque caeruleis in sua portat equis.* 39 ⟨καὶ ὗς⟩ suppl. Buech.; sed contradixerunt Schm. 283 n. 2 et Malten 423 n. 1, ἀ⟨στρ⟩απαῖ⟨ς ἵπποι⟩ς . . . μελαίνα⟨ις⟩ coni. Schm., τὸν δὲ Δία βρονταῖς καὶ ἀ⟨στρ⟩απαῖ⟨ς χοίρα?⟩ς ἐπαξονεῖν μελαίνα⟨ς α⟩ἰδ⟨εσάμενος ν?⟩ομῶι Ἀρτέμιδος τοξεί⟨αν⟩, Ἀθηνᾶς ⟨δ' ἔγχειαν vel αἰχμὴν ἀντὶ?⟩ χοίρας μιᾶς Allen improbabiliter. 41 ὧν ε —? Wilcken. 42 τ⟨ελ⟩ου⟨μένων ἐπικατέστ⟩η Buech., ⟨παρέστ?⟩η Allen. an βραβευτὴς Δυσ⟨αύλης⟩? cf. Hymn. XVIII 16 de Eubuleo (μοῦνος ἔφυς ἀφανῶν ἔργων . φανερῶν τε βραβευτής), Malten 433; βρ. δυσ⟨νομίας⟩ Schm. 43. 44 ⟨ἡ δὲ κόρη ἐ⟩πί⟨αχεν? cf. Hom. H. 20⟩, ἐπὶ τῆι τύ⟨χηι, μή, ἀκούοντος μηδε?⟩νός, ⟨ὑπ' αὐτοῦ? Allen. 47. 48 κατα⟨βᾶσα δ⟩ὲ πε⟨ρὶ Ludw., qui etiam cetera supplere conatus est 51—62 suppl. Buech.; sed pleraque obscura. 53 ΚΑ . . CΙΚΗC Pap. 57 ὁ Μ⟨ουσα⟩ῖο⟨ς⟩ Ludw. 58 ⟨αἰτί⟩αν Buech., ⟨ἀργί⟩αν Schm., ⟨πᾶσ⟩αν Allen. 60 θ⟨εῶν τάτ⟩τομεν Buech., θ⟨οὴν τάτ⟩τομεν Ludw., ο⟨ὕτω τάτ⟩τομεν Schm., θ⟨εῶν ὧν σέ⟩βομεν Allen. ἱρα⟨σθέ⟩ντι suppl. Buech., ἱρα⟨νίσα⟩ντι Schm. 61 κρόκον ἠδ' ὑάκ⟨ι⟩νθον probabiliter Buech., καὶ inser. Schm., qui etiam ἀκ⟨αλλίδ⟩ας coniecit (Hom. H. 7 ἀγαλλίδας). ἀκα⟨νθίδ?⟩ας Allen. 62 ναῦν, ἔπει πλεκ⟨τ⟩έον

ἀεὶ ἐ⟨ν⟩σε⟨βεῖ⟩ Schm. 284 n. 3 Buechelero partim praeeunte, *ναῦ⟨λα⟩ ἐπιπλεκτέον ἀεὶ ἔσεσ⟨θαι⟩ ἔνθα πρὸς αὐτο⟨ῖ⟩ς ⟨ναρκίσσου φῦσ'?⟩ ἄ⟨νθ?⟩η ⟨ἄφαρ? καλυ⟩κῶπ⟨ι⟩δι* Allen. 63 *⟨νάρκισσον τ'⟩ ἀ⟨νέ⟩η⟨κ' ἥυν καλυ⟩κώπ⟨ι⟩δι κ⟨ο⟩ύρῃ* suppl. Ludw. ex Hom. H. 8 *νάρκισσόν θ' ὃν ἔφυσε δόλον καλυκώπιδι κούρῃ.* 75. 76 suppl. Buech., sed cf. Malten l. l. 439 n. et Schm. 285, qui coni. *⟨οὕτω⟩ κ⟨αὶ⟩ ἡ Δημήτηρ ὑπὸ τ⟨ῆ⟩ς β⟨ασιλίσσης αἰτίαν ἠ⟩ρωτήθη, ἔφη ⟨δέ⟩. ὑπὸ τ⟨ῆ⟩ς Β⟨αυβοῦς⟩* Allen, *ὅθεν⟩ κ⟨αὶ⟩ ἡ Δημήτηρ, ὑπὸ τ⟨ῆ⟩ς ἐ⟨πελθούσης ἐπεὶ ἠ⟩ρωτήθη, ἔφη, ⟨ὡς⟩ ση⟨κὶς κτλ.* Ludw. quae omnia improbabilia sunt 82 init. suppl. Ludw., sequentia fere omnia Buech.; sed *⟨ἀγαπ⟩ᾷ* incertissimum esse monet Wilcken. 83 extr. *⟨τρέφει⟩* suppl. Schm., *⟨τὰ καλά⟩* Ludw. 85 *λ⟨αθο⟩ῦσα* Diels, *λ⟨ούο⟩υσα* Buech. 86 *⟨τοὺς γονεῖς⟩* suppl. Schm. coll. Hom. H. 240, *⟨ἐξ αὐτῆς ἀεὶ⟩* Diels. 96 *ὔμμιν* Ludw., *αἶσαν* dubitans Buech., *αἴσῃ* Allen. 97 *ΑΒΡΑΔΙ* Buech., *ΑΦΡΑΔΙ* ego in imagine lucis ope confecta. 97. 98 *⟨καὶ σὲ γ⟩ὰρ ἀβραδί⟨ῃς ἦ?⟩μος πολὺ πείρατι νυκτὸς τη⟨λαυγεῖ φλόγ'?⟩ ⟨ἤδ?⟩ ἐκ⟨η⟩α ἥρπασεν ἀτηρ⟨οῦσα?⟩* Allen, *ἦ ῥα γ⟩ὰρ ἀφραδί⟨ῃ πρόδρο⟩μος πολὺ πείρατι νυκτὸς τη⟨λύγετον ἀπ⟩έκ⟨τ⟩α⟨νεν καὶ⟩ ἥρπασεν, ἀγήρ⟨αον ὃν ἐποίησα ἂν ὑμῖν⟩* Ludw. 100 *ἐπι⟨σ⟩κ⟨άψα⟩σα* Buech., *ἐπι⟨σ⟩κ⟨ήψα⟩σα* Schm., Ludw. 101 ss. pleraque suppl. Buech. 101 *ὄ⟨ντ⟩ως* Ludw. *δια⟨καλύπτει⟩* Diels, *δια⟨γορεύει⟩* Buech., *δια⟨σαφεῖ⟩* Ludw. 105 *Κ⟨ελε⟩οῦ* suppl. Schu.; sed valde lubricum videtur Maltenio 432, qui *Δυσαύλου* exspectat. *αὐλὴν* Malten, *πόλιν* Buech. 106 extr. *τ⟨αῦτ' ἀκούσ⟩α⟨ντος* suppl. Schm., *τ⟨ηνικαῦτ⟩α* Ludw. 107 in. *⟨βό⟩ε* Allen. 110 extr. *ὡς ἑωρακὼς εἴη* suppl. Allen, qui etiam ut Ludwichius sequentia supplere conatus est. 111. 112 an *ὑπερ|βασ⟨ί⟩ης?* 117 *Στη⟨νί⟩ον χοίρα* Ludw. nisus feriarum *Στήνια* (A. Mommsen *Feste der Stadt Athen* 319) nomine; *στήμον* = *⟨μυ⟩|στη⟨ρί⟩ον* Hiller de Gaertringen. 120 *Κάθοδος* Diels, *κάθοδος* Bue. v. etiam Schm. 285; *ὅθεν κάθοδος λέγ⟨ε⟩τ⟨αι τῆς Κόρης αὕτη⟩* Ludw. *Die Schlußworte, die gewissermaßen den Titel, die Subscriptio, umschreiben, sind offenbar nicht in einem Zuge mit dem Text geschrieben; Schrift wohl von derselben Hand, aber späterer Nachtrag, viel schräger* Wilcken.

Versus hymni in Cererem Homerici Orphicus mutuatus est hosce: vs. 20—27 = Hom. 418—424 *Λευκίππη Φαινώ τε* (*Φανερή τε* Orph.) *καὶ Ἠλέκτρη καὶ Ἰάνθη καὶ Μελίτη Ἰάχη τε Ῥοδεία τε Καλλιρρόη τε Μηλόβοσις τε Τύχη τε καὶ Ὠκυρόη καλυκῶπις Χρυσηίς τ' Ἰάνειρα τ' Ἀκάστη τ' Ἀδμήτη τε · καὶ Ῥοδόπη Πλουτώ τε καὶ ἱμερόεσσα Καλυψὼ καὶ Στὺξ Οὐρανίη τε Γαλαξαύρη τ' ἐρατεινή, Παλλάς τ' ἐγρεμάχη καὶ Ἄρτεμις ἰοχέαιρα.* Desunt igitur 419, ut ap. Pausan. IV 30, 4, et 424, v. Malten 423 n. 1. vs. 63—71 = Hom. 8 (v. supra adn.)—18 (= 32); desunt 13—16 deficiente papyro. vs. 71—75 = Hom. 33—36. vs. 92—94 = Hom. 248. 249. vs. 95—100 = Hom. 256—262 *νήϊδες ἄνθρωποι καὶ ἀφράδμονες οὔτ' ἀγαθοῖο αἶσαν ἐπερχομένου προγνώμεναι οὔτε κακοῖο · καὶ σὺ γὰρ ἀφραδίῃσι τεῇς νήκεστον ἀάσθης. ἴστω γὰρ θεῶν* (*Διὸς* Nauck *Mél.* IV 443) *ὅρκος, ἀμείλικτον Στυγὸς ὕδωρ, ἀθάνατον κέν τοι*

καὶ ἀγήραον ἤματα πάντα παῖδα φίλον ποίησα καὶ ἄφθιτον ὤπασα τιμήν. νῦν δ' οὐκ ἔσθ' ὥς κεν θάνατον καὶ κῆρας ἀλύξαι. vs. 102 = Hom. 268 *εἰμὶ δὲ Δημήτηρ* + 54 *ὡρηφόρε, ἀγλαόδωρε,* vs. 103—105 = Hom. 55. 56 *τίς θεῶν οὐρανίων ἠὲ θνητῶν ἀνθρώπων ἥρπασε Περσεφόνην καὶ σὸν φίλον ἤκαχε θυμόν;* Adde fr. 48 = Il. A 1. De ratione quae inter hymnos Orphicum et Homericum intercesserit egerunt amplius post Buechelerum l. l. 16 C. Vick *Untersuchungen zum Homer. Demeterhymn. Progr. Doberan.* 1908; Malten *Arch. Religionsw.* XII 1909, 303. 418 ss.; Ludwich *Berl. philol. Wochenschr.* 1919, 542. 1029. De Celeo (vs. 105) v. Kern *RE*² XI 140 s. et fr. 51.

Ad initium tractatus cf. Celsum ap. Origin. VII 41 (II 192, 1 Koetsch.) *εἴτ' οὖν Ὀρφέα βούλεται ἔνθεον εἶναι ποιητὴν εἴτε Παρμενίδην εἴτ' Ἐμπεδοκλέα εἴτε καὶ αὐτὸν Ὅμηρον ἢ καὶ Ἡσίοδον* et VII 53 (II 203, 12 Koetsch.) *φέρε, εἰ μὴ ἤρεσκεν Ἡρακλῆς καὶ Ἀσκληπιὸς καὶ οἱ πάλαι δεδοξασμένοι, Ὀρφέα εἴχετε, ἄνδρα ὁμολογουμένως ὁσίωι χρησάμενον πνεύματι καὶ αὐτὸν βιαίως ἀποθανόντα* (cf. 54 p. 204, 9).

III. [*Κάθοδος τῆς Κόρης* 2]

50. Clem. Alex. Protr. II 17, 1 (Staeh. I 14, 1) *βούλει καὶ τὰ Φερεφάττης ἀνθολόγια διηγήσωμαί σοι καὶ τὸν κάλαθον καὶ τὴν ἁρπαγὴν τὴν ὑπὸ Ἀϊδωνέως καὶ τὸ χάσμα τῆς γῆς καὶ τὰς ὗς τὰς Εὐβουλέως τὰς συγκαταποθείσας ταῖν θεαῖν, δι' ἣν αἰτίαν ἐν τοῖς Θεσμοφορίοις μεγαρίζοντες χοίρους ἐμβάλλουσιν.* Cf. schol. Lucianeum p. 275 Rabe et fr. 49 vs. 39. 41. 115. 117.

Lob. II 831; Kern *Athen. Mitt.* XVI 1891, 16; Malten *Arch. Religionsw.* XII 1909, 428.

51. (217) Paus. I 14, 3 *ἔπη δὲ ἄιδεται Μουσαίου* (Diels II³ 182 n. 10) *μέν, εἰ δὴ Μουσαίου καὶ ταῦτα, Τριπτόλεμον παῖδα Ὠκεανοῦ καὶ Γῆς εἶναι, Ὀρφέως δέ, οὐδὲ ταῦτα Ὀρφέως ἐμοὶ δοκεῖν ὄντα, Εὐβουλεῖ καὶ Τριπτολέμωι Δυσαύλην πατέρα εἶναι, μηνύσασι δέ σφισι περὶ τῆς παιδὸς δοθῆναι παρὰ Δήμητρος σπεῖραι τοὺς καρπούς.* Schol. Aristid. Panathen. 105, 11 p. 53 Dind. (*Δημήτηρ*) *παρὰ Κελεοῦ καὶ Τριπτολέμου τὸν ἡρπακότα μαθοῦσα μισθὸν αὐτοῖς ἀποδίδωσι τῆς μηνύσεως τὸν σῖτον. Κελεοῦ* pro *Δυσαύλου* sicut fr. 49 vs. 105.

Lob. I 335; Dieterich *Philolog.* LII 1893, 2 n. 2 = *Kl. Schr.* 126 n. 2; Diels *Festschr. Th. Gomperz* 6; Malten *Arch. Religionsw.* XII 1909, 428. 434.

Vide Hymnorum locos p. 115.

52. (215) Clem. Alex. Protr. II 20, 1—21, 1 (I 15 Staeh.) ∾ Euseb. Praep. ev. II 3, 30—34 (I 82 Dind.) *καὶ τί θαυμαστὸν εἰ Τυρρηνοὶ οἱ βάρβαροι αἰσχροῖς οὕτως τελίσκονται παθήμασιν, ὅπου γε Ἀθηναίοις καὶ τῆι ἄλληι Ἑλλάδι, αἰδοῦμαι καὶ λέγειν, αἰσχύνης ἔμπλεως ἡ περὶ τὴν Δηὼ μυθολογία; ἀλωμένη γὰρ ἡ Δηὼ κατὰ ζήτησιν τῆς θυγατρὸς*[1] *τῆς Κόρης περὶ τὴν Ἐλευσῖνα — τῆς Ἀττικῆς δέ ἐστι τοῦτο τὸ χωρίον*[2] *— ἀποκάμνει καὶ φρέατι ἐπικαθίζει λυπουμένη. τοῦτο τοῖς μυουμένοις ἀπαγορεύεται εἰσέτι νῦν, ἵνα μὴ δοκοῖεν οἱ τετελεσμένοι μιμεῖσθαι τὴν ὀδυρομένην. ὤικουν δὲ τηνικάδε τὴν Ἐλευσῖνα οἱ γηγενεῖς· ὀνόματα αὐτοῖς Βαυβὼ* | [16 Staeh.] *καὶ Δυσαύλης καὶ Τριπτόλεμος, ἔτι δὲ Εὔμολπός τε καὶ Εὐβουλεύς· βουκόλος ὁ Τριπτόλεμος ἦν, ποιμὴν δὲ ὁ Εὔμολπος, συβώτης δὲ ὁ Εὐβουλεύς· ἀφ' ὧν τὸ Εὐμολπιδῶν καὶ τὸ Κηρύκων*[3] *τὸ ἱεροφαντικὸν δὴ τοῦτο Ἀθήνησι γένος ἤνθησεν. καὶ δὴ — οὐ γὰρ ἀνήσω μὴ οὐχὶ εἰπεῖν — ξενίσασα ἡ Βαυβὼ τὴν Δηὼ ὀρέγει κυκεῶνα αὐτῆι· τῆς δὲ ἀναινομένης λαβεῖν καὶ πιεῖν οὐκ ἐθελούσης — πενθήρης γὰρ ἦν — περιαλγὴς ἡ Βαυβὼ γενομένη, ὡς ὑπεροραθεῖσα δῆθεν, ἀναστέλλεται τὰ αἰδοῖα καὶ ἐπιδεικνύει τῆι θεῶι· ἣ δὲ τέρπεται τῆι ὄψει ἡ Δηὼ καὶ μόλις ποτὲ δέχεται τὸ ποτόν, ἡσθεῖσα τῶι θεάματι. ταῦτ' ἔστι τὰ κρύφια τῶν Ἀθηναίων μυστήρια. ταῦτά τοι καὶ Ὀ. ἀναγράφει. παραθήσομαι δέ σοι αὐτὰ τοῦ Ὀρφέως τὰ ἔπη, ἵν' ἔχηις μάρτυρα τῆς ἀναισχυντίας τὸν μυσταγωγόν·*

ὣς εἰποῦσα πέπλους ἀνεσύρετο,[4] *δεῖξε*[5] *δὲ*[6] *πάντα*
σώματος οὐδὲ[7] *πρέποντα τύπον· παῖς*[8] *δ' ἦεν Ἴακχος,*
χειρί τέ μιν[9] *ῥίπτασκε*[10] *γελῶν Βαυβοῦς*[11] *ὑπὸ κόλποις·*[12]
ἡ δ' ἐπεὶ οὖν μείδησε[13] *θεά, μείδησ'*[14] *ἐνὶ θυμῶι,*
δέξατο δ' αἰόλον ἄγγος, ἐν ὧι κυκεὼν ἐνέκειτο.[15]

1 *τῆς θυγατρὸς* del. Cobet. 2 *τῆς Ἀττικῆς . . . χωρίον* del. Reinkens; sed cf. Eusebium et Arnobium. 3 *καὶ τὸ Κηρύκων* del. Maaß. 4 *ἀνεσύρετο* (*α* superscr. P[3]) P, *ἀνεσύρετο* M, *ἀνεσύρατο* Euseb., Herm. 5 *δεῖξαι* P; Eusebii cod. H; *δεῖξε δ' ἄφαντον* Herwerden. 6 *δὲ* codd. praeter Eusebii H qui omisit; *τε* Lob. 7 *οὐδὲ* codd., *οὐχὶ* Struve, *οὔ τι* Herm. 8 *παῖς νηπίαχος δὲ* Leopardus et Herwerd., *παιδήιον ἄνθος* Dan. Heinsius, *παῖς εἶδεν Ἴακχος* Struve, *πρὸς δ' ἤιεν* (*ἤιεν* Wakefield et I. H. Voss) *Ἴακχος* Platt *Journ. philol.* Lond. XXVI 1899, 231, *παῖς δ' ἦεν ἴαλλος* Ludw. 9 *χεῖρά τε ἧν* Struve, *χεῖρ' ἰταμὴν* Herwerden. 10 *ῥίπτεσκε* Gesner, *τύπτεσκε*

Foerster, *κατέρεξε* Platt. 11 *Δηοῦς* Holwerda. 12 *ὑπὸ Κόλποις* Struve, *ὑπὸ κόλπους* praecedente Heinsio Herwerden, *ἐγέλων Βαυβοῦς ὑπὸ κόλποι* Ludw. 13 *ἡ δ' ἐπὶ τῶι μείδησε* Herwerd., *μείδησε* (*μείδησισε*) codd., *ἐνόησε* Herm. et Struve; *μιν ἴδεσκε* Ludw. 14 *μείδησ' ἐνὶ* codd., *γήθησ' ἐνὶ* Mullach FPhG I 175. 15 *ἐνέκειτο* codd., *ἐνεχεῖτο* Struve, *ἐμέμικτο* vel *ἐτέτυκτο* Herwerd.

Clementem sequitur Arnob. Adv. nation. V 25 p. 196, 3 Reiff. *In istius conquisitionis errore Eleusinios*[1] (sc. *Ceres*) *etiam pervehitur fines. pagi istud est nomen regione in Attica constituti. quinque*[2] *illud temporis has partes incolebant terrigenae, quibus nomina haec fuerant: Baubo Triptolemus Eumolpus Eubuleus Dysaules: boum iugator Triptolemus,*[3] *capellarum Dysaules*[4] *custos, Eubuleus*[5] *porcorum, gregis lanitii Eumolpus,*[6] *a quo gens*[7] *ecfluit*[8] *Eumolpidarum et ducitur clarum illud apud Cecropios nomen et qui postea floruerunt caduceatores, hierophantae atque praecones. igitur Baubo illa, quam incolam diximus Eleusinii*[9] *fuisse pagi, malis multiformibus fatigatam accipit hospitio Cererem, adulatur obsequiis mitibus, reficiendi*[10] *corporis rogat curam ut habeat, sitientis*[11] *ardori*[12] *oggerit potionem cinni,*[13] *cyceonem quam nuncupat Graecia: aversatur et respuit humanitatis officia maerens dea nec eam fortuna*[14] *perpetitur valetudinis meminisse. comis*[15] *rogat illa atque hortatur contra, sicut mos est in huiusmodi casibus, ne*[16] *fastidium suae humanitatis adsumat: obstinatissime durat Ceres et rigoris indomiti pertinaciam retinet. quod cum saepius fieret neque ullis quiret obsequiis ineluctabile propositum fatigari, vertit Baubo artes et quam serio non quibat*[17] *allicere ludibriorum statuit exhilarare*[18] *miraculis: partem illam corporis, per quam secus femineum*[19] *et subolem prodere et nomen solet* | [197 Reiff.] *adquirere generi, tum*[20] *longiore ab incuria liberat, facit sumere habitum puriorem et in speciem levigari nondum duri atque hystriculi*[21] *pusionis. redit ad*[22] *deam tristem et inter illa communia quibus moris est frangere ac temperare maerores retegit se ipsam atque omnia illa pudoris loca revelatis monstrat inguinibus. atque pubi adfigit*[23] *oculos diva et inauditi specie*[24] *solaminis pascitur: tum diffusior facta per risum aspernatam sumit atque ebibit potionem, et quod diu nequivit verecundia Baubonis exprimere propudiosi facinoris extorsit obscenitas. calumniari nos improbe si quis forte hominum suspicatur, libros sumat Threicii vatis, quos antiquitatis memoratis esse divinae, et inveniet nos nihil neque callide fingere neque quo sint risui deum quaerere atque efficere sanctitates. ipsos namque in medio*

ponemus versus,[25] *quos Calliopae*[26] *filius ore edidit Graeco et cantando*[27] *per saecula iuri*[28] *publicavit humano:*

sic effata simul[29] *vestem contraxit ab imo*
obiecitque oculis formatas[30] *inguinibus res:*
† quas cava succutiens Baubo manu[31] *— nam puerilis*
ollis[32] *vultus erat — plaudit, contrectat amice.*[33]
tum dea defigens augusti luminis orbes
tristitias[34] *animi paulum mollita reponit:*
inde manu poclum[35] *sumit risuque*[36] *sequenti*
perducit totum cyceonis laeta liquorem.

1 *Eleusinios* Salmas., *elcusionios* P, *eleusinos* Sab. 2 *quinque* Livineius, *qui* P. 3 *Eubuleus . . . Triptolemus* om. Sab. 4 *disa^{u}les* P. 5 *eubo-leus* P. 6 *Eumolpus* Sabaeus, r, *euolpus* P. 7 *et gens* Gelenius. 8 *effluit* Canter, Ursinus, *et fluit* P, *fluit* Gelenius, *ducit?* Reiffersch. 9 *eleusini* P. 10 *reficiendi* Sab., r, *repiciendi* P. 11 *sitientis* Oehler, *sitienti* P, *sitiendi* Meursius. 12 *a^{r}dori* P, *adoris* Salmas. 13 *cinni* Reiffersch., *cynum* P, *cinnum* r, Elmenhorst. 14 *fortuna* Gel., *fortunam* P. 15 *comis* Oehler, *communis* P. 16 *ne* Sab., *ane* P, *anus, ne* Heraldus, *ut ne* Oehler. 17 *quibat* Sab., r, *quib)at* P. 18 *exilarare* P. 19 *sexus foemineam* Sab. 20 *generi, tum* Salm., *generi. cum* P, *generi: eum* Sab., *generi: eam* Gel., *genericum* Urs., *genetricum* Livin. 21 *hystriculi* Reiffersch., *striculi* P. 22 *redit ad* Sab., r, *redita ad* P, *redit ita ad* Stewechius. 23 *affigit* Sab., *adficit* P. 24 *specie* Sab., *species* P. 25 *versus* Sab., *versos* P. 26 *Calliopae* Hildebrand, *calliope* P, *Calliopes* Sab. 27 *cantandos* Orellius. 28 *generi* Urs. 29 *sinu* Lambinus. 30 *formatas inguinibus* Sab., *formata sanguinib)* P. 31 *Baubus manu'* N. Heinsius, *Bacchi manu'* Ioannes Auratus. 32 *olli* Sab. 33 *amice* Gel., *amicae* P, *conctata micae* Sab. 34 *tristias* P corr. 35 *poclum* Sab., *poculum* P. 36 *risuque* Sab., *risuquem* P.

Arnobii versus (Baehrens FPR 404) Lucano (v. test. nr. 255) vindicare videtur Manitius *Philolog.* LI 1892, 706. Easdem res tangit Arnobius etiam V 27 p. 198, 22 R. *quidnam quaeso spectaculi* (Vahlen] *in specuali* P, *in specu tali* Sab., *spectaculo in tali* Urs., *in spectu tali* Stewech., *in specu anili* Zinkius), *quid in pudendis fuit rei verendisque* (Stewech.] *reverendisque* P, *verendisque* Canter) *Baubonis, quod feminei sexus deam et consimili formatam membro in admirationem converteret* | 199 Reiff. *atque risum, quod obiectum lumini conspectuique divino et oblivionem miseriarum* (corr. Sab. e *miserarum* P) *daret et habitum in laetiorem repentina hilaritate traduceret?* nec non 29 p. 201, 1 *ad verecundiam Baubonis impellere atque ad pudicas Cereris voluptates*; 35 p. 206, 2 *Baubonis tugurium atque hospitium rusticanum* etc.,

39 p. 209, 7 *illud spectaculum maximum Baubonis in inguinibus risit* (sc. *Ceres*). Cf. etiam Schol. Lucian. 219, 22 Rabe *ἢ οὐκ οἶσθα τὴν Βαυβὼ καὶ ὅσα σοι τὰ Ἐλευσῖνι μυστικά, μᾶλλον δὲ μυσαρά, ὑποβάλλει θεάματα;*

Foedissime commutavit vs. 1 Gregor. Nazianz. Or. in Iulian. I 141 (Migne 35, 653; Abel fr. 290):

ὣς εἰποῦσα θεὰ δοιοὺς ἀνεσύρατο μηρούς,

ad quod Nonnus Abbas (Migne 36, 1028) adnotat: *τοῦ δὲ περὶ τῆς Δήμητρος ἔπους ὁ νοῦς ἐστιν οὗτος· ὅτι ἐπαιρομένη ἡ θεὰ τοὺς ἑαυτῆς μηροὺς ἀνεσύρετο — λέγει δὲ περὶ τῶν ἱματίων — ἵνα, φησί, τοὺς ἐρῶντας αὐτῆς ἀξιώσηι τῆς συνουσίας,* quae verba spectant ad Gregorii verba *ἵνα τελέσηι τοὺς ἐραστάς, ἃ καὶ νῦν ἔτι τελεῖ τοῖς σχήμασιν.*

Herm. XVI; Lob. II 818; Struve Opusc. sel. II 1854, 198; R. Foerster *Raub und Rückkehr der Persephone* 282; Schuster 77; Herwerden *Herm.* V 1871, 143; Ludwich *Jahrb. class. Philol.* CXLI 1890, 51; Kern *Athen. Mitt.* XVI 1891, 15; *RE*² III 151; J. A. Roehricht De Clemente Alex. Arnobii auctore diss. Kiliens. 1892, 10. 34; Holwerda 377, 1; Dieterich *Philolog.* LII 1893, 3 = *Kl. Schr.* 127; Maaß *Orph.* 183 n. 20; Malten *Arch. Religionsw.* XII 1909, 442 n. 2; W. Kroll *Rhein. Mus.* LXXII 1917. 1918, 78 n. 1.

Ad Clementis locos frr. 50. 52 v. Epiphan. Cathol. et Apostol. Ecclesiae fidei expos. 10 p. 506 Oehl. fr. 34.

53. (216) Mich. Psell. ap. Leon. Allat. De Graecor. hodie quorundam opinat. ad Paull. Zacchiam Colon. Agrippin. 1645, 140 (Sathas *Μεσαιωνικὴ βιβλ.* V 571). *Ὁ μέν τοι Βαβουτζικάριος ἐξ ἑλληνικῆς φλυαρίας παρεισεφθάρη*[1] *τῶι βίωι· ἔνεστι γάρ που τοῖς Ὀρφικοῖς ἔπεσι Βαβώ τις ὀνομαζομένη δαίμων νυκτερινή, ἐπιμήκης τὸ σχῆμα καὶ σκιώδης τὴν ὕπαρξιν. ἱστορεῖ δὲ καὶ Πορφύριος ὁ φιλόσοφος περὶ τούτων* (sc. *ἐν ταῖς ἀγυρτικαῖς βίβλοις* v. Leon. Allat. l. l. 117; desunt ap. J. Bidez *La vie de Porphyrie* 1913, 65 ss. in laterculo scriptorum Porphyrianorum). *ἔθνος δὲ οὗτος ⟨λέγει⟩*[2] *βόρειόν τε καὶ βάρβαρον πολλοῖς τοιούτοις ἐπ⟨ιτε⟩τυχηκέναι*[3] *νυκτερινοῖς φάσμασιν, ἅ δή φασι νυκτὸς μὲν ἐπικαίειν, ἡμέρας δὲ ἐντυγχάνειν τοῖς ἐπικανθεῖσι λεπτοῖς τισι καὶ ἀμαυροῖς σώμασι νήμασιν ἀραχνίοις προσεοικόσιν.*

1 *προσεφθάρη* Lob. 2 *λέγει* add. Kern; *ἔθνος δὲ οὗτοι βόρειόν τε* Sathas. 3 *ἐπ⟨ιτε⟩τυχηκέναι* vel *ἐ⟨ντε⟩τυχηκέναι* Kern.

Ad nomen *Βαβώ* = *Βαυβώ* cf. titulum Parium IG XII 5, 227, ubi vs. 3 *littera Y verbi Βαυβοῖ postea inserta est*; cf. *ἑατοῦ* = *ἑαυτοῦ* quod Augusti fere aetate divulgatur.

Lob. II 823; Rohde *Psyche* II[6] 408; Dieterich *Philolog.* LII 1893, 4 = *Kl. Schr.* 128; Kern *RE*[2] III 150; *Herm.* LIV 1919, 217.

3. HIERONYMI ET HELLANICI THEOGONIA

Ante Neoplatonicorum *Ἱεροὺς λόγους* posui quia Damascius Eudemo Rhodio usus est cf. fr. 28. Num Hieronymus idem sit ac *Ἱερ. ὁ Αἰγύπτιος ὁ τὴν Ἀρχαιολογίαν τὴν Φοινικικὴν συγγραψάμενος* Ioseph. Antiqu. Iud. I 94 (Schuster 100; Ed. Hiller Satura philologa Hermanno Sauppio obl. 1879, 118; Diels II[3] 172, 7) dubium est, v. test. nr. 242. Ad Hieronymum referri solent (Abel p. 158 n. 1) quae Iriarte Reg. Bibl. Matrit. Codd. Graeci Mss. I 1769, 346 ex cod. LXXXIV n. 180 edidit *Σαχωνιάθων* (sic) *ὁ Βηρύττιος τὴν Φοινίκων θεολογίαν ἐξέδωκεν, ἣν Ὀ. μετήνεγκεν εἰς τὴν ἑλλάδα φωνὴν καὶ τὰς τελετὰς τῶν Αἰγυπτίων.* De Hieronymi et Hellanici Theogonia Zeller I[6] 126; Schuster 81; Abel p. 158; Kern De Theogon. 28; Susemihl Ind. IV; Gruppe ap. Rosch. III 2251.

54. (36) Damasc. De princ. 123 *bis* (I 317, 15 Rue.) *ἡ δὲ κατὰ τὸν Ἱερώνυμον φερομένη καὶ Ἑλλάνικον* (sc. *Ὀρφικὴ θεολογία*), *εἴπερ μὴ καὶ ὁ αὐτός ἐστιν, οὕτως ἔχει· „ὕδωρ ἦν, φησίν, ἐξ ἀρχῆς, καὶ ὕλη,*[1] *ἐξ ἧς ἐπάγη ἡ γῆ", δύο ταύτας ἀρχὰς ὑποτιθέμενος πρώτας,*[2] *ὕδωρ καὶ γῆν, ταύτην μὲν ὡς φύσει σκεδαστήν, ἐκεῖνο δὲ ὡς ταύτης κολλητικόν τε καὶ συνεκτικόν, τὴν δὲ μίαν πρὸ τοῖν δυεῖν ἄρρητον ἀφίησιν· αὐτὸ γὰρ τὸ μηδὲ φάναι περὶ αὐτῆς ἐνδείκνυται αὐτῆς τὴν ἀπόρρητον φύσιν· τὴν δὲ τρίτην ἀρχὴν μετὰ τὰς δύο γεννηθῆναι μὲν ἐκ τούτων, ὕδατός φημι καὶ γῆς, δράκοντα δὲ εἶναι κεφαλὰς ἔχοντα προσπεφυκυίας ταύρου καὶ λέοντος, ἐν μέσωι δὲ θεοῦ πρόσωπον, ἔχειν* | [317 Rue.] *δὲ καὶ ἐπὶ τῶν ὤμων πτερά, ὠνομάσθαι δὲ Χρόνον ἀγήραον*[3] *καὶ Ἡρακλῆα τὸν αὐτόν· συνεῖναι δὲ αὐτῶι τὴν Ἀνάγκην, φύσιν οὖσαν τὴν αὐτὴν καὶ Ἀδράστειαν ἀσώματον*[4] *διωργυιωμένην ἐν παντὶ τῶι κόσμωι, τῶν περάτων αὐτοῦ ἐφαπτομένην. ταύτην οἶμαι λέγεσθαι τὴν τρίτην ἀρχὴν κατὰ τὴν οὐσίαν ἑστῶσαν, πλὴν*

ὅτι ἀρρενόθηλυν αὐτὴν ὑπεστήσατο πρὸς ἔνδειξιν τῆς πάντων γεννητικῆς αἰτίας. καὶ ὑπολαμβάνω τὴν ἐν ταῖς ῥαψωιδίαις (v. s. *ΙΕΡΟΙ ΛΟΓΟΙ*) θεολογίαν ἀφεῖσαν τὰς δύο πρώτας ἀρχὰς μετὰ τῆς μιᾶς πρὸ τῶν δυεῖν τῆς σιγῆι[5] παραδοθείσης ἀπὸ τῆς τρίτης μετὰ τὰς δύο ταύτης ἐνστήσασθαι τὴν ἀρχήν, ὡς πρώτης ῥητόν τι ἐχούσης καὶ σύμμετρον πρὸς ἀνθρώπων ἀκοάς. οὗτος γὰρ ἦν ὁ πολυτίμητος ἐν ἐκείνηι Χρόνος ἀγήραος Αἰθέρος καὶ Χάους πατήρ· ἀμέλει καὶ κατὰ ταύτην ὁ Χρόνος οὗτος ὁ δράκων γεννᾶται τριπλῆν γονήν·[6] Αἰθέρα, φησί,[7] νοτερὸν[8] καὶ Χάος ἄπειρον, καὶ τρίτον ἐπὶ τούτοις Ἔρεβος ὀμιχλῶδες, τὴν δευτέραν ταύτην τριάδα ἀνάλογον τῆι πρώτηι παραδίδωσι δυναμικὴν οὖσαν ὡς ἐκείνην πατρικήν. διὸ καὶ τὸ τρίτον αὐτῆς Ἔρεβός ἐστιν ὀμιχλῶδες, καὶ τὸ πατρικόν τε καὶ ἄκρον Αἰθήρ, οὐχ ἁπλῶς, ἀλλὰ νοτερός·[9] τὸ δὲ μέσον αὐτόθεν Χάος ἄπειρον, ἀλλὰ μὴν ἐν τούτοις, ὡς λέγει,[10] ὁ Χρόνος ὠιὸν ἐγέννησεν, τοῦ Χρόνου ποιοῦσα γέννημα καὶ αὕτη ἡ παράδοσις, καὶ ἐν τούτοις τικτόμενον, ὅτι καὶ ἀπὸ τούτων ἡ τρίτη πρόεισι νοητὴ τριάς. τίς οὖν αὕτη ἐστί; τὸ ὠιόν, ἡ δυὰς τῶν ἐν αὐτῶι φύσεων, ἄρρενος καὶ θηλείας, καὶ τῶν ἐν μέσωι παντοίων σπερμάτων τὸ πλῆθος· καὶ τρίτον ἐπὶ τούτοις θεὸν ἀσώματον,[11] πτέρυγας ἐπὶ τῶν ὤμων ἔχοντα χρυσᾶς, ὃς ἐν μὲν ταῖς λαγόσι προσ | 318 Rue. πεφυκυίας εἶχε ταύρων κεφαλάς, ἐπὶ δὲ τῆς κεφαλῆς δράκοντα πελώριον παντοδαπαῖς μορφαῖς θηρίων ἰνδαλλόμενον. τοῦτον μὲν οὖν ὡς νοῦν τῆς τριάδος ὑποληπτέον, τὰ δὲ μέσα γένη τά τε πολλὰ καὶ τὰ δύο τὴν δύναμιν, αὐτὸ δὲ τὸ ὠιὸν ἀρχὴν πατρικὴν τῆς τρίτης τριάδος τὸν τρίτον θεόν· καὶ ἥδ' ἡ θεολογία[12] Πρωτόγονον ἀνυμνεῖ καὶ Δία καλεῖ πάντων διατάκτορα καὶ ὅλου τοῦ κόσμου, διὸ καὶ Πᾶνα καλεῖσθαι. τοσαῦτα καὶ αὕτη περὶ τῶν νοητῶν ἀρχῶν ἡ γενεαλογία παρίστησιν.

1 *ὕλη* M, *ἰλύς* Zoëga *Abhdlgn.* 240 (Gruppe *Suppl.* 726), quod refutavit Diels ap. Kernium De Theogon. 28. 2 *πρώτας* Kroll *Rhein. Mus.* LII 1897, 290, *πρῶτος* M, *πρῶτον* apogr. unde hoc cum Rue. etiam Diels. 3 *ἀγήραον* v. infra *ὁ πολυτίμητος ἐν ἐκείνηι Χρόνος ἀγήραος* et Kern De Theogon. 4 n. 9, *ἀγήρατον* M. 4 *ἀσώματον* M; *δισώματον* Gruppe ap. Rosch. III 2251; Zeller I[6] 127 n. 2; *εὐσώματον* dubit. Rue. 5 *σιγῆι* ex *σιγῆς* corr. M, v. Lob. I 485 n. *t* et Kroll. 6 *τριπλῆν γονὴν* M (Kroll) ut iam emendaverat Zoëga *Abhdlgn.* 241. 7 *φημὶ* Lob. 8 *νοτερὸν* M (Kroll) ut iam coniecerat Lob., v. Holwerda 297, *νοερὸν* apogr. (quod tuetur Kroll *Philol.* LIII 1894, 561). 9 *νοτερός* M, *νοερῶς* apogr. 10 in verbis *ὡς λέγει* vitium latere censet Holwerda 296. 11 *θεὸν ἀσώματον . . . ἔχοντα* M, *θεὸς δισώματος* (quod

recepit Zeller) . . . ἔχων Lob., εὐσώματος dubit. Rue., v. Beth *Wien. Stud.* XXXIV 1912, 288 n. 12 ἥδε ἡ θεολογία apogr. B, ἥδε ἡ θ. M (Kroll).

Cum hoc Theogoniae Hieronymianae exordio Ἱερῶν λόγων mundi creatio comparanda est; cf. imprimis virorum doctorum locos quos supra p. 130 attuli. Ad Ἀδράστειαν ἀσώματον διωργυιωμένην ἐν παντὶ τῶι κόσμωι τῶν περάτων αὐτοῦ ἐφαπτομένην cf. Plat. Remp. X 616 c ἐκ δὲ τῶν ἄκρων τεταμένον Ἀνάγκης ἄτρακτον, δι' οὗ πάσας ἐπιστρέφεσθαι τὰς περιφοράς (Diels ap. Kern. De Theogon. 33) et Plutarch. De sera num. vind. 22 p. 564 e. f, Dieterich *Nekyia*[2] 145 (Ἀδρήστεια ἄνασσα· Εὐχ. πρ. Μουσ. 36; ἀρχαίου μὲν πρῶτα Χάους ἀμέγαρτον Ἀνάγκην Argon. 12 [test. nr. 224]; πότνια Ἀνάγκη Argon. 879), ad Πρωτόγονον v. *ΙΕΡΟΙ ΛΟΓΟΙ* et Hymn. VI Πρωτογόνου (Gruppe ap. Rosch. III 2257 n. 4), ad Panem Hymn. in Pan. XI 11 κοσμοκράτωρ, αὐξητά, φαεσφόρε, κάρπιμε Παιάν Kern *Herm.* XXIV 1889, 504, Eckinger *Festgabe für Hugo Bluemner* 1914, 170.

55. (37. 38) Apion ap. Clem. Roman. Homil. VI 3. 4 (2, 198 Migne; P. de Lagarde Clementina 74, 15 ss.). Cf. versionem Syriacam Theodori bar Chōnī Nestoriani VIII saeculi exeuntis tractatam a Th. Noeldeke *Zeitschrift Deutsch. Morgenländ. Gesellsch.* LIII 1899, 501.

Ἡσίοδος δὲ ἐν τῆι Θεογονίαι (vs. 116) λέγει· 'ἤτοι μὲν πρώτιστα Χάος ἐγένετο'. τὸ δὲ 'ἐγένετο' δῆλον ὅτι γεγενῆσθαι ὡς γενητὰ | [199 Mign.] σημαίνει, οὐ τὸ ἀεὶ εἶναι ὡς ἀγένητα. καὶ Ὀ. δὲ τὸ Χάος ὠιῶι παρεικάζει, ἐν ὧι τῶν πρώτων στοιχείων ἦν ἡ σύγχυσις. τοῦτο Ἡσίοδος Χάος ὑποτίθεται, ὅπερ Ὀ. ὠιὸν λέγει γενητόν, ἐξ ἀπείρου τῆς ὕλης προβεβλημένον, γεγονὸς δὲ οὕτω· (4) τῆς τετραγενοῦς[1] ὕλης ἐμψύχου οὔσης καὶ ὅλου ἀπείρου τινὸς βυθοῦ ἀεὶ ῥέοντος[2] καὶ ἀκρίτως φερομένου καὶ μυρίας ἀτελεῖς κράσεις [εἰς] ἄλλοτε ἄλλας[3] ἐπαναχέοντος[4] καὶ διὰ τοῦτο αὐτὰς ἀναλύοντος τῆι ἀταξίαι, καὶ κεχηνότος ὡς εἰς[5] γένεσιν ζώιου δεθῆναι μὴ δυναμένου, συνέβη ποτέ, αὐτοῦ τοῦ ἀπείρου πελάγους ὑπὸ ἰδίας φύσεως περιωθουμένου, κινήσει φυσικῆι εὐτάκτως ῥυῆναι ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ ὥσπερ ἴλιγγα καὶ μεῖξαι τὰς οὐσίας καὶ οὕτως ἐξ ἑκάστου[6] τῶν πάντων τὸ νοστιμώτατον, ὅπερ πρὸς γένεσιν[7] ζώιου ἐπιτηδειότατον ἦν, ὥσπερ ἐν χώνηι κατὰ μέσον ῥυῆναι τοῦ παντὸς καὶ ὑπὸ τῆς πάντα φερούσης ἴλιγγος χωρῆσαι εἰς βάθος καὶ τὸ περικείμενον πνεῦμα ἐπισπάσασθαι, καὶ ὡς εἰς γονιμώτατον συλληφθὲν ποιεῖν κριτικὴν σύστασιν. ὥσπερ γὰρ ἐν ὑγρῶι φιλεῖ γίνεσθαι πομ-

φόλυξ, οὕτως σφαιροειδὲς πανταχόθεν συνειλήθη[8] *κύτος.*[9] *ἔπειτα αὐτὸ ἐν ἑαυτῶι κυηθὲν ὑπὸ τοῦ παρειληφότος*[10] *θειώδους πνεύματος ἀναφερόμενον προέκυψεν εἰς φῶς μέγιστόν* | [75 Lag.] *τι τοῦτο ἀποκύημα, ὡς ἂν ἐκ παντὸς τοῦ ἀπείρου βυθοῦ ἀποκεκυημένον ἔμψυχον δημιούργημα, καὶ τῆι περιφερείαι τῶν ὠιῶν*[11] *προσεοικὸς καὶ τῶι τάχει*[12] *τῆς πτήσεως.*

1 *τετραγενοῦς*] *πρέσβυ? — πρωτο —?* Kroll in notis mihi traditis. an *πετραγενοῦς?* Hiller de G. 2 *ῥέοντος*] *ἔχοντος?* bar Chōnī. 3 *κράσεις ἄλλοτε ἄλλας* Daviesius, *κράσεις † εἰς ἄλλοτε ἄλλωσ* P, *κρίσεις* bar Chōnī. 4 *ἐπαναχέοντος*] *ἐπανέχοντος?* bar Chōnī. 5 *ὡς εἰς* P] *καὶ εἰς* O. 6 *ἐξ ἀκουστοῦ*] *ἐξ ἑκάστου* Daviesius probante Lob. 7 *γέννησιν* Cotelierius. 8 *συνειλήθη* Lob.] *συνελήφθη* codd., quod bar Chōnī legisse non videtur cf. Noeldeke 506 n. 10. 9 *κύτος* Cot., *νυκτὸς* codd. 10 *παρειληφότος*] *κατειληφότος* Lob. 11 *τῶν ὠιῶν*] an *τῶι ὠιῶι?* Kroll. 12 *τῶι τάχει*] *τῆι τάξει* bar Chōnī.

Cf. Rufin. Recognit. X 30 (Ed. Basil. 161; Migne PG 1, 1436) *omnis sermo apud Graecos, qui de antiquitatis origine conscribitur, cum alios multos, tum duos praecipuos auctores habet, Orpheum et Hesiodum. horum ergo scripta in duas partes intelligentiae dividuntur, id est, secundum litteram et secundum allegoriam, et ad ea quidem quae secundum litteram sunt, ignobilis vulgi turba confluxit. ea vero quae secundum allegoriam constant, omnis philosophorum et eruditorum loquacitas admirata est. O. igitur est, qui dicit primo fuisse Chaos sempiternum, immensum, ingenitum, ex* | [1437 Migne] *quo omnia facta sunt; hoc sane ipsum Chaos non tenebras dixit esse, non lucem, non humidum, non aridum, non calidum, non frigidum, sed omnia simul mista, et semper unum fuisse informe; aliquando tamen quasi ad ovi immanis modum, per immensa tempora effectam peperisse ac protulisse ex se duplicem quandam speciem, quam illi masculofeminam vocant, ex contraria admistione huius modi diversitatis speciem concretam; et hoc esse principium omnium, quod primum ex materia puriore processerit, quodque procedens discretionem quatuor elementorum dederit, et ex duobus quae prima sunt elementis fecerit coelum, ex aliis autem terram, ex quibus iam omnia participatione sui invicem nasci dicit et gigni. Haec quidem O.* Cf. fr. 56.

Lob. I 475. 536; Ziegler *N. Jahrb.* XXXI 1913, 564. 569.

56. (38) Apion ap. Clem. Roman. Homil. VI 5—12 (Migne 2, 200; P. de Lagarde Clementina 75, 3). Cf. versionem Syriacam Theodori bar Chōnī indicatam fr. 55. *Κρόνον οὖν τὸν χρόνον μοι*

νόει, τὴν δὲ Ῥέαν τὸ ῥέον τῆς ὑγρᾶς οὐσίας, ὅτι χρόνωι φερομένη ἡ ὕλη ἅπασα ὥσπερ ὠιὸν τὸν πάντα περιέχοντα σφαιροειδῆ ἀπεκύησεν οὐρανόν· ὅπερ κατ' ἀρχὰς τοῦ γονίμου μυελοῦ πλῆρες ἦν ὡς ἂν στοιχεῖα καὶ χρώματα παντοδαπὰ ἐκτεκεῖν δυνάμενον, καὶ ὅλως[1] παντοδαπὴν ἐκ μιᾶς οὐσίας τε καὶ χρώματος ἑνὸς ἔφερε τὴν φαντασίαν. ὥσπερ γὰρ ἐν τῶι τοῦ ταὼ γεννήματι ἓν μὲν τοῦ ὠιοῦ χρῶμα δοκεῖ, δυνάμει δὲ μυρία ἔχει ἐν ἑαυτῶι τοῦ μέλλοντος τελεσφορεῖσθαι χρώματα, οὕτως καὶ τὸ ἐξ ἀπείρου ὕλης ἀποκυηθὲν ἔμψυχον ὠιὸν ἐκ τῆς ὑποκειμένης καὶ ἀεὶ ῥεούσης ὕλης κινούμενον παντοδαπὰς ἐκφαίνει τροπάς. ἔνδοθεν γὰρ τῆς περιφερείας ζῶιόν τι ἀρρενόθηλυ εἰδοποιεῖται προνοίαι τοῦ ἐνόντος ἐν αὐτῶι θείου πνεύματος, ὃν Φάνητα Ὀ. καλεῖ, ὅτι αὐτοῦ φανέντος τὸ πᾶν ἐξ | 202 M. αὐτοῦ ἔλαμψεν, τῶι φέγγει τοῦ διαπρεπεστάτου τῶν στοιχείων πυρὸς ἐν τῶι ὑγρῶι τελεσφορουμένου. καὶ οὐκ ἄπιστον, ὅτι καὶ ἐπὶ λαμπυρίδων δείγματος ἕνεκα ἡ φύσις ἡμῖν ὁρᾶν ὑγρὸν φῶς ἐδωρήσατο. (6) τὸ μὲν οὖν πρωτοσύστατον ὠιοῦ ὑποθερμανθὲν ὑπὸ τοῦ ἔσωθεν ζώιου ῥήγνυται, ἔπειτα δὲ μορφωθὲν προέρχεται ὁποῖόν τι καὶ Ὀ. λέγει·

† κραναίου[2] σχισθέντος[3] ⏑ – πολυχανδέος ὠιοῦ·

καὶ οὕτω μεγάλη δυνάμει αὐτοῦ τοῦ προεληλυθότος φανέντος[4] τὸ μὲν κύτος τὴν ἁρμονίαν λαμβάνει καὶ τὴν διακόσμησιν ἴσχει,[5] αὐτὸς δὲ ὥσπερ ἐπ' ἀκρωρείας οὐρανοῦ προκαθέζεται καὶ ἐν ἀπορρήτοις τὸν ἄπειρον περιλάμπει[6] αἰῶνα. ἡ δὲ τοῦ κύτους ἔνδοθεν γόνιμος ὑπολειφθεῖσα ὕλη, ὡς ἐν πολλῶι τῶι χρόνωι ὑποκειμένης ἕως φυσικῆς[7] ὑποζέουσα ἡ θερμότης, τὰς[8] πάντων διέκρινεν οὐσίας. τὸ μὲν γὰρ κατώτερον αὐτῆς πρῶτον ὥσπερ ὑποστάθμη ὑπὸ τοῦ βάρους εἰς τὰ κάτω ὑποκεχώρηκεν,[9] ὃ διὰ τὴν ὁλκότητα καὶ διὰ τὸ ἐμβριθὲς καὶ πολὺ τῆς ὑποκειμένης οὐσίας πλῆθος Πλούτωνα προσηγόρευσαν, Ἅιδου τε καὶ νεκρῶν βασιλέα εἶναι ἀποφηνάμενοι. (7) ταύτην μὲν οὖν τὴν πρώτην καὶ πολλήν,[10] ῥυπαρὰν καὶ τραχεῖαν οὐσίαν ὑπὸ Κρόνου τοῦ χρόνου καταποθῆναι λέγουσιν φυσικῶς διὰ τὴν κάτω ὑπονόστησιν αὐτῆς. μετὰ δὲ τὴν πρώτην ὑποστάθμην τὸ συρρυὲν ὕδωρ καὶ πρώτηι ἐπιπολάσαν ὑποστάσει Ποσειδῶνα[11] προσηγόρευσαν. τὸ δὲ λοιπὸν τρίτον τὸ καθαρώτατον καὶ κορυφαιότατον ἅτε διαυγὲς ὂν πῦρ Ζῆνα ὠνόμασαν διὰ τὴν ἐν αὐτῶι ζέουσαν φύσιν· ἀνωφερὲς γὰρ ὂν τὸ πῦρ πρὸς μὲν τὰ κάτω

ὑπὸ χρόνου τοῦ Κρόνου οὐ κατεπόθη, ἀλλ', ὡς ἔφην, ἡ πυρώδης οὐσία ζωτική τε καὶ ἀνωφερὴς οὖσα εἰς αὐτὸν ἀνέπτη[12] τὸν ἀέρα, ὅς καὶ φρονιμώτατός ἐστι διὰ τὴν καθα | 203 Migne ρότητα. τῆι οὖν ἰδίαι θερμότητι ὁ Ζεὺς | 76 Lag. — τουτέστιν ἡ ζέουσα οὐσία — τὸ καταλειφθὲν ἐν τῶι ὑποκειμένωι ὑγρῶι τὸ ἰσχνότατον[13] καὶ θεῖον ἀνιμᾶται[14] πνεῦμα, ὅπερ Μῆτιν ἐκάλεσαν. (8) κατὰ κορυφῆς δὲ αὐτοῦ ἐλθὸν τοῦ αἰθέρος καὶ συμποθὲν ὑπ' αὐτοῦ ὥσπερ ὑγρὸν θερμῶι μιγέν, τὸν ἀεικίνητον παλμὸν ἐμποιῆσαν, γεννᾶι τὴν σύνεσιν, ἣν καὶ Παλλάδα ἐπονομάζουσι διὰ τὸ πάλλεσθαι, τεχνικωτάτην οὖσαν φρόνησιν, ἧι χρώμενος τὸν πάντα ἐτεχνήσατο κόσμον ὁ αἰθέριος τεχνίτης. ἀπ' αὐτοῦ δὲ τοῦ διήκοντος Διός, τοῦ θερμοτάτου αἰθέρος, ὁ ἀὴρ μέχρι τῶν ἐνταῦθα διικνεῖται τόπων, ἣν ἐπονομάζουσιν Ἥραν. καὶ ὡς δὴ τῆς τοῦ αἰθέρος καθαρωτάτης οὐσίας ὑποβεβηκυῖα, ὡς θήλεια τὴν καθαρότητα, πρὸς σύγκρισιν τοῦ κρείττονος ἀδελφὴ Διὸς κατὰ τὸ εἰκὸς ἐνομίσθη, ὡς ἐκ τῆς αὐτῆς οὐσίας γεγενημένη· γαμετὴ δὲ διὰ τὸ ὡς γυναῖκα ὑποκεῖσθαι. . . . (12) | 205 Mign. | 77, 7 Lag. κἀγὼ (sc. Κλήμης) ἀπεκρινάμην· παρίημι νῦν ἐπ' ἀκριβὲς λέγειν τὸ ἐκ τῆς ἀπείρου ὕλης κατὰ ἐπιτυχίαν[15] κράσεως ἀποκυηθὲν ἔμψυχον ὠιόν, οὗ ῥαγέντος κατά τινας ἀρρενόθηλυ ἐξέθορεν, Φάνης·[16] καὶ πάντ' ἐκεῖνα ἐπιτέμνομαι, μέχρις οὗ τὸ ῥαγὲν κύτος τὴν ἁρμονίαν ἔλαβεν, ὑπολειφθείσης αὐτοῦ μυελώδους ὕλης.

1 ὅλως ego] ὅμως codd. et edd. 2 κραναίον O, κρανάιον P, κεραμείον S; om. bar Chōnī; ἀκμαίον Lob., Ἠρικαπαίον Herm., ἀρχαίον Duentz. 3 post σχισθέντος add. ὑπὲκ Lob. 4 Φάνητος Schenkl. 5 ἴσχει in marg. schol., ἀνατέλλει P. 6 περιλάμπων Lagard. 7 ὑποκειμένη ἕως φυσικῶς O. 8 τὰς O, τησ P. 9 ὑποκεχώρηκεν O, ὑπεχώρηκεν P. 10 πολλὴν P, πολὺ O. 11 ποσιδῶνα P. 12 ἀνενέπτη P. 13 ἰσχυρότατον O. 14 ἀνιμᾶται Dav., ὀνῖματι P, ὀνόματι O. 15 ἐπ' ἐπιτυχίαν S. 16 ἀρρενόθηλυ ἐξέθορεν, Φάνης Lagard.; ἀρρενόθηλυς ἐξέθορεν Φάνης priores. An Φάνητα?

Cf. Rufin. Recognit. X 17—20 (Ed. Basil. 156, Migne PG 1, 1429) *aiunt ergo qui sapientiores sunt inter gentiles, primo omnium* *Chaos* *fuisse: hoc per multum tempus exteriores sui solidans partes, fines sibi et fundum quendam fecisse, tanquam in ovi immanis modum formamque collectum, intra quod multo nihilominus tempore, quasi intra ovi testam, fotum vivificatumque esse animal quoddam; disruptoque post haec immani illo globo processisse speciem quandam hominis duplicis formae, quam illi masculofeminam vocant; hunc etiam* *Phaneta*[m] *nominarunt, ab apparendo, quia cum appa* | 157 Bas. *ruisset, inquiunt, tunc etiam*

lux effulsit. et ex hoc dicunt progenitam esse substantiam, prudentiam, motum,[1] *coitum: ex his factum Coelum et Terram. ex Coelo sex progenitos mares, quos et Titanas appellant; similiter et de Terra sex feminas, quas Titanidas vocitarunt, et sunt nomina eorum quidem qui ex Coelo orti sunt, haec: Oceanus, Coeus, Crios, Hyperion, Iapetos, Cronos, qui apud nos Saturnus nominatur. similiter et earum quae e Terra ortae sunt nomina sunt haec: Theia, Rhea, Themis, Mnemosyne, Tethys, Phoebe.*[2] (18) *ex his omnibus qui primus fuerat e Coelo natus, primam Terrae filiam accepit uxorem, secundus secundam et caeteri similiter per ordinem. primus ergo qui primam duxerat, propter eam deductus est deorsum; secunda vero propter eum cui nupserat, ascendit sursum; et ita singuli per ordinem facientes, manserunt in his qui eis nuptiali sorte obvenerant locis.* (Cf. J. Kroll *Lehren d. Herm. Trismeg.* 237.) *ex istorum coniunctionibus alios quoque innumeros asserunt progenitos. sed de illis sex maribus unus, qui dicitur Saturnus, in coniugium accepit Rheam, et cum responso quodam commonitus esset, quod qui ex ea nasceretur for* | [1430 Migne] *tior ipso futurus esset regnoque eum depelleret, omnes qui ei nascerentur filios devorare instituit. huic ergo primus nascitur filius, quem Aiden appellarunt, qui apud nos Orcus nominatur, quem pro causis quibus supra diximus assumptum devorat pater. post hunc secundum genuit, quem Neptunum dicunt, quemque simili modo devoravit. novissimum genuit eum, quem Iovem appellant, sed hunc mater miserans Rhea, per artem devoraturo subtrahit patri, et primo quidem ne vagitus pueri innotesceret, Corybantas quosdam cymbala fecit ac tympana percutere, ut obstrepente sonitu vagitus non audiretur infantis.* (19) *sed cum ex uteri imminutione intellexisset pater editum partum, expetebat ad devorandum; tunc Rhea lapidem ei offerens magnum 'hunc genui' inquit. at ille accipiens absorbuit, et lapis devoratus eos quos primo absorbuerat filios, trusit et coëgit exire. primus ergo procedens descendit Orcus, et inferiora, hoc est inferna, occupat loca. secundus utpote illo superior super aquas detruditur, is quem Neptunum vocant. tertius qui arte matris Rheae superfuit, ab ipsa caprae superpositus in coelum emissus est.* (20) *Hactenus anilis gentilium fabula et genealogia processerit; sine fine enim est, si velim omnes generationes eorum quos deos appellant, et impia gesta proferre.*

1 *motum*] *pothum* dubitanter Lob. 2 *Phoebe* Migne] Hebe codd.

Lob. I 478. 535; Holwerda 313; Ziegler l. l. XXXI 1913, 564.

57. (39) Athenag. Pro Christianis 18 p. 20, 12 Schw. *οὐκ ἐξ ἀρχῆς, ὥς φασιν, ἦσαν οἱ θεοί, ἀλλ' οὕτως γέγονεν αὐτῶν ἕκαστος ὡς γιγνόμεθα ἡμεῖς· καὶ τοῦτο πᾶσιν αὐτοῖς ξυμφωνεῖται,*[1] *Ὁμήρου* (Il. Ξ 201 = 302) *μὲν* [*γὰρ*][2] *λέγοντος· 'Ὠκεανόν τε, θεῶν γένεσιν, καὶ μητέρα Τηθύν', Ὀρφέως δέ, ὃς καὶ τὰ ὀνόματα αὐτῶν πρῶτος ἐξηῦρεν καὶ τὰς γενέσεις διεξῆλθεν καὶ ὅσα ἑκάστοις πέπρακται εἶπεν καὶ πεπίστευται παρ' αὐτοῖς ἀληθέστερον θεολογεῖν* (cf. Herod. II 53, test. nr. 10), *ὧι καὶ Ὅμηρος τὰ πολλὰ καὶ περὶ θεῶν μάλιστα ἕπεται* (v. test. nr. 245), *καὶ αὐτοῦ τὴν πρώτην γένεσιν αὐτῶν ἐξ ὕδατος συνιστάντος· 'Ὠκεανός, ὅσπερ γένεσις πάντεσσι τέτυκται'* (Il. Ξ 246). *ἦν γὰρ ὕδωρ ἀρχὴ κατ' αὐτὸν τοῖς ὅλοις, ἀπὸ δὲ τοῦ ὕδατος ἰλὺς κατέστη, ἐκ δὲ ἑκατέρων ἐγεννήθη ζῶιον δράκων προσπεφυκυῖαν ἔχων κεφαλὴν λέοντος,*[3] *διὰ μέσου δὲ αὐτῶν θεοῦ πρόσωπον, ὄνομα Ἡρακλῆς καὶ Χρόνος. οὗτος ὁ Ἡρακλῆς ἐγέννησεν ὑπερμέγεθες ὠιόν, ὃ συμπληρούμενον ὑπὸ βίας τοῦ γεγεννηκότος ἐκ παρατριβῆς εἰς δύο ἐρράγη. τὸ μὲν οὖν κατὰ κορυφὴν αὐτοῦ Οὐρανὸς εἶναι ἐτελέσθη, τὸ δὲ* | [21 Schw.] *κάτω ἐνεχθὲν*[4] *Γῆ· προῆλθε δὲ καὶ θεός τις δισώματος.*[5] *Οὐρανὸς δὲ Γῆι μειχθεὶς γεννᾶι θηλείας μὲν Κλωθὼ Λάχεσιν Ἄτροπον,*[6] *ἄνδρας δὲ*[7] *Ἑκατόγχειρας Κόττον*[8] *Γύγην*[9] *Βριάρεων καὶ Κύκλωπας Βρόντην*[10] *καὶ Στερόπην καὶ Ἄργην·*[11] *οὓς καὶ δήσας κατεταρτάρωσεν, ἐκπεσεῖσθαι αὐτὸν ὑπὸ τῶν παίδων τῆς ἀρχῆς μαθών. διὸ καὶ ὀργισθεῖσα ἡ Γῆ τοὺς Τιτᾶνας ἐγέννησεν·*

κούρους δ' Οὐρανίωνας ἐγείνατο πότνια Γαῖα,
οὓς δὴ καὶ Τιτῆνας ἐπίκλησιν καλέουσιν,
οὕνεκα τεισάσθην[12] *μέγαν Οὐρανὸν ἀστερόεντα.*

1 *ξυμφωνεῖται* Schw., *ξυμφωνεῖ* A. 2 *γὰρ* del. Schw. 3 *καὶ ἄλλην ταύρου* post *λέοντος* add. Zoëga e Damascio (fr. 54); contradixit iure Norden *Herm.* XXVII 1893, 614 collato scholio in Gregor. Nazianz. Or. 31 c. 16 *τοὺς δὲ Φάνητας πλὴν ὀλίγων οἶμαι πολλοὺς ἀγνοεῖν, ὅτι εἷς μὲν οὗτος, κἂν πληθυντικῶς λέλεκται, ὑπὸ δέ τινων ἐμυθολογήθη θεολογούντων δῆθεν, ὡς ἐξ ὕδατος καὶ ἰλύος ἀναδοθέντος δράκοντος προσπεφυκυῖαν ἔχοντος λέοντος κεφαλήν, διὰ μέσου δὲ αὐτῶν θεοῦ πρόσωπον, ὃν Ἡρακλῆν φασι* (Nord.] *φησι* codd.) *κἀκ τούτων ὠιὸν γεννηθῆναι, ὅπερ ἡ τοῦ γεγεννηκότος* (M[1]] *γεννηθέντος* O) *ἐκ παρατριβῆς διελοῦσα, δύναμις, Φάνης ἡμῖν οὗτος θεὸς ἐξ αὐτοῦ ἐφάνη, ὃς τὸ μὲν τοῦ κελύφους ὡς γῆν καταλιπών, τὸ δὲ ὑπὲρ κεφαλῆς* (M[1]] *ὑπὲρ κεφαλήν* O) *αἰωρήσας τὸν οὐρανὸν ἀπετέλεσεν.* 4 *κάτω ἐνε-*

χθὲν Schw., *κάτω κατενεχθὲν* A. 5 *τις δισώματος* Lob. I 486*, *πτηνός τις δισώματος* Zeller cf. Diels ap. Kernium De Theogon. 25 n. 32 et Susemihl Ind. V; *γη* [*γῆι α*] *διὰ σώματος* A quam lectionem defendit Schuster 32 n. 1 premens verba *καὶ θεὸς non solum terra naturalis* (*γῆ*) *sed etiam dea Terra οὐκ ἐξ ἀρχῆς ἦσαν, sed sicut nos ex corpore quodam ortae sunt.* *Μῆτις ἀσώματος* Kern l. l. 25 cf. Platt *Journ. of Philol.* Lond. XXVI 1899, 230; *τρίτος* (*γ̄*) *ἤδη ἀσώματος* Th. Gomperz *Deutsche Literaturzeitung* 1888, 974 (*Hellenika* II 368); *προῆλθε δὲ καὶ θεός. Γῆ δὲ ἀσώματος* Beth *Wien. Stud.* XXXIV 1912, 299 n. 3. 6 *ἄτραπον* A. 7 *ἄνδρας δὲ*] *ἀ. τε* A. 8 *κόττυν* A. 9 *Γύγην*] *γύνη* A, *γύνην* a. *Γύ*[*ν*]*ην?* cf. Hesiod. Theog. 149. 10 *κροτην* A, corr. a. 11 *ἄργον* A. 12 *οὕνεκατι τιμωρήσωσιν ἢ τιμήσωσιν σασθην* A.

Zoëga *Abhandlg.* 239; Lob. I 386. 466. 504. 506; Schuster 31. 81; Kern De Theogon. 23; Gruppe *Suppl.* 725; Zeller I⁶ 127 n. 2; Geffcken *Zwei griech. Apologeten* 198; Nilsson *Arch. Religionsw.* XI 1908, 543.

Cum vers. Orphicis cf. Hesiod. Theog. 207

τοὺς δὲ πατὴρ Τιτῆνας ἐπίκλησιν καλέεσκε
παῖδας νεικείων μέγας Οὐρανός, οὓς τέκεν αὐτός·
φάσκε δὲ τιταίνοντας ἀτασθαλίηι μέγα ῥέξαι
ἔργον, τοῖο δ' ἔπειτα τίσιν μετόπισθεν ἔσεσθαι.

Ad vs. 2 *ἐπίκλησιν καλέουσιν* cf. Il. Σ 487 *ἄρκτον θ', ἣν καὶ ἄμαξαν ἐπίκλησιν καλέουσιν.*

58. (41) Athenag. Pro Christian. 20 p. 22, 10 Schw. *εἰ μὲν οὖν μέχρι τοῦ φῆσαι γεγονέναι τοὺς θεοὺς καὶ ἐξ ὕδατος τὴν σύστασιν ἔχειν τὸ ἀπίθανον ἦν αὐτοῖς τῆς θεολογίας, ἐπιδεδειχὼς ὅτι οὐδὲν γενητὸν ὃ οὐ καὶ διαλυτόν, ἐπὶ τὰ λοιπὰ ἂν παρεγενόμην τῶν ἐγκλημάτων. ἐπεὶ δὲ τοῦτο μὲν διατεθείκασιν αὐτῶν τὰ σώματα, τὸν μὲν Ἡρακλέα ὅτι θεὸς δράκων*[1] *ἑλικτός, τοὺς δὲ Ἑκατόγχειρας εἰπόντες, καὶ τὴν θυγατέρα τοῦ Διός, ἣν ἐκ τῆς μητρὸς Ῥέας καὶ Δήμητρος † ἢ δημήτορος*[2] *τὸν αὐτῆς ἐπαιδοποιήσατο, δύο μὲν κατὰ φύσιν* [*εἶπον*][3] *ἔχειν ὀφθαλμοὺς καὶ ἐπὶ τῶι μετώπωι δύο καὶ προτομὴν κατὰ τὸ ὄπισθεν τοῦ τραχήλου μέρος, ἔχειν δὲ καὶ κέρατα, διὸ καὶ τὴν Ῥέαν φοβηθεῖσαν τὸ τῆς παιδὸς τέρας φυγεῖν οὐκ ἐφεῖσαν αὐτῆι τὴν θηλήν, ἔνθεν μυστικῶς μὲν Ἀθηλᾶ κοινῶς δὲ Φερσεφόνη καὶ Κόρη κέκληται, οὐχ ἡ αὐτὴ οὖσα τῆι Ἀθηνᾶι τῆι ἀπὸ τῆς κόρης λεγομένηι·*[4] *τοῦτο δὲ τὰ πραχθέντα αὐτοῖς ἐπ' ἀκριβὲς*[5] *ὡς οἴονται διεξεληλύθασιν, Κρόνος μὲν ὡς ἐξέτεμεν τὰ αἰδοῖα τοῦ πατρὸς καὶ κατέρριψεν αὐτὸν ἀπὸ τοῦ ἅρματος καὶ ὡς ἐτεκνοκτόνει καταπίνων*[6] *τῶν παίδων τοὺς ἄρσενας, Ζεὺς δὲ ὅτι τὸν μὲν πατέρα δήσας κατεταρτάρωσεν, καθὰ καὶ τοὺς υἱεῖς ὁ*

Οὐρανός, καὶ πρὸς Τιτᾶνας περὶ τῆς ἀρχῆς ἐπολέμησεν καὶ | 23 Schw. *ὅτι τὴν μητέρα Ῥέαν ἀπαγορεύουσαν αὐτοῦ τὸν γάμον ἐδίωκε, δρακαίνης δ' αὐτῆς γενομένης καὶ αὐτὸς εἰς δράκοντα μεταβαλὼν συνδήσας αὐτὴν τῶι καλουμένωι Ἡρακλειωτικῶι ἅμματι ἐμίγη — τοῦ σχήματος τῆς μείξεως σύμβολον ἡ τοῦ Ἑρμοῦ ῥάβδος —, εἶθ' ὅτι Φερσεφόνηι τῆι θυγατρὶ ἐμίγη βιασάμενος καὶ ταύτην ἐν δράκοντος σχήματι, ἐξ ἧς παῖς Διόνυσος αὐτῶι· ἀνάγκη κἂν τοσοῦτον εἰπεῖν· τί τὸ σεμνὸν ἢ χρηστὸν τῆς τοιαύτης ἱστορίας, ἵνα πιστεύσωμεν θεοὺς εἶναι τὸν Κρόνον, τὸν Δία, τὴν Κόρην, τοὺς λοιπούς; αἱ διαθέσεις τῶν σωμάτων; καὶ τίς ἂν ἄνθρωπος † κεκριμένος*[7] *καὶ ἐν θεωρίαι γεγονὼς ὑπὸ θεοῦ γεννηθῆναι πιστεύσαι ἔχιδναν* [*Ὀρφεύς*][8]

> *ἂν δὲ Φάνης*[9] *ἄλλην γενεὴν τεκνώσατο δεινὴν*
> *νηδύος ἐξ ἱερῆς, προσιδεῖν φοβερωπὸν Ἔχιδναν,*
> *ἧς χαῖται μὲν ἀπὸ κρατὸς*[10] *καλόν τε πρόσωπον*
> *ἦν ἐσιδεῖν, τὰ δὲ λοιπὰ μέρη φοβεροῖο δράκοντος*
> *αὐχένος ἐξ ἄκρου*

ἢ αὐτὸν τὸν Φάνητα δέξαιτο, θεὸν ὄντα πρωτογόνον — οὗτος γάρ ἐστιν ὁ ἐκ τοῦ ὠιοῦ προχυθείς —, [*ἢ σῶμα*][11] *ἢ σχῆμα ἔχειν δράκοντος ἢ καταποθῆναι ὑπὸ τοῦ Διός, ὅπως ὁ Ζεὺς ἀχώρητος*[12] *γένοιτο; εἰ γὰρ μηδὲν διενηνόχασιν τῶν φαυλοτάτων θηρίων — δῆλον γὰρ ὅτι ὑποδιαλλάσσειν*[13] *δεῖ τῶν γηΐνων καὶ τῶν ἀπὸ τῆς ὕλης ἀποκρινομένων τὸ θεῖον —, οὐκ εἰσὶν θεοί. τί δὲ*[14] *καὶ πρόσιμεν αὐτοῖς, ὧν κτηνῶν μὲν δίκην ἔχει ἡ γένεσις, αὐτοὶ δὲ θηριόμορφοι καὶ δυσειδεῖς;*

1 *⟨καὶ λέων καὶ⟩ δράκων* Schw. 2 *καὶ Δήμητρος ἢ δημήτορος τὸν αὐτῆς* A] *καὶ Δήμητρος ἤδη προσ⟨α⟩γορευ⟨θεί⟩σης* Schw., *ἣν καὶ Δημήτερος ἀκτὴν λέγουσιν* vel *ἢ Δήμητρος τῆς ἀδελφῆς* dubitanter Geffck. 3 *εἶπον* del. Schw. 4 *Κόρης λεγομένηι* A] *κόρσης γενομένη p in mg. m. rec. quam coniecturam repetiit Lobeck, sed historiola de nominis Παλλὰς Ἀθήνη origine tangitur* Schw. 5 *αὐτοῖς ἐπ' ἀκριβὲς* Schw.] *ἐπακριβὲσ αὐτοῖσ* A. 6 *καταπεινων* A corr. a. 7 *ἀνοσ κεκριμένος* A; *νοῦν κεκτημένος* Schw.; *νῶι* vel *λόγωι κεχρημένος* Wilamowitz; *ἀ. ἠκριβωμένος*? Geffck. 8 *Ὀρφεὺς* del. Schw. 9 *αὖτε Φάνης* vel potius *ἔνθα Φ.* Duentzer: *σὺν δὲ Φάνης* Mullach, *σὺν δὲ Φάνητ'* Schuster 32 n. 5. 83; *πρὸς δὲ Φάνης* Herwerd. 10 *ἧς χαῖται μὲν παρθενικῆς* Herwerd. 11 *ἢ σῶμα* del. Wilamowitz. 12 *ἀχώρητος* cf. Geffck. 202 n. 6, *ἀκόρητος* Gesn.; *ἀχώριστος* Lob.; *ἀλόχευτος* Schenkl. 13 *πολὺ διαλλάσσειν* Schw. cf. Geffck. l. l. 14 *τί δαὶ* A.

Herm. VIII vs. 7; Lob. I 493. 548; Zoëga *Abhdlg.* 254; Herwerden *Herm.* V 1871. 140; Schuster 31. 83; Kern De Theogon. 29; Zeller I[6] 126; Geffcken *Zwei griech. Apologet.* 202.

Cf. ad vs. 1 ss. Hesiod. Theogon. 295:

ἡ δ' ἔτεκ' ἄλλο πέλωρον, ἀμήχανον, οὐδὲ ἐοικὸς
θνητοῖς ἀνθρώποις οὐδ' ἀθανάτοισι θεοῖσι,
σπῆϊ ἔνι γλαφυρῶι θείην κρατερόφρον' Ἔχιδναν,
ἥμισυ μὲν νύμφην ἑλικώπιδα καλλιπάρηιον,
ἥμισυ δ' αὖτε πέλωρον ὄφιν δεινόν τε μέγαν τε
αἰόλον ὠμηστὴν ζαθέης ὑπὸ κεύθεσι γαίης
. . . .
304 *ἡ δ' ἔρυτ' εἰν Ἀρίμοισιν ὑπὸ χθόνα λυγρὴ Ἔχιδνα,*
ἀθάνατος νύμφη καὶ ἀγήραος ἤματα πάντα.

Ad vs. 2 *νηδύος ἐξ ἱερῆς* cf. Hesiod. Theogon. 460.

59. (47) Athenag. Pro Christian. 32 p. 42, 18 Schw. *τοὺς μὲν οὖν θαυμαστὸν οὐδὲν λογοποιεῖν περὶ ἡμῶν ἃ περὶ τῶν σφετέρων λέγουσι θεῶν — καὶ ⟨γὰρ⟩*[1] *τὰ πάθη αὐτῶν δεικνύουσι μυστήρια· χρῆν δ' αὐτούς, εἰ δεινὸν τὸ ἐπ' ἀδείας καὶ ἀδιαφόρως μείγνυσθαι κρίνειν ἔμελλον, ἢ τὸν Δία μεμισηκέναι, ἐκ μητρὸς μὲν Ῥέας θυγατρὸς δὲ Κόρης πεπαιδοποιημένον, γυναικὶ δὲ τῆι ἰδίαι ἀδελφῆι*[2] *χρώμενον, ἢ τὸν τούτων ποιητὴν Ὀρφέα, ὅτι καὶ ἀνόσιον ὑπὲρ τὸν Θυέστην καὶ μιαρὸν ἐποίησεν τὸν Δία· καὶ γὰρ οὗτος τῆι θυγατρὶ κατὰ χρησμὸν ἐμίγη, βασιλεῦσαι θέλων*[3] *καὶ [Θυέστης]*[4] *ἐκδικηθῆναι — ἡμεῖς δὲ τοσοῦτον* . . .

1 *γὰρ* add. Wilamowitz. 2 *γυναικι διαδελφῆ* A, *ῆ* in *ῆι* corr. a; emend. Schwartz. 3 *βασιλεῦσαι θέλων* s. *βασιλεῦσ ἐθέλων* A. 4 *Θυέστης* del. Dechair.

Lob. I 548; Geffcken *Zwei griech. Apologet.* 231; Kern RE^2 IX 621.

Cf. Tatian. Or. ad Graec. 8 p. 9, 10 Schw. *Ζεὺς τῆι* (Mue.] *καὶ MPV*) *θυγατρὶ συγγίνεται, καὶ ἡ θυγάτηρ ἀπ' αὐτοῦ κυεῖ. μαρτυρήσει μοι νῦν Ἐλευσὶς καὶ δράκων ὁ μυστικὸς καὶ Ὀ. ὁ 'θύρας δ' ἐπίθεσθε βεβήλοις' λέγων* v. infra s. *ΙΕΡΟΙ ΛΟΓΟΙ* et *ΔΙΑΘΗΚΑΙ*.

4. *ΙΕΡΟΙ ΛΟΓΟΙ ΕΝ ΡΑΨΩΙΔΙΑΙΣ ΚΔ'*

Titulum praebet Suid. test. nr. 223d. Hoc carmine Neoplatonici usi sunt, qui maxime inde a Syriani aetate id interpretantur. Compositum est e singulis *Ἱεροῖς λόγοις*, quorum numerus non traditur, et dispositum in viginti quattuor rhap-

sodias ad Homeri carminum exemplar. Ab *Ἱερῶι λόγωι* ab Epigene Cercopi (test. nr. 174) ascripto distinguendum est nec demonstrari potest *Ἱεροὺς λόγους ἐν Ῥαψωιδίαις κδ'* cum Suida Cercopi vel Theogneto Thessalo (test. nr. 196) assignandos esse (Rohde *Psyche* II[6] 415). Quo tempore hoc magnum carmen varios Orphicorum *λόγους* comprehendens compositum sit, obscurum est. Quod quamvis multo ante Neoplatonicorum aetatem factum esse negem, tamen veterum carminum vestigia in eo conservata esse mihi extra omnem dubitationem positum est. Rhapsodiarum laudant quartam Aristocritus Manichaeus Theosophiae Tubingensis auctor (A. Brinkmann *Rhein. Mus.* LI 1896, 273) fr. 61, duodecimam Malalas fr. 62 vs. 4; *Ἱερῶν λόγων* citat quinquagesimum (?) Etymologicum M. fr. 63. Haec fragmenta initio collocavi ne quis me reliquias ordine genuino disponere ausum esse opinetur; nam hoc fieri nequit. Desunt permulta, desunt normae; nam Neoplatonici semper eadem citare, eadem tractare solent. Addendum est, multa in *Ἱεροῖς λόγοις* diversis carminis permagni locis repetita esse ut Noctis partes, Titanum *καταταρταρώσεις,* Veneris ortum alia. Aliquoties *Ἱεροὶ λόγοι* etiam ex argumento afferuntur ut *Θεογονία, Διονύσου ἀφανισμός, τὸ περὶ Διὸς καὶ Ἥρας, οἱ περὶ τῆς Ἵπτας λόγοι.* Hos locos infra eo delegavi quo res postulare videbatur. Versum celeberrimum *ἕκτηι δ' ἐν γενεῆι καταπαύσατε κόσμον ἀοιδῆς,* iam a Platone fr. 14 (adde Tannery *Arch. Gesch. Philos.* XI 1898, 15) laudatum, post sex deorum genera enarrata positum fuisse elucet.

Orphei carmen theogonicum quod haud dubie *Ἱερῶν λόγων* pars erat testantur Athenagoras *πρεσβ. περὶ Χριστιανῶν* c. 18, 12 Schw., Clem. Alex. Strom. VI 2, 26, 1 (II 442 Staeh.), Genethl. De encom. VI 144 (Rh. Gr. III 338, 5 Sp., cf. III 340, 27), Ioannes Malalas Chron. IV (fr. 62), Fulgentius Mitolog. III 9 p. 74, 8 Helm; cf. Simplic. in Aristotelis libros De Caelo I 3 p. 93, 11 Heib. *διὰ τοῦτο τὰς θεογονίας ἡμῖν οἱ θεῖοι ἄνδρες παραδεδώκασι θεῶν μὲν πλῆθος ἐν τῶι ἑνὶ μένον* [spectat ad Phanetis cataposin], Macrob. in Somn. Scipion. I 2, 9 *narratio fabulosa, non fabula, ut sunt caerimoniarum sacra, ut Hesiodi et Orphei quae de deorum progenie actuve narrantur, ut mystica Pythagoreorum sensa referuntur,* Michael. Syncell. in Vit. Dionysii Areopagitae p. 362 (Migne 4, 622) *τὰς κατ' Ὀρφέα τὸν πάντα τοῖς μουσικοῖς ἑλ* | [623 Migne] *κοντα κρούμασι μυθώδεις θεολογίας ἀσπαζόμενος καὶ τὴν γραοπρεπῆ παρ' Ἡσιόδωι Θεογονίαν ἀσμενι-*

ζόμενος, Gregor. Or. II contra Iulianum 168 (Migne 35, 704) *κατάβαλε τοὺς Τριπτολέμους σου καὶ τοὺς Κελεοὺς καὶ τοὺς μυστικοὺς δράκοντας· αἰσχύνθητί ποτε ταῖς τοῦ θεολόγου σου βίβλοις Ὀρφέως· δέξαι τοῦ καιροῦ τὸ δῶρον, τὴν ἀσχημοσύνην σοι συγκαλύπτοντος. εἰ δὲ ταῦτα μῦθοι καὶ πλάσματα, ἐγώ σου τὰ τῆς νυκτὸς ἀποκαλύψω μυστήρια.*

E Peripateticorum et Neoplatonicorum farragine addo hic Alexand. Aphrodis. in Aristotel. Meteor. B 353 a 32 p. 66, 12 Hayd. *τοὺς μὲν οὖν ἀρχαιοτέρους τε καὶ περὶ τὰς θεολογίας καταγινομένους — θεολόγους δὲ λέγει τοὺς περὶ θεῶν ἐπαγγελλομένους λέγειν, ὧν ἦν Ὅμηρος καὶ Ὀ. καὶ Ἡσίοδος, ὃς καὶ θεογονίαν συνέγραψε —, τούτους δή φησι ποιεῖν τινας τῆς θαλάσσης πηγάς, ἵνα αὐτοῖς ὦσιν ἀρχαί τε καὶ ῥίζαι ὁμοίως γῆς τε καὶ θαλάσσης, καὶ μὴ ἐξ ἄλλων τινῶν μεταβαλλόντων ἡ τούτων γένεσις ἦι, ἀλλ' οἰκείας ἀρχὰς ἔχωσιν*, eundem ap. Ioann. Philopon. De aeternit. mundi VI 27 p. 212, 16 Rabe (cf. Simplic. in Aristot. De caelo I 10, 279 b 12 p. 293, 11 Heib.) *περὶ μὲν οὖν τοῦ γεγονέναι τὸν κόσμον πάντας φησὶν* (sc. *Ἀριστοτέλης Περὶ οὐρανοῦ Γ* 1, 298 b 28) *ἀλλήλοις ὁμογνωμονεῖν τούς τε θεολόγους καὶ τοὺς φυσικούς, ἐν δὲ τοῖς μετὰ ταῦτα εἶναι τὴν διαφωνίαν αὐτοῖς. τοὺς μὲν γὰρ τῶν γεγονέναι λεγόντων ἀΐδιον φάσκειν αὐτὸν εἶναι· Ὀ. τε γὰρ καὶ Ἡσίοδος καὶ οἱ πλεῖστοι τῶν θεολόγων ἐπὶ ταύτης ἐγένοντο τῆς δόξης καὶ μετὰ τούτους Πλάτων*, Simplic. in Aristotel. De caelo III 1, 298 b 24 p. 560, 19 Heib. *τοῦτον* (sc. Hesiodum) *μὲν οὖν μάλιστα πάντα γενητὰ ποιεῖν φησιν, ὅτι καὶ τὸ πρῶτον* (sc. *τὸ Χάος*) *παρ' αὐτῶι γενέσθαι λέγει· τῶν δὲ ἄλλων πρώτους φυσιολογῆσαι τοὺς περὶ Ὀρφέα καὶ Μουσαῖον λέγειν εἰκός, οἵτινες πλὴν τοῦ πρώτου πάντα γενέσθαι λέγουσι. δῆλον δέ, ὅτι διὰ μύθων οὗτοι θεολογοῦντες γένεσιν ἐκάλουν τὴν ἀπὸ τῶν αἰτίων πρόοδον· διὸ καὶ τὸ πρῶτον αἴτιον πάντες ἀγένητον φυλάττουσι.* Procl. in Plat. Tim. III 143, 33 Diehl *ἔτι τοίνυν* | [144 Diehl] *θεατέον τὴν ἀναλογίαν τῆς γῆς, ἣν ἔχει πρὸς τὴν νοερὰν γῆν· ὡς γὰρ ἐκείνη περιέχει τάξεις θεῶν καὶ ὑφίστησι τελεσιουργούς, φρουρητικάς, Τιτανικάς, ὧν αἱ Ὀρφικαὶ θεολογίαι πλήρεις, οὕτω δὴ καὶ αὕτη δυνάμεις ἔχει ποικίλας . . .*, Theolog. Plat. I 4 p. 9, 38 *ἔστι δὲ ὁ μὲν διὰ τῶν συμβόλων τὰ θεῖα μηνύειν ἐφιέμενος* (sc. *τρόπος*) *Ὀρφικὸς καὶ ὅλως τοῖς τὰς θεομυθίας γράφουσιν οἰκεῖος, ὁ δὲ διὰ τῶν εἰκόνων Πυθαγόρειος*, in Plat. Parmenid. 130 b p. 801, 14 Cous.[2] *καὶ πολλὰ ἄν τις ἄλλα περὶ τὴν ἐξήγησιν τῶν θείων τούτων νοημάτων βαθύνας θεωρή-*

σειεν· ἀλλὰ νῦν τόγε τοσοῦτον ἐν τῶι παρόντι ληπτέον, ὅτι καὶ οἱ θεοὶ ταῖς τοῦ Πλάτωνος ἐπιβολαῖς ἐμαρτύρησαν, ἰδέας τε καλέσαντες τὰς νοερὰς ταύτας αἰτίας, καὶ κατ' αὐτὰς τετυπῶσθαι τὸν κόσμον εἰπόντες. εἰ τοίνυν καὶ οἱ λόγοι πείθουσιν ἡμᾶς πρὸς τὴν περὶ τούτων ὑπόθεσιν, καὶ οἱ σοφοὶ περὶ αὐτῶν συνηνέχθησαν Πλάτων, Πυθαγόρας, Ὀ. καὶ οἱ θεοὶ τούτοις ἐναργῶς ἐμαρτύρησαν, σμικρὰ φροντιστέον τῶν σοφιστικῶν λόγων, αὐτῶν ὑφ' ἑαυτῶν ἐληλεγμένων, οὐδὲν ἐπιστημονικὸν οὐδὲ ὑγιὲς λεγόντων, cf. Kroll De oracul. Chald. 7 n. 1.

Nonnullos *Ἱεροὺς λόγους* sicut Hymnos, Argonautica, Lithica alia Musaeo dedicatos fuisse fr. 61 docet. Apollinis acclamatio fr. 62 conferri potest cum Argonauticis 1 *Ὦναξ Πυθῶνος μεδέων, ἑκατηβόλε, μάντι.*

Ἱρὸς λόγος Orphicorum iam ap. Herod. II 81 test. nr. 216; v. etiam Plat. Epist. VII 335 a fr. 10 *παλαιοῖς τε καὶ ἱεροῖς λόγοις.* Neque praeterire volo Philodem. De pietat. 51, 2—11 p. 23 Gomp. *Σοφοκλῆς ἐ⟨ν Ἰνά⟩χωι* (TGF² 193 fr. 268) *τὴν γῆν μ⟨ητέ⟩ρα τῶν θεῶν φη⟨σιν⟩, ἐν Τριπτολέμ⟨ωι* (ibidem 266 fr. 558) *δὲ⟩ καὶ Ἑστίαν εἶ⟨ναι·⟩ Κλείδημος δὲ μητέρα θεῶν, ὃ κἀν τοῖς Ἱεροῖς λ⟨ό⟩γοις τινὲς ἐξε⟨ν⟩ην⟨ό⟩χασιν.* Cf. etiam Plut. Quaest. Sympos. II 3, 1 p. 636 d *'ἀείσω ξυνετοῖσι'* (v. s. *ΔΙΑΘΗΚΑΙ*) *τὸν Ὀρφικὸν καὶ ἱερὸν λόγον, ὃς οὐκ ὄρνιθος μόνον τὸ ὠιὸν ἀποφαίνει πρεσβύτερον, ἀλλὰ καὶ συλλαβὼν ἅπασαν αὐτῶι τὴν ἁπάντων ὁμοῦ πρεσβυγένειαν ἀνατίθησι. Ἱερὸν λόγον* de Aegypto commemorant Argonaut. 43 test. nr. 224 p. 67 vs. 32. 43—45 (v. infra s. *ΙΕΡΟΣ ΛΟΓΟΣ* [*ΑΙΓΥΠΤΙΟΣ*].

De Hieronymi et Hellanici Theogonia multis modis cum *Ἱεροῖς λόγοις* consentiente cf. p. 132.

60. (48) Damasc. De princ. 123 (I 316, 18 Rue.) *ἐν μὲν τοίνυν ταῖς φερομέναις ταύταις ῥαψωιδίαις* (v. fr. 54) *Ὀρφικαῖς ἡ θεολογία ἥδε*[1] *τίς ἐστιν ἡ περὶ τὸ νοητόν,*[2] *ἣν καὶ οἱ φιλόσοφοι διερμηνεύουσιν, ἀντὶ μὲν τῆς μιᾶς τῶν ὅλων*[3] *ἀρχῆς τὸν Χρόνον τιθέντες, ἀντὶ δὲ τοῖν δυεῖν*[4] *Αἰθέρα* | [317 Rue.] *καὶ Χάος, ἀντὶ δὲ τοῦ ὄντος ἁπλῶς τὸ ὠιὸν ἀπολογιζόμενοι, καὶ τριάδα ταύτην πρώτην ποιοῦντες· εἰς δὲ τὴν δευτέραν*[5] *τελεῖν ἤτοι τὸ κυούμενον καὶ τὸ κύον ὠιὸν τὸν θεόν, ἢ τὸν ἀργῆτα χιτῶνα,*[6] *ἢ τὴν νεφέλην,*[7] *ὅτι ἐκ τούτων ἐκθρώσκει ὁ Φάνης· ἄλλοτε γὰρ ἄλλα περὶ τοῦ μέσου φιλοσοφοῦσιν. τοῦτο μὲν* [*οὖν*][8] *ὁποῖον ἂν ἦι, ὡς τὸν νοῦν,*[9] *ὡς δὲ πατέρα καὶ δύναμιν, ἄλλα τινὰ προσεπινοοῦντες οὐδὲν τῶι Ὀρφεῖ προσήκοντα, τὴν*

δὲ τρίτην[10] τὸν Μῆτιν ⟨ὡς νοῦν⟩,[11] τὸν Ἠρικεπαῖον[12] ὡς δύναμιν, τὸν Φάνητα αὐτὸν ὡς πατέρα. μήποτε δὲ καὶ τὴν μέσην τριάδα θετέον κατὰ τὸν τρίμορφον θεὸν ἔτι κυόμενον ἐν τῶι ὠιῶι· καὶ γὰρ[13] τὸ μέσον ἀεὶ φαντάζει συναμφότερον τῶν ἄκρων, ὥσπερ καὶ τοῦτο ἅμα καὶ ὠιὸν καὶ τρίμορφος θεός.[14] καὶ ὁρᾶις ὅτι τὸ μὲν ὠιόν ἐστιν τὸ ἡνωμένον, ὁ δὲ τρίμορφος καὶ πολύμορφος τῶι ὄντι θεὸς τὸ διακεκριμένον τοῦ νοητοῦ, τὸ δὲ μέσον κατὰ μὲν τὸ ὠιὸν ἔτι ἡνωμένον, κατὰ δὲ τὸν θεὸν ἤδη διακεκριμένον, τὸ δὲ ὅλον εἰπεῖν[15] διακρινόμενον. τοιαύτη μὲν ἡ συνήθης Ὀρφικὴ θεολογία.

1 ἥδε Diels; τοιάδε Kroll *Rhein. Mus.* LII 1897, 289; δὲ M, δὴ ex apographo Oxon. Bentley Epist. ad Mill. Opusc. phil. Lips. 1781, 454. 2 περὶ τὸν νοητὸν sc. διάκοσμον Bentl. 3 τῶν ὅλων om. idem. 4 ἀντὶ γὰρ ταῖν δυοῖν idem. 5 εἰς γὰρ τὴν δ. Bentl. 6 τὸν ῥαγέντα χ. coni. Bentl. 455 collato Damasc. 98 (I 253, 12 Rue.) οὐχὶ δὲ καὶ Ὀ. ἀπὸ τοῦ ὠιοῦ παράγει καὶ τῆς νεφέλης ῥαγείσης τὸν πολυτίμητον Φάνητα, πρόοδον καὶ ἐκεῖνος ἐν τῶι νοητῶι ὑποστησάμενος; 7 νεφέλην] κελύφην Schuster 82 n. 5 *'h. e. testam id quod Dam. verborum* τὸν ἀργῆτα χ. *explicandorum causa addere potuit'*. 8 οὖν om. recte M v. Kroll 289. 9 ὡς ⟨μὲν⟩ τὸν νοῦν dubit. Rue. 10 εἰς δὲ τὴν τρίτην falso Lob. et Heitz ap. Kernium De Theog. 6; v. Kroll 290. 11 ὡς νοῦν M in marg. quod Lob. iam suppleverat. 12 de lectione Ἠρικεπαῖον v. fr. 31. 13 καὶ post γὰρ perperam add. Rue., v. Kroll 290. 14 ὁ ante θεός *scr. quidem M, sed puncto supra posito delevit* Kroll. 15 εἰπεῖν M; ἔτι Kroll.

Lob. I 483; Diels II³ 171 n. 12; Schuster 20 ss.; Kern De Theogon. 2 ss.; Gruppe *Suppl.* 689 et passim; Susemihl Ind. III; Zeller I⁶ 129; Holwerda 294.

61. Aristocrit. Manich. Θεοσοφία Tubing. 61 p. 116, 15 Bur. (cf. supra p. 141) ὅτι ἐν πολλοῖς Φάνητα φερωνύμως ὁ Ὀ. προσαγορεύει τὸν μονογενῆ, τὸν υἱὸν τοῦ θεοῦ. οἴεται γὰρ αὐτῶι πρέπειν[1] τὸ ὄνομα ὡς ἀϊδίως καὶ ἀοράτως πανταχοῦ φαίνοντι καὶ ὡς πᾶσι τὸ ἐκ μὴ ὄντων φανῆναι παρασχομένωι.[2] μεμνημένος[3] οὖν πολλαχῆι τοῦ μυθευομένου Διὸς | [117 Bur.] καὶ τοῦ Διονύσου, ὃν Φάνητα προσαγορεύει, δημιουργὸν πάντων αὐτὸν εἰσάγει τὸν Φάνητα ὡσανεὶ τὸν τοῦ θεοῦ υἱόν, δι' οὗ τὰ πάντα ἐφάνη, διὸ καὶ ἐν τῆι τετάρτηι ῥαψωιδίαι πρὸς Μουσαῖον οὕτω λέγει·

ταῦτα νόωι πεφύλαξο, φίλον τέκος, ἐν πραπίδεσσιν,
εἰδώς περ μάλα πάντα παλαίφατα κἀπὸ[4] Φάνητος.

1 πρέπειν Bur.] τρέπειν T. 2 παρασχομένῳ ex παρασχομένου corr. T (Weinreich). 3 μεμνημένος Bur.] μεμνημένον T (Weinr.). 4 κἀπὸ Bur.] κὰκ T, τ' ἀπὸ Hiller de Gaertringen.

62. (49) Ioann. Malal. Chronograph. IV 88—92 p. 72, 16 Dind. (test. nr. 21) ∼ Georg. Cedren. Histor. compend. I 101, 11 Bekk. vs. 1—3 etiam ap. Tzetz. Exeges. in Iliad. 53, 17 Herm. *μετὰ δὲ βραχὺ ἡγήσατο τοῦ Ἰσραὴλ Γεδεών. ἐν αὐτῶι δὲ τῶι χρόνωι ἦν Ὀ. ὁ Θρᾶιξ, ὁ λυρικὸς Ὀδρυσαῖος* (v. test. nr. 223 e), *ὁ σοφώτατος καὶ περιβόητος ποιητής· ὅστις ἐξέθετο θεογονίαν καὶ κόσμου κτίσιν καὶ ἀνθρώπων πλαστουργίαν, εἰρηκὼς ἐν τῆι ἀρχῆι τοῦ συντάγματος αὐτοῦ, ὅτι ἐκ τῆς ἰδίας αὐτοῦ ἐνθυμήσεως οὐκ ἐξέθετό τί ποτε περὶ θεοῦ ἢ τῆς κοσμικῆς κτίσεως, ἀλλ' εἶπεν, ὅτι* | 73 Dind. *αἰτησαμένου διὰ ἰδίας αὐτοῦ εὐχῆς μαθεῖν παρὰ τοῦ Φοίβου Τιτᾶνος Ἡλίου τὴν θεογονίαν καὶ τὴν κόσμου κτίσιν καὶ τίς ἐποίησεν αὐτήν. ἐμφέρεται γὰρ ἐν τῆι αὐτοῦ ἐκθέσει διὰ ποιητικῶν στίχων οὕτως·*

Ὦναξ,[1] *Λητοῦς υἱ', ἑκατηβόλε, Φοῖβε κραταιέ,*

ὦ δέσποτα, ἡμέρας υἱέ, ὁ τὰ πάντα πόρρωθεν ταῖς ἀκτῖσί σου τοξεύων, ἀμίαντε καὶ δυνατέ,

πανδερκές,[2] *θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσων,*

ὁ τὰ πάντα ἐπιβλέπων, θνητῶν καὶ ἀθανάτων βασιλεύων,

Ἠέλιε,[3] *χρυσέαισιν*[4] *ἀειρόμενε*[5] *πτερύγεσσιν,*

Ἥλιε τιμίαις εἰς τὸν ἀέρα ὑψούμενε πτέρυξι,

δωδεκάτην δὴ τήνδε παραί σεο[6] *ἔκλυον ὀμφήν,*

δωδεκάτην δὴ ταύτην παρά σου ἤκουσα θείαν φωνήν,

σεῦ φαμένου·[7] *σὲ δέ γ'*[8] *αὐτόν, ἑκηβόλε, μάρτυρα θείην.*[9]

σοῦ εἰρηκότος μοι, σὲ δ' αὐτὸν τὸν ἀπὸ μακρόθεν λάμποντα τίθημι. καὶ ἄλλους δὲ πολλοὺς περὶ τούτου εἶπε στίχους ὁ αὐτὸς Ὀ.· ἔφρασε δὲ ὡς ἐκ τῶν προειρημένων στίχων ποιητικῶν ἐξέθετο· καὶ οὐκ ἐνεδέχετο ἐντάξαι τὸ πλῆθος τῶν στίχων | 74 Dind. *ἐν τῆι συγγραφῆι ταύτηι.* Vs. 1—3 praebet etiam ex eodem fonte *Μαρτύρ. τῆς Ἁγ. Αἰκατερίνης* III 11 p. 51 Viteau *ἔπειτα Ὀ. ὁ περίβλεπτος ἐν τῆι αὐτοῦ Θεογονίαι οὕτω πως ἀπευχαριστῶν τῶι Ἀπόλλωνι· Ὦ ἄνα . . . πτερύγεσσιν.*

1 *ὦ ἄναξ* Mal., *ὦναξ* Scaliger] *Ὦ ἄνα* Cedren. Martyr. Tzetz. cf. Bentl. Epist. ad Millium Opusc. phil. Lips 1781, 456. 2 *πανδερκής* Martyr. 3 *Ἠέλιε* Cedren. Tzetz.] *ἠέλιε* Martyr. *Ἥλιε* Mal. 4 *χρυσέοισιν* Oxon., *χρυσῇσιν* Tzetz.; *χρυσέῃσιν* Herm. 5 *ἀειρόμενε* Cedren. Tzetz.] *ἀερόμενε* Mal. 6 *παραὶ σέο* Bentl.] *παρὰ σεῖο* Mal., *περί σου* Cedren., *πυρίσσοον* Scaliger, *περισσὴν* Herwerd. *Herm.* V 1871, 141. 7 *σεῦ φαμένου* Bentl.] *σεῖο φαμένου* codd. 8 *σὲ δέ γ'* Bentl.] *σὲ δὲ αὐτόν* codd. 9 *θείην* codd., *θείμην* Herwerd.

Herm. XXXII; Lob. I 417. 468; Schuster 24; Rohde *Psyche* II⁶ 113 n. 1; Gruppe *Suppl.* 694; Maaß *Orph.* 185 n. 24.

Ad vs. 1 v. Theophil. ad Autolyc. III 17 p. 128 b (230 Otto) *οὐχὶ καὶ οἱ ποιηταὶ Ὅμηρος καὶ Ἡσίοδος καὶ Ὀ. ἔφασαν ἑαυτοὺς ἀπὸ θείας προνοίας μεμαθηκέναι* et fr. 49 init.; ad vs. 3 cf. cod. Monac. 70 Hermeticum ab Heegio Catal. codic. astrol. graec. VIII 2, 156, 6 editum *ὁρκίζω σε Ἥλιε ἄφαντε, ἀκατέργαστε, ἡμεροφεγγής, εἰς τὸν χρονικόν σου κύκλον καὶ εἰς τοὺς τέσσαράς σου καιροὺς καὶ εἰς τὴν ὁδόν σου καὶ εἰς τὰς ἀκτῖνάς σου καὶ εἰς τὰς πτέρυγάς σου καὶ εἰς τὰς ἐνεργείας σου κτλ.*

63. (44) Etymol. M. 231, 21 s. *Γίγας* (Natalis Comes Mytholog. Ven. 1568, 194). Edo ex Etym. genuin. (A [Vat. 1818], B [Marc.]), cuius lectionem mecum comiter communicavit R. Reitzenstein. *Γίγας παρὰ τὸ ἐκ τῆς γῆς ἰέναι· οἷον·*

οὓς καλέουσι Γίγαντας ἐπώνυμον ἐν μακάρεσσιν,[1]
οὕνεκα Γῆς ἐγένοντο καὶ αἵματος Οὐρανίοιο.

οὕτως Ὀ. ἐν τῶι N̄[2] *Ἱεροῦ λόγου.*

1 MAK ... cod. B, qui quae sequuntur non habet. 2 *ἐν τῶι N̄* in cod. A] numerus haud dubie depravatus, *ἐν τῶι ὀγδόωι τοῦ ἱεροῦ λόγου* praebet Sylb.

Lob. I 469. 508. 714; Susemihl Ind. III n. 2.

Cf. Hesiod. Theogon. 105 *κλείετε δ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων, οἳ Γῆς τ' ἐξεγένοντο καὶ Οὐρανοῦ ἀστερόεντος, Νυκτός τε δνοφερῆς . . .*; fr. 32 a vs. 6; b I—III vs. 3; Hymn. XXXVII (*Τιτάνων*) vs. 1 *Τιτῆνες, Γαίης τε καὶ Οὐρανοῦ ἀγλαὰ τέκνα.*

64. Damasc. De princ. 111 (I 285, 7 Rue.) *τί δέ; ὁ θεῖος Ὀ. οὐ πολλοὺς θεοὺς ὑφίστησιν ἀπὸ τοῦ Χρόνου μέχρι τοῦ πρωτογόνου Φάνητος; αὐτὸς δὲ ὁ πολυτίμητος ἡμῖν φιλόσοφος ὁ Πλάτων οὐχὶ τρία συμπεράσματα συμπεραίνεται ἐπὶ τοῦ ἑνὸς ὄντος; ταὐτὸν δὲ εἰπεῖν, οὐ τρεῖς νοητὰς παραδίδωσι θείας τάξεις ἀλλήλων διαφερούσας; ὥστε ζητητέον, ὅπως ταῦτα* (an *ταὐτὰ?*) *νοοῦντες οἵ τε θεοὶ καὶ οἱ θεῶν ἀγχίσποροι ἄνδρες παραδεδώκασιν· αὐτίκα τοῖς θεουργοῖς οἱ θεοὶ πῶς τὰς νοητὰς ἐκδεδώκασιν τριάδας;*

Lob. I 470; Holwerda 303.

65. (56) Ioann. Malal. Chronogr. IV 89 p. 74 Dind. ~ Georg. Cedren. I 102, 8 Bekk. (v. etiam I 148, 7) ~ Suid. s. *Ὀρφεύς*. *ἔστι δὲ ἅπερ ἐξέθετο Ὀ. ταῦτα. ὅτι ἐξ ἀρχῆς ἀνεδείχθη τῶι Χρόνωι ὁ Αἰθὴρ ἀπὸ τοῦ θεοῦ δημιουργηθεὶς καὶ*

ἐντεῦθεν κἀκεῖθεν τοῦ Αἰθέρος ἦν Χάος καὶ Νὺξ ζοφερὰ πάντα κατεῖχε καὶ ἐκάλυπτε τὰ ὑπὸ τὸν Αἰθέρα, σημαίνων τὴν Νύκτα πρωτεύειν, εἰρηκὼς ἐν τῆι αὐτοῦ ἐκθέσει ἀκατάληπτόν τινα καὶ πάντων ὑπέρτατον εἶναι καὶ προγενέστερον δὲ καὶ δημιουργὸν ἁπάντων καὶ τοῦ Αἰθέρος αὐτοῦ καὶ τῆς Νυκτὸς καὶ πάσης τῆς ὑπὸ τὸν Αἰθέρα οὔσης καὶ καλυπτομένης κτίσεως· τὴν δὲ Γῆν εἶπεν ὑπὸ τοῦ σκότους ἀόρατον οὖσαν· ἔφρασε δὲ ὅτι τὸ φῶς ῥῆξαν τὸν Αἰθέρα ἐφώτισε τὴν Γῆν καὶ πᾶσαν τὴν κτίσιν, εἰπὼν ἐκεῖνο εἶναι τὸ φῶς τὸ ῥῆξαν τὸν Αἰθέρα τὸ προειρημένον τὸ ὑπέρτατον πάντων, οὗ ὄνομα ὁ αὐτὸς Ὀ. ἀκούσας ἐκ τῆς μαντείας (v. fr. 62) *ἐξεῖπε Μῆτιν Φάνητα Ἠρικεπαῖον*·[1] *ὅπερ ἑρμηνεύεται τῆι κοινῆι γλώσσηι βουλή, φῶς, ζωιοδοτήρ*·[2] *εἰπὼν ἐν τῆι αὐτοῦ ἐκθέσει τὰς αὐτὰς τρεῖς θείας τῶν ὀνομάτων δυνάμεις μίαν εἶναι δύναμιν καὶ κράτος τοῦ μόνου θεοῦ, ὃν οὐδεὶς ὁρᾶι, ἧστινος δυνάμεως οὐδεὶς δύναται γνῶναι ἰδέαν ἢ φύσιν, ἐξ αὐτῆς δὲ τῆς δυνάμεως τὰ πάντα γεγενῆσθαι, καὶ ἀρχὰς ἀσωμάτους καὶ ἥλιον καὶ σελήνην, ἐξουσίας καὶ ἄστρα πάντα καὶ γῆν καὶ θάλασσαν, τὰ ὁρώμενα ἐν αὐτοῖς πάντα καὶ τὰ ἀόρατα.*

1 *Μῆτιν Φάνητα Ἠρικεπαῖον* Bentl.] *μή τινα φᾶναι τὰ ἐρικεπεὼ* Oxon.; *Φ. Η.* om. Cedren. Suid. 2 *ζωή* Cedren. I 147; *ὅπερ ὠνόμασε βουλήν, φῶς, ζωήν* Suid.

Lob. I 479; Roeper Lection. Abulpharag. I (*Progr. Danzig* 1844), 8. De Ericepaei nomine ac vi v. Waser *RE*² VI 452; addendus est titulus arae Hierocaesareensis fr. 31 p. 103 s. De significatione *ζωιοδοτήρ* v. Beth *Wien. Stud.* XXXIV 1912, 292.

66. (52). Procl. in Plat. Rempubl. II 138, 8 Kr. (v. Kroll *Philol.* LIII 1894, 561) *τίνες δὴ οὖν αἱ δυάδες αὗται; πρῶτον μὲν οὖν ἐκεῖνό μοι δοκεῖ μὴ παρέργως ὁ Πλάτων ὀνομάσαι χάσματα τὰς δύο δυάδας, ἀλλ' εἰδὼς καὶ τὸν θεολόγον Ὀρφέα τούτωι τῶι ὀνόματι καλοῦντα τὴν πασῶν κινήσεων καὶ προόδων πρωτουργὸν ἐν τοῖς νοητοῖς αἰτίαν, ἣν οἱ Πυθαγόρειοι δυάδα νοητὴν καὶ ἀόριστον προσηγόρευον*·

a *Αἰθέρα μὲν Χρόνος οὗτος ἀγήραος,*[1] *ἀφθιτόμητις*
γείνατο καὶ μέγα χάσμα πελώριον ἔνθα καὶ ἔνθα

καὶ μικρὸν ὕστερον fr. 72.

Vs. 2 *καὶ μέγα . . . ἔνθα* citant etiam Syrian. in Aristot. Metaph. B 4 p. 1000 b 14 (43, 30 Kr.), Simplic. in Aristot. Phys. IV, 1 p. 208 b 29 (I 528, 12 Diels) *ἔοικε δὲ τοιαύτη τις τότε τῶν*

Ἡσιόδου ἐπῶν ἐπιπολάζειν ἐξήγησις τὸ Χάος εἰς χώραν μεταλαμβάνουσα. δηλοῖ δὲ οὐ χώραν ἀλλὰ τὴν ἀπειροειδῆ καὶ πεπληθυσμένην τῶν θεῶν αἰτίαν, ἣν Ὀ. 'χάσμα πελώριον' ἐκάλεσε. μετὰ γὰρ τὴν μίαν τῶν πάντων ἀρχήν, ἣν Ὀ. Χρόνον ἀνυμνεῖ ὡς μέτρον οὖσαν τῆς μυθικῆς τῶν θεῶν γενέσεως, Αἰθέρα καὶ τὸ 'πελώριον χάσμα' προελθεῖν φησι, τὸν μὲν τῆς περατοειδοῦς προόδου τῶν θεῶν αἴτιον, τὸ δὲ τῆς ἀπειροειδοῦς. καὶ λέγει περὶ αὐτοῦ·

b οὐδέ τι πεῖραρ[2] ὑπῆν,[3] οὐ πυθμήν, οὐδέ[4] τις ἕδρα.

Procl. laudat in Platon. Parmenid. 137 d VI p. 1120, 28 Cous.[2] οὐδέ τι πεῖρας ὑπῆν, in Tim. 30 a (I 385, 29 Diehl) χάσμα μὲν γάρ ἐστιν ὡς χώρα τῶν εἰδῶν καὶ τόπος, οὔτε δὲ πεῖραρ οὔτε | [386 Diehl] πυθμὴν οὔτε ἕδρα περὶ αὐτήν ἐστιν, ὡς ἄστατον καὶ ἄπειρον καὶ ἀόριστον οὖσαν· ἀζηχὲς δὲ αὖ σκότος καὶ αὐτὴ ὡς ἀνείδεον λαχοῦσα τὴν φύσιν ὀνομάζοιτο ἄν — ὥστε καὶ Ὀ. κατὰ τοῦτον τὸν λόγον ἀπὸ τῆς πρωτίστης τῶν νοητῶν ὑποστάσεως παράγει τὴν ὕλην· ἐκεῖ γὰρ τὸ ἀζηχὲς σκότος καὶ τὸ ἄπειρον, καὶ ταῦτα μὲν κρειττόνως τῶν ἐφεξῆς, τῆι δὲ ὕληι τὸ ἀλαμπὲς δι' ἔνδειαν καὶ τὸ ἄπειρον, οὐ κατὰ δυνάμεως περιουσίαν, ἀλλὰ κατ' ἔλλειψιν, in Tim. 30 c. d (I 428, 4 Diehl) ἦν δὲ τὸ ὠιὸν ἐκεῖνο τοῦ τε Αἰθέρος ἔγγονον καὶ τοῦ Χάους, ὧν ὁ μὲν κατὰ τὸ πέρας ἵδρυται τῶν νοητῶν, τὸ δὲ κατὰ τὸ ἄπειρον. ὃ μὲν γάρ ἐστι ῥίζωμα τῶν πάντων (v. Empedocl. fr. 6, 1 Diels I³ 226), τῶι δὲ οὐδὲν πεῖραρ ὑπῆν (v. fr. 79). Nihil addunt Syrian. in Aristot. Metaph. B 1 p. 996 a 1 (10, 12 Kr.), B 4 p. 1000 a 19 (43, 12 Kr.), N 4 p. 1091 b 4 (p. 182, 18 Kr.) et Procl. in Tim. 24 e (I 176, 13 Diehl), in Parmenid. 137 d VI p. 1121, 27 Cous.[2]; Damasc. De princ. 50 (I 100, 19 Rue.).

1 ἀγήραος non ἀγήρατος v. fr. 54 n. 3. 2 πεῖραρ Simplic. EF Procl. in Tim. 30 a; πείρας Simpl. Ald.; πεῖρας Procl. in Parm. 137 d. 3 ὑπῆν Simpl. E Procl.; ἦν Simpl. F, ἔην Simpl. Ald. 4 οὐ Simpl. EF; οὐδὲ Ald.

Lob. I 472; Kern De Theogon. 3; Holwerda 290. 292. 300. 306.

Hesiod. Theogon. 386 τῶν οὐκ ἔστ' ἀπάνευθε Διὸς δόμος οὐδέ τις ἕδρη.

67. (52) Procl. in Plat. Parmen. 139 b VII p. 1175, 7 Cous.[2] ἀδιακρίτων πάντων ὄντων κατὰ σκοτόεσσαν ὁμίχλην, φησὶν ὁ θεολόγος cf. Hieronymi Theogon. fr. 54. Huc etiam quadrat ἀζηχὲς σκότος fr. 66.

Lob. I 474; Kern De Theogon. 10; Holwerda 307, qui coniungit cum fr. 71 a.

Imitantur Hymn. VI [v. fr. 87] (*Πρωτογόνου*) vs. 6 *ὄσσων ὃς σκοτόεσσαν ἀπημαύρωσας ὀμίχλην* et Argonaut. 521 *ἐν δ' ἔπεσαν* (sc. *Δολιεῖς*) *Μινύῃσι κατὰ σκοτόεσσαν ὀμίχλην.*

68. (50) Procl. in Plat. Cratyl. 396 b. c p. 59, 14 Pasqu. *ὅτι τὸν Κρόνον διὰ τὸ ἀμέριστον αὐτοῦ καὶ ἑνιαῖον καὶ πατρικὸν καὶ ἀγαθουργὸν ἐν τοῖς νοεροῖς εἰς ταὐτόν τινες ἄγουσι τῆι μιᾶι τῶν πάντων αἰτίαι, οὐ καλῶς λέγοντες· ἀναλογεῖ γὰρ αὐτῆι μόνον, ὡς καὶ Ὀ. τὴν πρώτην πάντων αἰτίαν Χρόνον καλεῖ ὁμωνύμως σχεδὸν τῶι Κρόνωι, αἱ δὲ θεοπαράδοτοι φῆμαι* (Kroll De or. Chald. 16 s.) *τὴν θεότητα ταύτην τῶι ἅπαξ χαρακτηρίζουσιν λέγουσαι ἅπαξ ἐπέκεινα· τὸ γὰρ ἅπαξ τῶι ἑνὶ συγγενές,* cf. 396 c p. 66, 28 Pasqu. *ὅτι ὁ μὲν Ὀ. πολὺ τῆς τῶν μύθων ἐξουσίας ἀπολέλαυκεν, καὶ πάντα τὰ πρὸ τοῦ Οὐρανοῦ μέχρι* | [67 Pasqu.] *τῆς πρωτίστης αἰτίας ὀνόμασιν ἐδήλωσεν, καὶ αὐτὸ τὸ ἄρρητον καὶ τῶν νοητῶν ἑνάδων ἐκβεβηκὸς Χρόνον προσείρηκεν, εἴθ' ὅτι πάσης γενέσεως αἴτιον προϋπάρχον, εἴτε* [*ὅτι* del. Pasqu.; *εἴθ' ὅτι* codd.] *τὰ ὄντως ὄντα γινόμενα παραδιδούς* (*παραδίδωσι* Kroll, qui *ὅτι* servat), *ἵνα τὴν τάξιν ἐνδείξηται αὐτῶν καὶ τὴν τῶν ὁλικωτέρων πρὸς τὰ μερικώτερα ὑπεροχήν, ἵνα ἦι ταὐτὸν τὸ κατὰ χρόνον τῶι κατ' αἰτίαν, ὥσπερ ἡ γένεσις τῆι τεταγμένηι προόδωι,* in Parmenid. 141 a VII p. 1224, 33 Cous.[2]; in Tim. 28 b (I 280, 22 Diehl), 30 a (I 385, 20 Diehl); Theolog. Plat. I 28 p. 68, 2 *τοῖς μὲν γὰρ Ὀρφικοῖς καὶ διὰ τοῦτο τὸ πρώτιστον αἴτιον Χρόνος προσείρηται*; Syrian. in Aristotel. Metaphys. B 4 p. 1000 a 19 (43, 23 Kr.) *Χρόνον δὲ καὶ Ὀ. τὸ πρῶτον ἐκάλει.*

Lob. I 470.

69. Ioann. Philopon. De aeternitate mundi IX 4 p. 332, 19 Rabe *ἀλλὰ ταῦτα μὲν ὡς πολλοῖς ἤδη τῶν ἡμετέρων ἀποδεδειγμένα παρίημι τοσοῦτον αὐτῶν ἐπιμνησθείς, ὡς δεῖξαι, ὅτι κἀνταῦθα τῆι τῶν μύθων ἀπάτηι συνενεχθεὶς ὁ Πλάτων θεὸν εἶναι τὸν κόσμον ἐκ τῶν Ὀρφέως λαβὼν ἀπεφήνατο,* idem XVIII 7 p. 631, 25 *ὥστε, κἂν λέγηι θεὸν εἶναι τὸν κόσμον, ἐκ τῶν Ὀρφικῶν λαβὼν ὁ* | [632 Rabe] *Πλάτων τῆι τῶν ποιητῶν συνηθείαι μυθικώτερον ἀκολουθήσας θεὸν αὐτὸν εἴρηκεν.*

70. (53) Damasc. De princ. 55 (I 111, 17 Rue.) *καὶ γὰρ Ὀ.·*

ἔπειτα δ' ἔτευξε μέγας Χρόνος[1] *Αἰθέρι δίωι*
ὠεὸν ἀργύφεον.

| 112 Rue. τὸ γὰρ ἔτευξε δηλοῖ τι τεχνητόν, ἀλλ' οὐ γέννημα· τὸ δὲ τεχνητόν, ἀλλ' οὐ γέννημα,[2] πάμμικτόν ἐστιν ἐκ δυεῖν τοὐλάχιστον, ὕλης καὶ εἴδους, ἢ τῶν τούτοις ἀναλογούντων.

1 Κρόνος M; corr. Zoëga et Lob. 2 ἄλλον γέννημα E, ἄλλον γέννα M.

ὠεὸν (ᾧ ἐὸν codd.) ἀργύφεον Orphei laudat etiam Simplic. in Aristot. Phys. I 3 p. 187 a 1 (I 147, 1 Diels); v. Procl. in Tim. I 30 c. d (I 428, 8 Diehl) ταὐτὸν τό τε Πλάτωνος ὂν καὶ τὸ Ὀρφικὸν ᾠόν. Achill. Isag. in Arati Phaen. 4 p. 33, 17 Maaß (Diels II³ 172 n. 12 v. de fonte [an Posidonius?] R. Reeh De Varrone et Suetonio quaestion. Ausonianae Diss. Hal. 1916, 40) τὴν δὲ τάξιν, ἣν δεδώκαμεν τῶι σφαιρώματι, οἱ Ὀρφικοὶ λέγουσι παραπλησίαν εἶναι τῆι ἐν (Maaß] τὴν ἐν V; om. M) τοῖς ᾠοῖς· ὃν γὰρ ἔχει λόγον τὸ λέπυρον ἐν τῶι ᾠῶι, τοῦτον [ἔχειν add. M] ἐν τῶι παντὶ ὁ οὐρανός (τὸν οὐρανὸν VM: em. Maaß), καὶ ὡς ἐξήρτηται (ἐξερύηται V) τοῦ οὐρανοῦ κυκλοτερῶς ὁ (om. V) αἰθήρ, οὕτω τοῦ λεπύρου ὁ ὑμήν, ibidem 6 p. 37, 8 σχῆμα δὲ κόσμου οἳ μὲν κωνοειδές [εἶπον add. M], οἳ δὲ σφαιροειδές, οἳ δὲ ᾠοειδές, ἧς δόξης ἔχονται οἱ τὰ Ὀρφικὰ μυστήρια τελοῦντες. σαφηνείας δὲ ἕνεκα πιθανῆς παρελήφθη τοῦ ᾠοῦ ἡ (om. V) εἰκών.

Zoëga *Abhdlgn.* 229; Lob. I 474; Kern De Theogon. 10; Gruppe *Suppl.* 726 n.; Holwerda 304.

71. (54. 55) Procl. in Plat. Tim. 33 b (II 70, 3 Diehl) τῶι δὲ δημιουργῶι συγγενὲς τὸ σφαιρικόν, ὡς καὶ αὐτῶι νοερῶς ἐν αὐτῶι τὰ πάντα περιέχοντι. τῶι δὲ παραδείγματι, διότι πρώτως ἀπ' ἐκείνου πρόεισι. προγονικὸν οὖν τὸ σχῆμα τοῦτό ἐστι τῶι κόσμωι φανὲν μὲν καὶ ἐν αὐτῶι τῶι κρυφίωι διακόσμωι (v. Kroll De orac. Chald. 18 n. 2)· τὸ γὰρ

a ⟨τὸ δ' add. Procl. in Cratyl.⟩ ἀπειρέσιον κατὰ κύκλον
ἀτρύτως ἐφορεῖτο

κατ' ἐκείνην εἴρηται τὴν τάξιν· ἐναργέστερον δὲ ὀφθὲν καὶ ἐν τῶι παντελεῖ ζώιωι· τὸ γὰρ

b ὡρμήθη δ' ἀνὰ κύκλον ἀθέσφατον

περὶ ταύτης εἴρηται τῶι θεολόγωι τῆς θεότητος· ἔστι δὲ μᾶλλον ἐν τοῖς νοεροῖς θεοῖς.

a legitur etiam ap. Procl. in Cratyl. 397 d p. 74, 29 Pasqu., in Parmenid. 138 c p. 1161, 24 Cous.² qui ὃ δ' initio habet, in Euclid. Elem. II p. 43, 34 (ed. Basil. a. 1533).

Herm. XXXIII; Lob. I 475; Holwerda 306, qui sine veritatis specie versus ad Chaos aut Chaos cum Aethere refert et fingit a 2 *ἀτρύτως ἐφορεῖτο κατὰ σκοτόεσσαν ὀμίχλην* (fr. 67). De ovo Orphico cf. etiam fr. 57 et Plutarch. Quaest. sympos. II 3, 1 p. 635 e *ἐξ ἐνυπνίου τινὸς ἀπειχόμην ᾠιῶν πολὺν ἤδο ⟨. . .⟩ παρὰ τοῦτο ποιούμενος, ἐν ᾠιῶι καθάπερ ἐν Καρὶ διάπειραν λαβεῖν τῆς ὄψεως ἐναργῶς μοι πολλάκις γενομένης· ὑπόνοιαν μέντοι παρέσχον . . . ἐνέχεσθαι δόγμασιν Ὀρφικοῖς ἢ Πυθαγορικοῖς, καὶ τὸ ᾠιόν, ὥσπερ ἔνιοι καρδίαν καὶ ἐγκέφαλον, ἀρχὴν ἡγούμενος γενέσεως ἀφοσιοῦσθαι* (cf. test. nr. 214 et infra s. ***ΚΑΘΑΡΜΟΙ***).

72. Procl. in Plat. Rempubl. II 138, 18 Kr. v. fr. 66:

χάσμα δ' ὑπ' ἠέριον καὶ νήνεμος ἐρράγη αἰθὴρ
ὀρνυμένοιο Φάνητος.

73. (57) Lactant. Divin. instit. I, 5, 4—6 p. 13, 13 Brandt. *O. qui est vetustissimus poetarum et aequalis ipsorum deorum, siquidem traditur inter Argonautas cum Tyndaridis et Hercule navigasse, deum verum et magnum πρωτόγονον*[1] *appellat, quod ante ipsum nihil sit genitum, sed ab ipso sint cuncta generata. eundem etiam Φάνητα*[2] *nominat, quod cum adhuc nihil esset, primus ex infinito*[3] *apparuerit et extiterit. cuius originem atque naturam* | [14 Brandt] *quia concipere*[4] *animo non poterat, ex aëre inmenso natum esse dixit:*

πρωτόγονος[5] *Φαέθων περιμήκεος*[6] *Αἰθέρος*[7] *υἱός*[8]

aliut enim amplius quod diceret non habebat.

1 *Πρωτωγονων* B, corr. B[3], *πρωτοτονον* RV, *urototonon* M. post aut ante graecum in nonnullis codicibus invenitur *primogenitum*, in mg. V[2] *primigenitum*. 2 *φανετα* BS; *φαν⌊η⌋τα* P, *phanetā* M. post graecum *prima apparitio* P, ante *quod est illuminatorem* S. 3 *nihil finito* PV, ⌜*in*⌝ *finito* B[3]. 4 *conspicere* BS. 5 *προτοτονος* M. 6 *πηριμηκ(εος)* P, *περιμηκ⟨εος⟩* B, *περιμακεος* S, *περιμεκεος* M. 7 *⟨ηε⟩ρως* B, *ιερος* R, *θερος* M, *αἰθέρος* Lob.; *ἠέρος* Struve. 8 *σιος* R, *συιος* S, *υος* M. interpretatio Latina in SP.

Herm. 465 n. 2; Lob. I 480; J. Th. Struve Fragm. Graec. ap. Lactant. examin. in progr. gymn. Regimontani 1822 = Op. sel. I 1854, 124.

Vide *περικαλλέος Αἰθέρος υἱός* fr. 74.

74. (58) Procl. in Plat. Tim. 31 a (I 433, 31 Diehl) *διὸ καὶ παρ' Ὀρφεῖ κατὰ ταύτην τὴν* | [434 Diehl] *τάξιν νοερῶς ἐκφαίνεται, ὡς τοῦ κάλλους ἤδη προόντος ἐν τοῖς νοητοῖς τοῖς πρώτοις ἡνωμένως καὶ συνεχῶς ὁ Φάνης*

περικαλλέος Αἰθέρος υἱὸς

ὀνομάζεται[1] *καὶ ἁβρὸς Ἔρως* (fr. 83), *ὅτι δὴ τῆς κρυφίου καὶ ἀρρήτου καλλονῆς*[2] *πρῶτος οὗτος ὁ θεὸς πεπλήρωται. διὸ κάλλιστος ὀνομάζεται, τῶν μετεχόντων τὸ πρώτιστον ὄν, καὶ εἰ πάντα τὰ νοητὰ ἥνωται ἀλλήλοις· οὐ γὰρ δεῖ διαιρεῖν αὐτὰ τοῦτον τὸν τρόπον ἀπ' ἀλλήλων, ὃν τὰς νοερὰς τάξεις, ἀλλὰ μίαν αὐτῶν καὶ ἀδιαίρετον τὴν ἕνωσιν θεωρεῖν.*

1 *περικαλλὴς θεὸς ὀνομάζεται* omissis ceteris CN *fort. recte cum Phanes re vera non sit Aetheris filius sed ex ovo procreatus* Diehl; *περιβαλλέσθαι θέρος υἱὸς ὀνομάζεται* M. 2 *καλλονῆς καὶ ἀρρήτου* P.

Lob. I 480; Holwerda 301.

75. (40) Etymolog. M. p. 787, 29 ss. s. *Φάνης· Φάνης Φάνητος· τὸν δὴ καλέουσι Φάνητα, ὅτι πρῶτος ἐν αἰθέρι φαντὸς*[1] *ἐγένετο· Ὀ. οὕτως Ὧρος.*

1 *φαιτάς* A, *αὐτός* B (R. Reitzenstein per litteras).

Herm. LII; Lob. I 481; Schoemann Op. acad. II 10 n. 13.

Unde Orphei versus restituerunt; v. e. g. Hermanni ad Argon. p. 10 et Abelii tentamina. Ad eundem *Ἱερῶν λόγων* locum spectant haud dubie Argonautica 15 (test. nr. 224):

Νυκτὸς ἀειγνήτης πατέρα κλυτόν, ὃν ῥα Φάνητα
ὁπλότεροι καλέουσι βροτοί· πρῶτος γὰρ ἐφάνθη.

Cf. etiam fr. 85. Nomina *Φάνης* e *Φαλῆς* et *Μῆτις* (frr. 65. 83. 85) e *Μίτος* (fr. 33) ficta esse infeliciter coniecit Kaibel *Goett. Nachr.* 1901, 515.

76. (64) Herm. in Plat. Phaedr. 246 e p. 138, 11 Couvr. *ἐπειδὴ δὲ ὁ δωδέκατος ἀριθμὸς ἐκ ⟨τοῦ⟩*[1] *τελείου ἀριθμοῦ τοῦ τρίτου καὶ τοῦ γενεσιουργοῦ τοῦ τετάρτου κατὰ σύγκρασιν*[2] *ἀπεγεννήθη, ὅλον τὸν τῶν θεῶν περιέχων θεῖον διάκοσμον, τοῦ δὲ τρίτου καὶ τετάρτου ἀρχαὶ μονὰς καὶ δυάς, εἴη ἂν μονὰς μὲν ὁ Αἰθήρ, δυὰς δὲ τὸ Χάος, τριὰς δὲ τὸ ᾠόν — τέλειον γάρ ἐστι —, τετρὰς δὲ ὁ Φάνης, ὡς καὶ*[3] *Ὀ. φησι·*

τετράσιν ὀφθαλμοῖσιν ὁρώμενος[4] *ἔνθα καὶ ἔνθα.*

Cf. eundem ibidem 244 a p. 91, 5 Couvr. *τὸν δὲ δέκα πάντα εἶναι τὸν ἀριθμὸν καὶ ὅλως τετρόμματον καὶ τετραπρόσωπον αὐτὸν ἡ θεολογία καλεῖ.*

1 *τοῦ* add. Couvr. 2 *σύγκρισιν* M. 3 *καὶ* om. M. 4 *ὁρᾷ αὐτὸς* Aᵃ.

Herm. p. 505 n. 5; Lob. I 490; Rohde *Psyche* II⁶ 109 n.

Sumpsit hunc versum Orphicus ex Aegimio fr. 188, 2 Rz.[3] (ed. a. 1913) de Argo; Kern *Herm.* XXIII 1888, 482 n. 1; Wilamowitz *Ilias und Homer* 412 n. 1.

77. Procl. in Remp. II 169, 28 Kr. *ἔστιν δὲ τετρὰς ἡ Διονυσιακὴ θεότης, τετραυγέα τετρακέρατον μυριάκις τῆς Ὀρφικῆς θεολογίας τὸν θεὸν ὑμνούσης.*

τετραυγέα haud dubie ad Phanetem (fr. 76) spectat, cum Zagrea *τετρακέρατον* significatum esse Rohdius *Psyche* II[6] 108 n. 2 suspicatus sit.

78. (65) Herm. in Plat. Phaedr. 246 e p. 142, 13 Couvr. *πρώτωι γὰρ τούτωι* (sc. *τῶι Φάνητι*) *ἡ θεολογία παρέχει τοὺς ἵππους, ἅτε πρώτωι ἐκφοιτήσαντι τῶν οἰκείων ἀρχῶν, ἐπεὶ καὶ πρώτως*[1] *ἐν τούτωι γίνεται γάμος· καὶ ἁπλῶς ὧι ἐνέργειαν δίδωσι, τούτωι καὶ ἵππους παρέχει. αὐτῶι δὲ τούτωι πρώτωι τῶι δεσπότηι Φάνητι καὶ πτέρυγας δίδωσι·*

χρυσείαις[2] *πτερύγεσσι φορεύμενος ἔνθα καὶ ἔνθα.*

1 *πρῶτος* M. 2 *χρυσείαις* Lob.; *χρυσέαις* codd.

Cf. eundem ibidem 246 a p. 122, 19 Couvr. *οὐ πρῶτος δὲ ὁ Πλάτων ἡνίοχον καὶ ἵππους παρέλαβεν, ἀλλὰ πρὸ αὐτοῦ οἱ ἔνθεοι τῶν ποιητῶν Ὅμηρος* (Il. Θ 438), *Ὀ., Παρμενίδης* (Diels I[3] 148 fr. 1, 1)· *ἀλλ' ὑπ' ἐκείνων μὲν ἅτε ἐνθέων ἄνευ αἰτίας* (*αἰτία* Ast) *εἴρηται· ἐνθουσιῶντες γὰρ ἔλεγον.*

Herm. 505 n. 3. 4; Lob. I 491; Kern De Theogon. 49 et *Herm.* XXIII 1888, 482 n. 1; Gruppe *Suppl.* 731 n. 1; Immisch *N. Jahrb.* XXXV 1915, 566 n. 19; Pohlenz *Goett. Gel. Anz.* 1916, 273 n. 1.

Aristophan. Av. 696 (fr. 1) *Ἔρως ὁ ποθεινός, στίλβων* (v. fr. 86) *νῶτον πτερύγοιν χρυσαῖν, εἰκὼς ἀνεμώκεσι δίναις*, Hymn. VI (*Πρωτογόνου* fr. 87) vs. 2 *ὠιογενῆ, χρυσέαισιν ἀγαλλόμενον πτερύγεσσιν*, LXXXII (*Νότου*) vs. 2 *ὠκείαις πτερύγεσσι δονούμενον ἔνθα καὶ ἔνθα.* Cf. Argonaut. 340 *λαιψηρούς τ' ἀνέμους αὔραις μίγα χρυσεοτάρσοις.*

79. (63) Procl. in Plat. Tim. 30 c. d (I 427, 20 Diehl) *τοιαῦτα γὰρ περὶ αὐτοῦ καὶ ὁ Ὀ. ἐνδείκνυται περὶ τοῦ Φάνητος θεολογῶν. πρῶτος γοῦν ὁ θεὸς παρ' αὐτῶι ζώιων κεφαλὰς φέρει πολλάς·*

βρίμας[1] *ταυρείους*[2] *ἀφιεὶ(ς)*[3] *χαροποῦ τε λέοντος,*

καὶ πρόεισιν ἀπὸ τοῦ πρωτογενοῦς ὠιοῦ, ἐν ὧι σπερματικῶς τὸ ζῶιόν ἐστιν, ὃ καὶ ὁ Πλάτων συνιδὼν αὐτοζῶιον | 428 Diehl

προσηγόρευσε τὸν μέγιστον τοῦτον θεόν· τί γὰρ διαφέρει ἢ τὴν κρύφιον αἰτίαν ὠιὸν καλεῖν ἢ τὸ ἐκφανὲν ἀπ' ἐκείνης ζῶιον; τί γὰρ ἂν ἐξ ὠιοῦ γένοιτο τῶν πάντων πλὴν ζῶιον; ἦν δὲ τὸ ὠιὸν ἐκεῖνο τοῦ τε Αἰθέρος ἔγγονον καὶ τοῦ Χάους, ὧν ὁ μὲν κατὰ τὸ πέρας ἵδρυται τῶν νοητῶν, τὸ δὲ κατὰ τὸ ἄπειρον· ὁ μὲν γάρ ἐστι ῥίζωμα τῶν πάντων (v. Empedocl. supra p. 148), τῶι δὲ οὐδὲν πεῖραρ ὑπῆν fr. 66 b.

1 βρίμας Diehl collato Hes. s. βριμάζων· τῆι τοῦ λέοντος χρώμενος φωνῆι, βριμὰς C, βριμας M, βριμοῦς N. 2 ταυρείους Diehl, ταυρίους C, ταβρίους M, ταυρίοις P, ταύρου τ' N. 3 ἀφιεὶ⟨ς⟩ Diehl collato Procl. in Remp. II 181, 7 Kr. τὰ δὲ ταύρων ἤχους ἀφιέντα. ἀφίει CMP, ὀφίας ς, ἠδ' ὄφιος N; κριοῦ καὶ ταύρου τ' ὄφιος χαροποῦ τε λέοντος Lob., κρίας, ταυρείους, ὄφιος, χαροποῦ τε λέοντος Herm., κριοῦ καὶ ταύρου κεφαλὰς (s. κορυφὰς) χαροποῦ τε λέοντος Herwerd. *Herm.* V 1871, 139; v. etiam fr. 81 διὸ καὶ ὁλικώτατον ζῶιον ὁ θεολόγος ἀναπλάττει κριοῦ καὶ ταύρου καὶ λέοντος καὶ δράκοντος αὐτῶι περιτιθεὶς κεφαλάς.

Herm. 503 n. 9; Lob. I 490.

Hymn. VI (*Πρωτογόνου* fr. 87) vs. 3 *ταυροβόαν* (fr. 54 p. 131); *τετρακέρατος* fr. 77.

80. (66) Nonn. Abb. ad Gregorii Orat. in Iulian. I 141 n. 78 (Migne 36, 1028) ∼ Suid. s. *Φάνης*

Περὶ Φάνητος καὶ Ἠρικεπαίου.[1]

ἐν τοῖς Ὀρφικοῖς ποιήμασιν εἰσηνέχθη τὰ δύο ταῦτα ὀνόματα μετὰ καὶ ἄλλων πολλῶν· ὧν τὸν Φάνητα εἰσφέρει αἰδοῖον ἔχοντα ὀπίσω περὶ τὴν πυγήν. λέγουσι δὲ αὐτὸν ἔφορον εἶναι τῆς ζωιογόνου δυνάμεως· ὁμοίως δὲ καὶ τὸν Ἠρικεπαῖον[1] λέγουσιν ἑτέρας ἔφορον εἶναι δυνάμεως. περὶ δὲ τοῦ[2] ὁ πάντας καταπίνων θεούς' (Or. XXXI 16; Kern De Theogon. 44), οὐ λέγει περὶ τοῦ Ἠρικεπαίου, ἀλλὰ περὶ τοῦ Κρόνου. λέγεται γὰρ οὗτος, οὓς ἔτεκεν υἱούς, πάλιν καταπιεῖν, καὶ ἐμέσαι οὓς ἤδη κατέπιε. λέγεται λίθον καταπιεῖν ἀντὶ τοῦ Διὸς καὶ τοῦ λίθου κατελθόντος ἐμέσαι πάντας.

1 Ἠρικαπαῖον et Ἠρικαπαίου codd. 2 τὸ δὲ Zoëga.

Lob. I 491; Zoëga *Abhdlg.* 264; Beth *Wien. Stud.* XXXIV 1912, 288 n. 1.

81. (62) Procl. in Plat. Tim. 30 c. d (I 429, 26 Diehl) διὸ καὶ ὁλικώτατον ζῶιον ὁ θεολόγος ἀναπλάττει κριοῦ καὶ ταύρου καὶ λέοντος καὶ δράκοντος αὐτῶι περιτιθεὶς κεφαλάς, καὶ ἐν αὐτῶι πρώτωι τὸ θῆλυ καὶ τὸ ἄρρεν ὡς ζώιωι πρώτωι·

θῆλυς καὶ γενέτωρ κρατερὸς θεὸς Ἠρικεπαῖος,[1]

| 430 Diehl *φησὶν ὁ θεολόγος· αὐτῶι δὲ καὶ αἱ πτέρυγες πρῶτον* (v. fr. 78) *καὶ τί δεῖ πολλὰ λέγειν; εἰ γὰρ ἐκ τοῦ πρωτογενοῦς ὠιοῦ τὴν πρόοδον ἔσχε, δηλοῖ καὶ ὅδε ὁ μῦθος, ὅτι τὸ πρώτιστον ζῶιόν ἐστιν, εἴπερ τὴν ἀναλογίαν προσήκει φυλάττειν· ὡς γὰρ τὸ ὠιὸν τὴν σπερματικὴν αἰτίαν τοῦ ζώιου προείληφεν, οὕτως ὁ κρύφιος διάκοσμος ἑνοειδῶς περιέχει πᾶν τὸ νοητόν, καὶ ὡς τὸ ζῶιον ἤδη διηιρημένως ἔχει, ὅσα ἦν ἐν τῶι ὠιῶι σπερματικῶς, οὕτω δὴ καὶ ὁ θεὸς ὅδε προάγει τὸ ἄρρητον καὶ ἄληπτον τῶν πρώτων αἰτίων εἰς τὸ ἐμφανές. θῆλυς καὶ γενέτωρ* (sc. *ὁ Φάνης ἀνυμνεῖται*) in Tim. 31 a (I 450, 24 Diehl). Lactant. Divin. inst. IV 8, 4 p. 296, 2 Brandt *nisi forte existimabimus* (*existimavimus* RV, *existimabamus* H) *deum, sicut O. putavit, et marem esse et feminam, quod aliter generare non quiverit* (*nequierit* H), *nisi haberet vim sexus utriusque, quasi aut ipse secum coierit aut sine coitu non potuerit procreare.*

1 *ἠρισκεπαῖος* C cf. Diehlii adnotat. ad Procl. in Tim. I 324, 29.

Lob. I 490; Herwerden *Herm.* V 1871, 139.

82. (68) Procl. in Plat. Tim. 33 c (II 85, 23 Diehl) *οὔτε ἄρα ὀμμάτων δεῖται πρὸς τὴν ὅρασιν οὔτε ὤτων πρὸς τὴν ἀκοήν, καὶ ἔχει καὶ τοῦτο τὸ ἀνόμματον κατ' εἰκόνα τοῦ νοητοῦ θεοῦ, πρὸς ὃν ἀπείκασται· καὶ γὰρ ἐκεῖνον ἀνόμματον Ἔρωτά φησιν ἔχειν Ὀ.·*

ποιμαίνων πραπίδεσσιν ἀνόμματον ὠκὺν ἔρωτα.

οὕτω δὴ οὖν καὶ τὸ πᾶν συνῆπται δι' ἔρωτος τοῖς πρὸ αὐτοῦ, τὸ ἐν ἐκείνοις κάλλος διὰ τοῦ ἐν ἑαυτῶι βλέπον, τοῦτο δὲ οὐ μεριστικαῖς αἰσθήσεσιν ὁρῶν. Idem in Plat. Tim. 39 e (III 101, 9 Diehl) *διὸ δὴ καὶ Ὀ. Φάνητά τε τὸν θεὸν τοῦτον προσηγόρευσεν ὡς ἐκφαίνοντα τὰς νοητὰς ἑνάδας καὶ ζώιων αὐτῶι μορφὰς ἀνέθηκεν ὡς ἐν αὐτῶι τῆς πρώτης αἰτίας τῶν νοητῶν ζώιων ἐκφανείσης καὶ ἰδέας πολυειδεῖς ὡς τῶν νοητῶν ἰδεῶν πρώτως περιληπτικῶι, καὶ κληῖδα νόου προσειπὼν κλεῖν* [*τε* del. Schneid.] *αὐτὸν ἐκάλεσε τοῦ νοῦ, διότι περατοῖ πᾶσαν τὴν νοητὴν οὐσίαν καὶ συνέχει τὴν νοερὰν ζωήν. πρὸς δὴ τοῦτον τὸν τοσοῦτον θεὸν ὁ δημιουργὸς ἀνήρτηται τοῦ παντός, νοῦς μὲν καὶ αὐτὸς ὤν, ὥσπερ εἴπομεν πρότερον, ἀλλὰ νοερὸς νοῦς ὡς νοῦ διαφερόντως αἴτιος. διὸ καὶ ὁρᾶν λέγεται τὸ αὐτοζῶιον· ἴδιον γὰρ τὸ ὁρᾶν τῶν νοερῶν θεῶν, ἐπεὶ τόν γε νοητὸν νοῦν καὶ ἀνόμματον ὁ θεολόγος προσηγόρευσε· λέγει γοῦν περὶ αὐτοῦ· ποιμαίνων — ἔρωτα· ἔστι γὰρ αὐτοῦ καὶ τὸ ἐνέργημα*

νοητόν. νοῦς δὲ ὁ δημιουργὸς ὢν οὐκ ἔστι τῶν μετεχομένων, ἵνα τῶν ὅλων ἧι δημιουργὸς καὶ ἵνα δύνηται πρὸς τὸ αὐτοζῶιον ὁρᾶν· ἀμέθεκτος δὲ ὢν ὄντως νοερός ἐστι νοῦς, καὶ διὰ μὲν τῆς ἁπλῆς νοήσεως συνήνωται πρὸς τὸ νοητόν, διὰ δὲ τῆς ποικίλης εἰς ἀπογέννησιν σπεύδει τῶν δευτέρων. ἐκείνην μὲν αὐτοῦ τὴν νόησιν ὅρασιν προσείρηκεν ὁ λόγος, ὡς διὰ τῆς ἁπλῆς νοήσεως προϊοῦσαν καὶ εἰς ἀπογέννησιν τῶν δημιουργικῶν ἔργων | [102 Diehl] *προχωροῦσαν. καὶ ὁ μὲν Πλάτων ὁρᾶν αὐτὸν εἰς τὸ αὐτοζῶιον εἶπεν, ὁ δὲ Ὀ. καὶ ἐπιπηδᾶν αὐτῶι καὶ καταπίνειν δειξάσης μέντοι* (*μέσης*? Diehl) *τῆς Νυκτός· ἀπὸ γὰρ ταύτης νοητῆς οὔσης ἅμα καὶ νοερᾶς ὁ νοερὸς νοῦς συνάπτεται πρὸς τὸ νοητόν.* Citant eundem versum etiam idem in I Alcibiad. 103 a p. 373, 9 Cous.[2] et Olympiodor. in Plat. Phaedon. 78 b p. 75, 15 Norv. (*ὃ καὶ Ὀ. ἐσημήνατο, νοητὸν βουλόμενος εἰπεῖν τὸν Ἔρωτα· ἔφη γὰρ κτλ.*).

Lob. I 494; Holwerda 302; Kroll De orac. Chald. 25.

Num de Phanete cogitandum sit, valde dubium; haud scio an versus ad Iovem referendus sit; cf. Holwerda.

Hymn. LVIII (*Ἔρωτος*) vs. 4 *διφυῆ, πάντων κληῖδας ἔχοντα.* Cf. Theocr. XI 80 *οὕτω τοι Πολύφαμος ἐποίμαινεν τὸν ἔρωτα*, Anon. Anthol. XII 99 *ἠγρεύθην ὑπ' Ἔρωτος, ὁ μηδ' ὄναρ οὐδὲ μαθὼν πω* (Duebn.] *περ* cod.) *ἄρσενα ποιμαίνειν θεσμὸν ὑπὸ κραδίας ἠγρεύθην.*

83. (70) Procl. Plat. I Alcibiad. 103 a p. 376, 10 Cous.[2] *καί μοι δοκεῖ καὶ ὁ Πλάτων εὑρὼν παρ' Ὀρφεῖ τὸν αὐτὸν τοῦτον θεὸν καὶ Ἔρωτα καὶ δαίμονα μέγαν* (v. fr. 85) *ἀποκαλούμενον, ἀνυμνῆσαι*[1] *καὶ αὐτὸς ἐπὶ τοῦ Ἔρωτος τὸν τοιοῦτον ὕμνον· περὶ μὲν γὰρ τοῦ νοητοῦ νοῦ λέγων ὁ θεολόγος ἁβρὸς Ἔρως — φησὶ — καὶ Μῆτις ἀτάσθαλος καὶ πάλιν·*

οἷσιν ἐπεμβεβαὼς δαίμων μέγας αἰὲν ἐπ' ἴχνη·[2]

1 *ἀνυμνῆσαι* Holwerda; *ἀγαπήσεται* A, *ἀγαπῆσαι* cett. codd., *ἀγαπήσειαι* Herm. 2 *ἐπ' ἴχνη* Bentl. Epist. ad Mill. (Opusc. Lips. 1781), 455, *ἐπίσχνη* codd., *ἐποιχνεῖ* Lob.

Herm. 508 n. 15; Lob. I 495; Holwerda 304.

Hymn. LII (*Τριετηρικοῦ*) vs. 10 (cf. R. Keydell Quaest. metr. de epicis Graec. recent. diss. *Berlin* 1911, 30 et Ludwich *Berl. phil. Wochenschr.* 1912, 1339) *Εὐχ. πρὸς Μουσ.* 31 *Δαίμονά τ' ἠγάθεον καὶ Δαίμονα πήμονα θνητῶν, Δαίμονας οὐρανίους τε καὶ ἠερίους κτλ.* et Hymn. LXXIII (*Δαίμονος*) vs. 1 *Δαίμονα*

κικλήσκω μεγάλων (*μεγάλαν* codd.) *ἡγήτορα φρικτόν. κτλ.* Parmenidis *Δαίμονα* Orphicorum religionem sapere censet Erwin Pfeiffer *Studien zum antiken Sternglauben Στοιχεῖα* II 1916, 126.

84. Damasc. De principiis 189 (II 65, 14 Rue.) *τοῦτο δὴ τὸ ἄπειρον οἵ τε θεοὶ κεκλήκασιν ὑπέρκοσμον βυθόν 'οἳ τὸν ὑπέρκοσμον πατρικὸν βυθὸν ἴστε νοοῦντες'* (Kroll De orac. Chald. 18), *καὶ ὁ Ἑλλήνων ἔτι θεολόγος· ὄμβρον ἀθέσφατον καταχεῦαι τὸν Φάνητα λέγων ἀπὸ τῆς ἑαυτοῦ ἄκρας κορυφῆς.* Kern *Herm.* XXIII 1888, 483 n. IV; Holwerda 308.

85. (61)

δαίμονα σεμνόν,
Μῆτιν σπέρμα φέροντα θεῶν κλυτόν, ὅν τε Φάνητα
πρωτόγονον μάκαρες κάλεον κατὰ μακρὸν Ὄλυμπον

compositum ex Procl. in Plat. Tim. 31 a (I 451, 6 Diehl) *ἀεὶ ἄρα τὸ δημιουργικὸν αἴτιον ὁμοιοῦται μὲν τῶι παραδειγματικῶι, πρόεισι δὲ εἰς πλῆθος ἀπὸ τῆς νοητῆς ἑνώσεως. ταῦτα μὲν οὖν καὶ ἐν ἄλλοις. ὅτι δὲ τὸ αὐτοζῶιον μονότητι χαίρει, δεδήλωται καὶ διὰ τῶν Ὀρφικῶν θεολογιῶν· κύει*[1] *γὰρ ὁ κατὰ τὸ ὠιὸν θεός, δηλονότι ζῶιον ἀφ' ἑαυτοῦ, καλεῖ δὲ ὅμως αὐτὸν*

δαίμονα[2] *σεμνόν,*
Μῆτιν σπέρμα φέροντα θεόκλυτον[3]

et in Plat. Cratyl. 391 d. e p. 32, 29 Pasqu. *καὶ διὰ τοῦτο καὶ ἡ τελεστικὴ πᾶσα μέχρι ταύτης ἄνεισι τῆς τάξεως ἐνεργοῦσα θεουργικῶς,* | [33 Pasqu.] *ἐπεὶ καὶ Ὀ. πρώτην ταύτην ὀνόματί φησιν ὑπὸ τῶν ἄλλων καλεῖσθαι θεῶν· τὸ γὰρ ἀπ' αὐτῆς προϊὸν φῶς γνωστὴν αὐτὴν τοῖς νοεροῖς καὶ ὀνομαστὴν ἀπέφηνεν· λέγει δ' οὕτως· 'Μῆτιν . . . Ὄλυμπον'· ἀλλ' ἐπὶ μὲν τῶν θεῶν ἥνωται τό τε ὀνομάζειν τοῦτο καὶ τὸ νοεῖν, καὶ ἀμφότερα διὰ τὴν τοῦ φωτὸς αὐτοῖς ὑπάρχει μετουσίαν, ὃ προΐεται πᾶσιν ὁ μέγιστος Φάνης* et p. 33, 20 *ἔστιν δ' οὖν καὶ μένοντά τινα ὀνόματα ἐν τοῖς θεοῖς, δι' ὧν οἱ καταδεέστεροι τοὺς προτέρους καλοῦσιν, ὥσπερ ἐπὶ τοῦ Φάνητός φησιν Ὀ.* Vs. 2 *Μῆτιν σπέρμα φέροντα θεῶν, κλυτὸν* (*καὐτὸν* codd.; corr. Bentl.) *Ἠρικεπαῖον* habet Damasc. De princ. 98 (I 251, 20 Rue.); idem *Μῆτιν — θεῶν.* 89 (I 217, 27 Rue.) et 53 (I 107, 13); *σπέρμα — κλυτὸν* Procl. in Tim. 31 a (I 450, 11 Diehl). Vs. 2. 3. *ὅν τε Φ. — Ὄλυμπον* Procl. Crat. 395 a p. 48, 16 Pasqu. et *ὅν τε Φ. — κάλεον* idem in Tim. 41 a (III 209, 1 Diehl). Cf. Damasc. De princ. 111 (I 286, 15 Rue.) *εἰ δὲ ὁ παρ' Ὀρφεῖ πρωτόγονος*

θεὸς ὁ πάντων σπέρμα φέρων τῶν θεῶν ἀπὸ τοῦ ὠιοῦ πρῶτος ἐξέθορε καὶ ἀνέδραμε, τίς μηχανὴ τὸ μὲν ὠιὸν ἐξηγεῖσθαι τὸ ὄν, τὸν δὲ ἀπὸ τοῦ ὄντος ἐκθορόντα πρωτόγονον θεὸν ἀνυμνεῖν; πῶς δὲ ἔχει λόγον οὐσίας μὲν διττὰς ὑποτίθεσθαι, καὶ ζωὰς ὁμοίως, εἰ δὲ μή, νόας τε καὶ ψυχάς, τοὺς μὲν ἀμεθέκτους, τοὺς δὲ μεθεκτούς, ἑνάδας δὲ πάσας μεθεκτάς, ἐν αἷς μάλιστα τὸ ἀμέθεκτον ἔπρεπεν, Procl. in Tim. 29 a. b (I 336, 15 Diehl) *αὐτὸς δὲ* (sc. *ὁ Μῆτις*) *ὁ Διόνυσος καὶ Φάνης καὶ Ἠρικεπαῖος συνεχῶς ὀνομάζεται. πάντα ἄρα μετείληχεν ἀλλήλων τὰ αἴτια καὶ ἐν ἀλλήλοις ἐστίν, ὥστε καὶ ὁ τὸν δημιουργὸν λέγων ἐν αὐτῶι τὸ παράδειγμα περιέχειν ἔστιν ὅπηι φησὶν ὀρθῶς, καθάπερ ὁ θεῖος Ἰάμβλιχος διατάττεται καὶ ὁ τὸ παράδειγμα δημιουργὸν ἀποφαινόμενος, ὥσπερ ὁ γενναῖος Ἀμέλιος. ἑώρα γὰρ ὃ μὲν ἐν τῶι παραδείγματι δημιουργικὸν ἰδίωμα προϋπάρχον· ἐκεῖ γὰρ ὁ πρώτιστός ἐστι Ζεὺς καὶ διὰ τοῦτο ἐποίει τὸν Φάνητα δημιουργόν· ὃ δὲ ἐν τῶι δημιουργῶι τὸ παράδειγμα· ἦν γὰρ καὶ ἐν τούτωι καταποθεὶς ὁ Μῆτις· καὶ διὰ τοῦτο εἰς ταὐτὸν ἦγε τῶι δημιουργικῶι τὸ παραδειγματικὸν αἴτιον.*

1 *κύει* N cum Damascio (fr. 60), *κλύει* CMPς. 2 ⟨*εὐ*⟩*δαίμονα* Lob. 3 *θεοκλυτῷ νῷ* M, *θεῷ κλυτῷ νῷ* C., *θεῶν κλυτόν* in Cratyl.

Herm. VIII 12; 461 n. 19; Lob. I 481; Schuster 90 n. 1; Kern De Theogon. 34; Zeller *Zeitschr. wiss. Theol.* XLII 1899, 241 = *Kl. Schr.* II 160.

Cf. fr. 75.

86. (59) Herm. in Plat. Phaedr. 247 c p. 148, 25 Couvr. *καὶ πρῶτος καταλάμπεται ὁ οὐρανὸς ὑπὸ τοῦ θείου φωτὸς τοῦ Φάνητος· τὴν γὰρ Νύκτα ἡνῶσθαι αὐτῶι φησι·* | 149 Couvr.

Πρωτόγονόν γε μὲν οὔτις[1] *ἐσέδρακεν ὀφθαλμοῖσιν,*
εἰ μὴ Νὺξ ἱερὴ μούνη· τοὶ δ'[2] *ἄλλοι ἅπαντες*[3]
θαύμαζον[4] *καθορῶντες ἐν αἰθέρι φέγγος ἄελπτον*[5]
τοῖον ἀπέστραπτε[6] *χροὸς ἀθανάτοιο Φάνητος.*

Vs. 3. 4 laudat Procl. in Tim. 30 d (I 435, 3 Diehl), qui vs. 4 *ἀπέστιλβε* legit ut Damasc. De princ. 133 (II 12, 13 Rue. v. Addend. p. 384) *νοητὸν ἄρα ἐστὶν τὸ πρῶτον παράδειγμα καὶ τὸ πρῶτον τῆι νοήσει σύμμετρον· διὸ καὶ εἶδος ἤδη καὶ κάλλιστον τῶν νοουμένων, οὐχ ὅτι πρῶτον, ἀλλ' ὅτι μάλιστα ἐκφανὲς καὶ στίλβον ἐναργέστατα, καὶ τὸν Φάνητα αὐτοῦ ἐνδεικνύμενον 'τοῖον ἀπέστιλβε χροὸς* (*χρόνος* codd.) *ἀθανάτοιο Φάνητος'*

φησὶν Ὀ. Cf. etiam Procl. Theol. Plat. III 21 p. 161, 46 *τοῦτο γάρ ἐστι τὸ φανότατον τῶν νοητῶν ὁ νοῦς ὁ νοητὸς καὶ τὸ ἀποστίλβον φῶς τὸ νοητόν, ὃ καὶ τοὺς νοεροὺς θεοὺς ἐκπλήττει φανὲν καὶ ποιεῖ θαυμάζειν τὸν πατέρα* (sc. *Αἰθήρ* v. in Tim. 41 a (III 208, 29 Diehl), *καθάπερ φησὶν ὁ Ὀ.* Iovem intelligit Damasc. De princ. 113 (I 291, 18 Rue.) *Ὅ τε γὰρ Ἑλλήνων θεολόγος Ὀ. πρῶτον ἐποίησε τὸν Φάνητα καθορώμενον ὑπὸ τῶν θεῶν, ἄλλως τε καὶ τῶν νοερῶν, ὧν ἐστι καὶ ὁ δημιουργός οἵ τε ἐκδεδωκότες θεοὶ τὰ πολυτίμητα λόγια τὰς πρώτας ἡμῖν τριάδας παραδεδώκασι ταύτας τὰς νοητάς, ὧν τὸν ὑπερκόσμιον βυθὸν* (v. fr. 55) *εἰδέναι* (*καὶ* add. BF) *νοοῦντα ἀπαγγέλλουσι τοὺς νοεροὺς θεούς* quem iniuria sequitur Holwerda. Procl. in Plat. Tim. 39 b (III 82, 31 Diehl) *διχῶς ἄρα θεωρήσομεν τὸν ἥλιον, καὶ ὡς ἕνα τῶν ἑπτὰ καὶ ὡς* | [83 Diehl] *ἡγεμόνα τῶν ὅλων καὶ ὡς ἐγκόσμιον καὶ ὡς ὑπερκόσμιον, καθὸ καὶ προσλάμπει τὸ θεῖον φῶς ὡς τἀγαθὸν τὴν ἀλήθειαν τὴν ἐκθεοῦσαν τούς τε νοητοὺς καὶ τοὺς νοεροὺς διακόσμους, ὡς ὁ Φάνης παρὰ τῶι Ὀρφεῖ προΐησι τὸ νοητὸν φῶς, ὃ πληροῖ νοήσεως πάντας τοὺς νοεροὺς θεούς, ὡς ὁ Ζεὺς νοερὸν καὶ δημιουργικὸν ἀνάπτει φῶς εἰς πάντας τοὺς ὑπερκοσμίους.* Cf. 30 c. d (I 428, 9 Diehl).

1 *οὔτις* codd., *ὅστις* Gesn., *εἴ τις* Schneid. ad Procl. in Tim. 2 *τοὶ δ'* codd. cf. Koechly Opusc. philolog. I 237; *οἱ δ'* M Gesn. 3 *ἅπαντες* om. Gesn., unde *οἱ δέ τοι ἄλλοι* Schneid. 4 *θαύμαζον* codd., *ἐθαύμαζον* Gesn. 5 *ἄελπτον* codd., Bentley; *ἄληπτον* Gesn., *ἄληκτον* Schneid. 6 *ἀπέστραπτε* codd., *ἀπέστραπται* Gesn., *ἀπαστράπτει* Schneid., *ἀπέστιλβε* Procl. Damasc. quod commendat etiam Aristophanes Av. 697 (fr. 1).

Herm. 506 n. 7; Lob. I 480; Schuster 22; Kern De Theogon. 14; *Herm.* XXIII 1888, 481 n. I; Holwerda 301. 311.

Ad hos versus (vel similes) spectare videtur Eurip. Hyps. fr. LVII (fr. 2).

87. Hymn. VI *Πρωτογόνου, θυμίαμα σμύρναν.*

Πρωτόγονον καλέω διφυῆ, μέγαν, αἰθερόπλαγκτον
ᾠογενῆ, χρυσέαισιν ἀγαλλόμενον πτερύγεσσιν,
ταυροβόαν, γένεσιν μακάρων θνητῶν τ' ἀνθρώπων,
ὅς τε πολύμνηστον, πολυόργιον † εὕρηκε παιᾶν' [1]
ἄρρητον, κρύφιον, ῥοιζήτορα, παμφαὲς ἔρνος,
ὄσσων ὃς σκοτόεσσαν ἀπημαύρωσας ὀμίχλην
πάντῃ δινηθεὶς [2] *πτερύγων ῥιπαῖς κατὰ κόσμον*

λαμπρὸν ἄγων φάος ἁγνόν, ἀφ' οὗ σε Φάνητα κικλήσκω
ἠδὲ Πρίηπον ἄνακτα καὶ Ἀνταύγην[3] ἑλίκωπον.
ἀλλά μάκαρ, πολύμητι, πολυσπόρε, βαῖνε γεγηθὼς
ἐς τελετὴν ἁγίαν[4] πολυποίκιλον ὀργιοφάνταις.

1 ὅς τε πολύμνηστον, πολυόργιον εὕρηκε παιάν codd. v. Kern *Herm.* LI 1916, 565 n. 2; σπέρμα πολύμηστον, πολυόργιον Ἠρικεπαῖον vulgo, v. Gesneri adnotat. ap. Herm. p. 260 n.; εὗρε παιᾶνα Hiller de Gaertringen. 2 δινηθεὶς Herm., δινήεις codd. 3 Ἀνταύγην Herm., ἀνταυγῆ vulgo, αὐταυγῆ Gesn. 4 ἁγίην Herm.

Cf. *Herm.* XXIV 1889, 501, ubi Rhapsodiarum locos consentientes composui.

Ad vs. 1 cf. LII 6 *Πρωτόγον', Ἠρικεπαῖε, θεῶν πάτερ ἠδὲ καὶ υἱέ.*

88. Lactant. Divin. institut. I 5, 13—14 p. 15, 18 Br. *Ovidius* (Metam. I 21) *quoque in principio praeclari operis* (*carminis* R) *sine ulla nominis dissimulatione a deo, quem fabricatorem mundi, quem rerum opificem vocat, mundum fatetur instructum. quodsi vel O. vel hi nostri quae natura ducente senserunt in perpetuum defendissent, eandem quam nos sequimur doctrinam comprehensa veritate tenuissent*; idem Epitom. 3 p. 678, 14 Br. *O. principalem deum dicit, qui caelum solemque cum ceteris astris, qui terram, qui maria condiderit.*

Phanetem intelligendum esse per se patet; principalis πρωτόγονος (v. fr. 86) est.

89. (75) Lactant. Divin. instit. I 5, 4—6 p. 14 Br. *hunc* (sc. *Φάνητα*) *ait* (sc. Orpheus fr. 73) *esse omnium deorum parentem, quorum causa caelum condiderit liberisque prospexerit, ut haberent habitaculum sedemque communem:*

ἔκτισεν ἀθανάτοις[1] δόμον[2] ἄφθιτον.[3]

natura igitur et ratione ducente intellexit esse praestantissimam potestatem,[4] *caeli ac terrae conditricem. non poterat enim dicere Iovem esse principem rerum, qui erat Saturno genitus, neque ipsum Saturnum, qui caelo natus ferebatur; caelum autem tamquam deum primum constituere non audebat, quod videbat elementum esse mundi, quod ipsum eguerit*[5] *auctore. haec eum ratio perduxit ad deum illum primogenitum, cui adsignat et tribuit principatum.*

1 *θανατοις* S; *ααταvατοις* M; *αθ⌊α⌋νατοις* P. 2 ⟨*δο*⟩*μον* B; *λομον* SM. 3 *αφεισον* M. interpretatio latina in P. 4 *potentiam* M. 5 eg⌜u⌝erit B[3], egeret B[1], genuerit SM.

Herm. 465 n. 2; Lob. I 496; cf. J. Th. Struve Fragm. graec. ap. Lactant. examin. in programm. gymn. Regimontani 1822 = Op. sel. I 125; Holwerda 307.

90. (116) Procl. in Platon. Cratyl. 396 b. c p. 60, 26 Pasqu. *ἢ δῆλον ὡς ὁ ὑπερουράνιος τόπος καὶ* ⟨*ἡ* add. Pasqu. e Platone⟩ *ἀχρώματος καὶ ἀσχημάτιστος καὶ ἀναφὴς οὐσία καὶ πᾶν τὸ νοητὸν πλάτος, ὡς μὲν ἂν ὁ Πλάτων* (Tim. 31 a) *εἴποι, τά τε νοητὰ ζῶια περιέχον* (Pasqu.] *περιέχων* codd.) *καὶ τὴν* | [61 Pasqu.] *μίαν τῶν αἰωνίων πάντων αἰτίαν καὶ τὰς κρυφίους τούτων ἀρχάς, ὡς δ' ἂν οἱ Ὀρφικοὶ φαῖεν, ἄνωθεν μὲν ὁριζόμενος τῶι Αἰθέρι, κάτωθεν δὲ τῶι Φάνητι — πάντα γὰρ τὰ μεταξὺ τούτων συμπληροῖ τὸν νοητὸν διάκοσμον.* Herm. in Plat. Phaedr. 247 c (*τὸν δὲ ὑπερουράνιον τόπον οὔτε τις ὕμνησέ πω τῶν τῆιδε ποιητὴς οὔτε ποτὲ ὑμνήσει κατ' ἀξίαν*) p. 146, 28 Couvr. *εἰ μὲν ποιητὰς ἀκούοιμεν τοὺς τρίτους ἀπὸ τῆς ἀληθείας, τουτέστι τὸ πλῆθος τῶν τῆιδε ἀνθρωπικῶν ποιητῶν, ὥστε ἐξαιρεῖσθαι τοῦ λόγου Ὅμηρον καὶ Ὀρφέα — εἴρηται γὰρ αὐτοῖς περὶ τοῦδε τοῦ τόπου, καὶ Ἡσιόδωι καὶ Μουσαίωι —, πρόδηλον τοῦ λόγου τὸ ἀληθές, ὅτι τῶν τοιούτων ποιητῶν τῶν πολλῶν καὶ τεχνικῶν* (*τεχνίτων* M) | [147 Couvr.] *οὐδεὶς ἐφικνεῖται* (*ἀφικνεῖται* M) *ἐκείνων ἀξίως, ἀλλὰ τῶν ἐνθέων ποιητῶν οἷος Ὅμηρος καὶ Ὀ. εἰ δὲ πάντας ἁπλῶς ἀκούοιμεν τοὺς ποιητὰς ὥστε καὶ Ὅμηρον καὶ Ὀρφέα περιλαμβάνεσθαι, δῆλον ὅτι καὶ ἑαυτὸν συμπεριλαμβάνει, ὡς οὐδὲ αὐτὸς ἀξίως εἶπεν δυνησόμενος· ὡς ἂν οὖν εἰ ἔλεγε 'τὸν δὲ ὑπερουράνιον τόπον οὐδεὶς μὲν τῶν ἀνθρώπων τῶν ἐν τῆι ποιήσει ἀξίως ὑμνήσει, μόνος δὲ ὁ Ἀπόλλων καὶ ὁ τῶν Μουσῶν χορός'.*

Cf. frr. 99. 107.

91. (81) Procl. in Plat. Tim. 32 b (II 48, 15 Diehl) *οἱ δὲ Πυθαγόρειοι ἔλεγον ἐν τῶι οὐρανῶι θεωρεῖσθαι τὰ στοιχεῖα διχῶς, ἄλλως μὲν πρὸ ἡλίου, ἄλλως δὲ μετὰ ἥλιον. γῆ μὲν γὰρ αἰθερία ἡ σελήνη· τοῦτο μὲν οὖν καὶ ὁ θεολόγος εἴρηκε σαφῶς·*

μήσατο τ'[1] *ἄλλην γαῖαν*[2] *ἀπείριτον, ἥν τε σελήνην*
ἀθάνατοι κλήιζουσιν, ἐπιχθόνιοι δέ τε μήνην,
ἣ πόλλ' οὔρε' ἔχει, πόλλ' ἄστεα, πολλὰ μέλεθρα.[3]

1 *μήσατο δ'* Q. 2 *αἶαν δ' ἄλλην γαῖαν* M, *αἶαν ἄλλην* P. 3 *μέλαθρα* P. Vs. 1. 2 praebet Procl. etiam in Tim. 40 b. c (III 142, 12 Diehl) incipiens *μήσατο δ'* sicut supra Q.

Cf. eundem in Tim. 36 d (II 282, 11 Diehl) *καὶ τῶν θεολόγων τὴν σελήνην καλούντων γῆν διὰ τὴν τῆς γῆς ταύτης οἰκειότητα πρὸς αὐτήν· κοινὸν γοῦν αὐτοῖς τὸ ἀποκρύπτειν τὸ φῶς* et 40 e (III 172, 20 Diehl).

Herm. IX; Lob. I 499; Kern De Theogon. 53; Susemihl Ind. XV; Holwerda 308; Tannery *Rev. philolog.* XXI 1897, 191; Zeller *Zeitschr. wissensch. Theologie* XLII 1899, 235 = *Kl. Schr.* II 155; P. Capelle De luna stellis lacteo orbe animarum sedibus Diss. Hal. 1917, 3 n. 1.

Cf. fr. 22 et Plutarch. De Is. et Osir. 367 c. d *οἱ δὲ τοῖσδε τοῖς φυσικοῖς καὶ τῶν ἀπ' ἀστρολογίας μαθηματικῶν ἔνια μειγνύντες Τυφῶνα μὲν οἴονται τὸν ἡλιακὸν κόσμον, Ὄσιριν δὲ τὸν σεληνιακὸν λέγεσθαι. τὴν μὲν γὰρ σελήνην γόνιμον τὸ φῶς καὶ ὑγροποιὸν ἔχουσαν εὐμενῆ καὶ γοναῖς ζώιων καὶ φυτῶν εἶναι βλαστήσεσιν· τὸν δ' ἥλιον κτλ.*

92. (82) Procl. in Plat. Tim. 38 c (III 56, 4 Diehl) *διὸ καὶ ὥσπερ τὸν ἥλιον κατὰ ὥραν καὶ κατὰ ζώιδιον εἰρήκασιν ἀμείβειν τὰς μορφάς, οὕτω καὶ τὴν σελήνην κατὰ ἑκάστην ἡμέραν,*

ὄφρ' ἐν μηνὶ τρέπηι ὅπερ [*ὁ* del. Diehl] *ἥλιος εἰς ἐνιαυτόν,*

ὥς φησιν ὁ θεολόγος (cf. in Tim. 22 c [I 107, 29 Diehl] *οὕτω γὰρ οἵ τε μῦθοί φασιν οἱ παρ' Ἕλλησιν, ἥ τε τῶν Αἰγυπτίων ἐνδείκνυται παρά*|[107 Diehl] *δοσις* [*καὶ* del. Diehl] *περὶ ἡλίου λέγουσα μυστικῶς ὡς διαφόρους ἐν τοῖς ζωιδίοις ἀμείβοντος μορφάς* et Iamblich. De myster. VII 3 p. 253 Parth.). Procl. in Plat. Rempubl. II 58, 10 Kr. *καὶ ὁ ὅλος ἐνιαυσιαῖος κύκλος διήιρηται εἰς αὔξησιν καὶ μείωσιν· διὸ καὶ ὁ μηνιαῖος τῆς σελήνης κύκλος ἐνεικονίζεσθαι λέγεται τὸν ἐνιαύσιον τοῦ ἡλίου δρόμον· καὶ ὅ γε Ὀ. ἐν τῶι μηνὶ τρέπειν αὐτήν φησιν, ὅπερ ἥλιος ἐν ἐνιαυτῶι, τὸ* (Schoell] *τὰ* cod.) *ἀνάλογον ἐπ' ἀμφοῖν θεώμενος.*

Lob. I 499.

93. (81) Procl. in Plat. Tim. 40 e (III 172, 20 Diehl) *καὶ γὰρ οὐρανίαν γῆν* ([Taylor, *καὶ* codd.) *τὴν σελήνην Ὀ. προσηγόρευσε.*

γῆ αἰθερία ἡ σελήνη fr. 91.

94. (77) Procl. in Plat. Tim. 22 e (I 123, 2 Diehl) *καὶ γὰρ οὐ μόνον οἱ μαθηματικοὶ λέγουσι περὶ τοῦ μὴ πᾶν κλίμα γῆς ἀνθρώπους ἔχειν, ἀλλὰ καὶ Ὀ. οὑτωσὶ διορίζων·*

διώρισε δ' ἀνθρώποισι
χωρὶς ἀπ' ἀθανάτων ναίειν ἕδος, ἧι μέσος ἄξων
ἠελίου τρέπεται ποτινεύμενος[1] οὔτε τι λίην
ψυχρὸς ὑπὲρ κεφαλῆς οὔτ' ἔμπυρος, ἀλλὰ μεσηγύς.

1 δινεύμενος sive δινευμένου Herwerd. *Herm.* V 1871, 141 collato fr. ap. Macrob. Sat. I 18 p. 105, 17 Eyss.[2] (v. infra s. *ΒΑΚΧΙΚΑ*).

Herm. XIX p. 480; Lob. I 497; Holwerda 309; Zeller *Zeitschr. wissensch. Theol.* XLII 1899, 235 = *Kl. Schr.* II 155.

95. (83) Procl. in Plat. Tim. 21 d (I 94, 13 Diehl) *οὕτω γὰρ καὶ παρ' Ὀρφεῖ τὰ τῆς φύσεως ἔργα κλυτὰ προσαγορεύεται·*

καὶ φύσεως κλυτὰ ἔργα μένει[1] καὶ ἀπείριτος αἰών.

1 μένηι Lob.

Herm. XIX; Lob. I 500.

96. (79) Procl. in Plat. Tim. 41 c (III 227, 31 Diehl) *τοῦτον* (sc. *Ἥλιον*) *γὰρ ἐπέστησε τοῖς ὅλοις ὁ δημιουργός* (sc. *Φάνης*)·

καὶ φύλακ' αὐτὸν ἔτευξε κέλευσέ τε πᾶσιν ἀνάσσειν,

ὥς φησιν Ὀ.

Herm. XXV p. 485; Lob. I 497; Holwerda 308 contra quem ad Iovem versum referentem affero Procl. in Tim. 28 c (I 306, 10 Diehl) *τούτους οὖν τοὺς τρεῖς νόας καὶ δημιουργοὺς ὑποτίθεται* (sc. *Ἀμέλιος*) *καὶ τοὺς παρὰ τῶι Πλάτωνι* (Tim. 40 e) *τρεῖς βασιλέας καὶ τοὺς παρ' Ὀρφεῖ τρεῖς, Φάνητα καὶ Οὐρανὸν καὶ Κρόνον, καὶ ὁ μάλιστα παρ' αὐτῶι δημιουργὸς ὁ Φάνης ἐστίν* et in Tim. 30 a (I 390, 6 Diehl) *ὁ δέ γε Πλάτων Ὀρφεῖ συνεπόμενος ἐν τῶι δημιουργῶι πρῶτον εἶναί φησι τὴν τάξιν καὶ τὸ πρὸ τῶν μερῶν ὅλον.*

97. (84) Procl. in Plat. Tim. (I 312, 5 Diehl) *κρεῖττον δὲ τοῦ ποιητικοῦ τὸ πατρικόν· διόπερ ἐν τοῖς μέσοις, εἰ καὶ ἄμφω καθ' ἑκάτερον, ἀλλὰ μᾶλλον μὲν πατὴρ ὁ πρότερος· ἔστι γὰρ πέρας τοῦ πατρικοῦ βυθοῦ* (Kroll De orac. Chald. 18) *καὶ ἡ πηγὴ τῶν νοερῶν· μᾶλλον δὲ ποιητὴς ὁ δεύτερος· ἔστι γὰρ μονὰς τῆς ὅλης δημιουργίας. ὅθεν, οἶμαι, καὶ ἐκεῖνος μὲν καλεῖται Μῆτις, οὗτος δὲ Μητιέτης, καὶ ὁρᾶται μὲν ἐκεῖνος, ὁρᾶι δὲ οὗτος, καὶ καταπίνεται μὲν ἐκεῖνος, ἐμφορεῖται δὲ οὗτος τῆς ἐκείνου δυνάμεως, καὶ ὅπερ ἐκεῖνος ἐν τοῖς νοητοῖς, τοῦτο οὗτος ἐν τοῖς νοεροῖς ἐστι· πέρας γὰρ ὃ μὲν τῶν νοητῶν, ὃ δὲ τῶν νοερῶν ἐστι θεῶν· καὶ περὶ ἐκείνου μέν φησιν Ὀ.·*

ταῦτα πατὴρ ποίησε κατὰ σπέος ἠεροειδές.

Herm. VI vs. 1; Lob. I 501; Kern De Theogon. 15. 105; Holwerda 310; Dieterich *Nekyia*[2] 159 n. 1.

Cf. Or. Chald. *ταῦτα πατὴρ ἐνόησε, βροτὸς δέ οἱ ἐψύχωτο* Kroll De orac. Chald. 46. Dieterich l. l. confert Hymn. XIII *Κρόνου* vs. 5 *αἰῶνος Κρόνε παγγενέτωρ.* Ad *κατὰ σπέος* explicandum Pherecydis *μυχούς* iam affert Lob. I 501 n. *d.* v. Kern De Theogon. 105.

98. (73) Procl. in Plat. Tim. 31 a (I 450, 22 Diehl) *ὁ δέ γε Φάνης μόνος τε πρόεισι καὶ ὁ αὐτὸς ἀνυμνεῖται θῆλυς καὶ γενέτωρ* (fr. 81), *παράγει δὲ τὰς Νύκτας, καὶ τῆι μέσηι σύνεστιν ὡς πατήρ·*

αὐτὸς ἑῆς γὰρ[1] *παιδὸς ἀφείλετο κούριον*[2] *ἄνθος.*

1 *ἑῆς γὰρ* Gesn.] *γὰρ ἑῆς* codd., *παιδὸς γὰρ* Diehl; *αὐτῆς γὰρ τεῆς* Damasc. 2 *κούριμον* CM et Damasc.; v. infra p. 165; correxit Herm.

Damasc. De princ. 244 (II 115, 24 Rue.) *καὶ μὴν πρὸς τὸ τέταρτον ἀπαντῆσαι ῥάδιον ὅτι μετὰ τὴν νοητὴν καὶ ἀδιάκριτον ἕνωσιν ἔδει τινὰ προβληθῆναι διωρισμένην διάκρισιν τῶν προϊόντων ἣν εἰσῆγεν ὁ ἀριθμὸς καὶ μετὰ ταύτην φανῆναί τινα διοριζομένων συνέχειαν, οὐκ ἀφανίζουσαν τὴν πρόοδον ὡς ἡ ἕνωσις, ἀλλὰ συνεχίζουσαν καὶ εἰς συναφὴν τὴν πρὸς ἄλληλα συνάγουσαν τὰ διακριθέντα, ἵνα καὶ ἐν τῆι* | [116 Rue.] *διακρίσει ἡνωμένα πως φαίνηται· καὶ τοῦτο μὲν ἀρρενωπόν, ὡς ἐν διακρίσει· πρὸ τούτου δέ, τὸ θῆλυ, οὐ τοῦ ἄρρενος τούτου θῆλυ ὄν, ἀλλὰ τοῦ νοητοῦ ἄρρενος καὶ πατρός·*

αὐτῆς γὰρ τεῆς παιδὸς ἀφείλετο κούριμον ἄνθος·

καὶ διὰ τοῦτο εἰς ἄλλην διακόσμησιν προάγει τὰ ἐκείνου γεννήματα, ὡς ἡ Γῆ τὰ τοῦ Οὐρανοῦ καὶ ἡ Ῥέα τὰ ⟨*τοῦ* add. Rue.⟩ *Κρόνου καὶ Ἥρα τὰ τοῦ Διός,* ibidem 202 (II 84, 28 Rue. cf. Add. 385) *διὸ καὶ παρ' Ὀρφεῖ τὰ μὲν ἄλλα γένη ἐκ μητρὸς καὶ πατρός, ἡ δὲ πρώτη τῶν μητέρων*[1] *ἀπὸ μόνου τοῦ πατρὸς πρόεισιν ὡς ἀπὸ μονάδος μονάς,* ibidem 209 (II 92, 22 Rue. cf. 95, 12) *ἔτι δὲ Ὀ. ὡς ἄρρενι τῶι Φάνητι συνοικίζει τὴν Νύκτα· ἔτι δὲ καὶ τὰ λόγια 'πατρικὰς δυνάμεις' ἀποκαλεῖ τὰς ἴυγγας* (Kroll De orac. Chald. 40). *ἀλλὰ μὴν ἔχειν καὶ πατρικὸν αὐτὰς οἱ θεοὶ διδάσκουσιν, ὥσπερ καὶ Ὀ., εἴπερ βασιλεύει μόνη θηλείων ἡ Νύξ· καὶ βασιλεύει πάντων γενῶν οὐκ ἂν εἰ μή τι καὶ ἀρρενωπὸν εἶχεν καθ' ἑαυτὴν καὶ ταύτηι συνετάττετο τοῖς ἄρρεσι βασιλεῦσιν· οὐδαμοῦ γὰρ ἡγεῖται τὸ θῆλυ, ἧι θῆλυ.*

1 *ἡμετέρων* M; *μητέρων* Kern Herm. XXIII 1888, 484 n. VIII cf. Ruelle Add. 385.

Herm. VIII vs. 16; Lob. I 493; Kern De Theogon. 16. 43. Cf. versum in Schol. V et Eustath. ad Iliad. *N* 433 *ὄφελλε δὲ κούριον ἄνθος* et Argonaut. 1339 *καὶ τότε παρθενίης νοσφίζετο κούριον ἄνθος αἰνόγαμος Μήδεια δυσαινήτοις ὑμεναίοις.*

99. (60) Herm. in Plat. Phaedr. 247 d p. 154, 15 Couvr. *οὐ μάτην δὲ οὐδὲ τὰ τρία ταῦτα ὀνόματα παρέλαβεν, αὐτὴν δικαιοσύνην, αὐτὴν σωφροσύνην, αὐτὴν ἐπιστήμην. τριῶν γὰρ παραδεδομένων*[1] *Νυκτῶν παρ' Ὀρφεῖ, τῆς μὲν ἐν ταὐτῶι*[2] *μενούσης τῆς πρώτης, τῆς δὲ τρίτης ἔξω προελθούσης, τῆς δὲ*[3] *μέσης τούτων, τὴν μὲν πρώτην μαντεύειν* (fr. 103) *φησίν, ὅ ἐστι τῆς ἐπιστήμης, τὴν δὲ μέσην αἰδοίαν*[4] *καλεῖ, ὅ ἐστι τῆς*[5] *σωφροσύνης, τὴν δὲ τρίτην ἀποτίκτειν φησὶ τὴν Δικαιοσύνην.*

Neoplatonicorum nugae extant etiam ap. Procl. in Plat. Tim. 39 b. c. d (III 88, 18 Diehl) *καὶ γὰρ τῆς νυκτὸς καὶ τῆς ἡμέρας τάξεις πολλαί, νοηταὶ καὶ νοεραὶ καὶ ὑπερκόσμιοι καὶ οὐράνιοι καὶ ὑπὸ σελήνην, ὡς καὶ ἡ Ὀρφικὴ διδάσκει θεολογία, καὶ αἱ μὲν πρὸ τῆς δημιουργίας, αἳ δὲ ἐν αὐτῆι περιεχόμεναι, αἳ δὲ ἀπ' αὐτῆς προϊοῦσαι, καὶ αἳ μὲν ἀφανεῖς, αἳ δὲ ἐμφανεῖς, ἐπεὶ καὶ ὁ μὴν καὶ ὁ ἐνιαυτὸς ἄλλος μὲν ὁ ἀφανὴς καὶ ὁ μετρητικὸς καὶ συνοχικὸς καὶ τελεσιουργὸς τῶν νοερῶν τε καὶ σωματικῶν περιόδων, ἄλλος δὲ ὁ ἐμφανής, ὃς περάτωσίς ἐστι καὶ μέτρον τῆς ἡλιακῆς περιπολήσεως* et Damasc. De princ. 192 (II 69, 20 Rue. cf. Add. 385) *οὐδὲ ἄρα ἡ ἑτερότης αὐτὴ ἀνούσιος· καθ' ἑαυτὴν δὲ ὑφεστῶσα, οὕτω καὶ ἐν τοῖς ἄκροις ὁρᾶται καί πως ἐν τῶι ἑνὶ κατὰ τὴν αἰτιώδη προβολήν· πάντα γὰρ ἦν ἐν ἀλλήλοις ἰδίως· ἔτι δὲ προϋπάρχει καὶ ἐν τοῖς νοητοῖς ἡ ἑτερότης κρύφιος. ἐκεῖθεν οὖν εἰς τάσδε τὰς μονάδας μερίζεται κατὰ τὴν προϊοῦσαν μέθεξιν ἀπὸ τῶν προτέρων εἰς τὰ δεύτερα. ἐπεὶ καὶ τόδε εἰπών τις οὐ πόρρω βαλεῖ τῆς θεολόγου συνηθείας, ὅτι αἱ τρεῖς ὁμοταγεῖς πώς εἰσιν κατὰ τὴν τριάδα συνυποστᾶσαι, καὶ ὡς* (*καὶ πῶς* M., corr. Ruelle.) *ἐν μιᾶι τριάδι, ἡ μὲν πρώτη ἐστίν, ἡ δὲ μέση, ἡ δὲ τρίτη. καὶ οὐδὲν θαυμαστὸν ἀντιμεταδιδόναι ἀλλήλαις αὐτὰς τῶν οἰκείων ἰδιωμάτων. ἀλλ' ἔτι γὰρ πρὸς τοῖς εἰρημένοις, αἱ τρεῖς αὗται μονάδες αἱ ἴυγγές* (cf. Kroll De orac. Chald. 39) *εἰσι καὶ αἱ νύκτες αἱ τρεῖς. οὐκοῦν ἡ μὲν πρώτη πατρική ἐστιν καὶ τῶι πατρὶ σύνεστιν, ἡ δὲ γονιμωτάτη καὶ κατὰ τὴν δύναμιν τῆς τριάδος ἑστῶσα, ἡ δὲ ὡς νοῦς τῆς τριάδος καὶ ἤδη συντεταγμένη τοῖς πολλοῖς θεοῖς. καὶ ἡ μέση ἄρα τελεία φύσις ἐστὶ τῶι διακριτικῶι μάλιστα χαίρουσα· αὕτη δὲ ἦν ἡ ἑτερότης.*

1 *παραδεδομένων* codd., *παραδιδομένων* Ast. 2 *ἐν ταὐτῶι* Couvr., *ἐν αὐτῶι* Ab. 3 *δὲ* om. Gesn. 4 *αἰδοίην* Gesn. 5 *τῆς* om. Ab.

Herm. 506 n. 8; Lob. I 502; Schuster 22; Kern De Theogon. 6; Holwerda 311.

100. Damasc. De princ. 213 (II 95, 6 Rue.) *διὰ τοῦτο καὶ Ὀ. Νύκτα αὐτὴν* (sc. *τήνδε τὴν διακόσμησιν*) *προσηγόρευσεν ὡς ὑπὲρ* (*ὑπὸ*? Rue.) *τὴν ἐμφανῆ τοῦ οὐρανοῦ ἐκείνου μαρμαρυγήν. ἴσως δὲ καὶ ὅτι τῆς νυκτὸς ὁ κῶνος εἰς ὀξὺ λήγει, καθάπερ καὶ αὕτη εἰς τὸ ἀμερέστατον ἀποκορυφοῦται τῆς νοερᾶς οὐσίας.*

μαρμαρυγή vox Orphica? Cf. Hymn. VII 10 de stellis *αὐγάζοντες ἀεὶ Νυκτὸς ζοφοειδέα πέπλον, μαρμαρυγαῖς στίλβοντες. κῶνον* astronomice intellegendum esse monuit Dielesius apud Kernium *Herm.* XXIII 1888, 485 n. XII coll. Cleomed. Cycl. theor. p. 139 Bake: *ἡ οὖν γῆ φωτιζομένη ὑπ' αὐτοῦ* (sc. *ἡλίου*) *σκιὰν ἀποπέμπει ἀναγκαίως καθάπερ καὶ ἄλλα ὁπόσα φωτίζεται τῶν στερεῶν σωμάτων· αὕτη τοίνυν κωνοειδῶς σχηματιζομένη ὅλον μὲν οὐκ ἐπιλαμβάνει τὸν ζωιδιακὸν οὐδὲ παντὶ τῶι πλάτει αὐτοῦ συμπαρεκτείνεται διὰ τὸ εἰς ὀξὺ ἀποκορυφοῦσθαι.*

101. (86) Procl. in Plat. Cratyl. 396 b (54, 21 Pasqu.) *ἢ ὅτι τῆς βασιλικῆς τῶν θεῶν σειρᾶς ἀρχομένης μὲν ἀπὸ Φάνητος, καταντώσης δ' εἰς τὸν δεσπότην ἡμῶν τὸν Διόνυσον καὶ τὸ αὐτὸ σκῆπτρον ἄνωθεν ἄχρι τῆς ἐσχάτης βασιλείας προαγούσης, μόνος ὁ Κρόνος, τὴν τετάρτην βασιλικὴν τάξιν κληρωσάμενος, παρὰ πάντας τοὺς ἄλλους ὑβριστικῶς δοκεῖ κατὰ τὸ μυθικὸν πρόσχημα προσδέχεσθαι καὶ ἐκ τοῦ Οὐρανοῦ τὸ σκῆπτρον καὶ μεταδιδόναι τῶι Διί· καὶ γὰρ ἡ Νὺξ παρ' ἑκόντος αὐτὸ λαμβάνει τοῦ Φάνητος·* | 55 Pasqu.

σκῆπτρον δ' ἀριδείκετον εἷο χέρεσσιν[1]
θῆκε[2] *θεᾶς Νυκτός, ⟨ἵν' ἔχηι⟩*[3] *βασιληΐδα τιμήν.*

καὶ ὁ Οὐρανὸς παρὰ τῆς Νυκτὸς ἑκούσης ὑποδέχεται τὴν ἐπικράτειαν τῶν ὅλων.

1 *εἷο χέρεσσιν* (*χέρεσιν*) codd.] *εἰνὶ χέρεσσιν* Platt *Journ. phil.* Lond. XXVI 1899, 230. 2 *θῆκε* Lob., *ἔθηκε* codd. 3 *⟨ἵν' ἔχηι⟩* add. Lob., *⟨ἱερῆς⟩* add. Werfer.

Lob. I 502; Zeller I^6 123.

Ad vs. 2 cf. Hesiod. Theogon. 461 *ἵνα μή τις ἀγαυῶν Οὐρανιώνων ἄλλος ἐν ἀθανάτοισιν ἔχοι βασιληΐδα τιμήν.*

102. (87) Alexand. Aphrod. in Aristot. Metaph. *N* 4 p. 1091 b 4 (821, 19 Hayd.) *μεθ' ὃν* (sc. *Ἠρικεπαῖον* fr. 107) *Νύξ·*

σκῆπτρον ἔχουσ' ἐν χερσὶν ἀριπρεπὲς Ἠρικεπαίου.[1]

Eundem versum omisso *ἀριπρεπὲς* habet Syrian. in eundem Aristot. loc. p. 182, 15 Kr. fr. 107.

1 *ἠρισκεπαίου* Syrian.] *Ἠρικαπαίου* Alex.

103. (88) Herm. in Plat. Phaedr. 247 c p. 147, 20 Couvr. *ὁ γάρ τοι Ὀρφεὺς περὶ τῆς Νυκτὸς λέγων 'θεῶν γὰρ ἔχει,*[1] *φησὶ . . .'*[2] *καὶ*

μαντοσύνην δ' οἱ[3] *δῶκεν ἔχειν ἀψευδέα πάντηι.*[4]

καὶ αὕτη λέγεται μαντεύειν τοῖς θεοῖς.

1 *ἔχει* codd., *ἄρχει* Kern *Herm.* XXIII 1888, 484 n. 1. 2 *φησὶ* ⟨*βασιληΐδα τιμήν*⟩ Ab. 3 *δὲ οἱ* codd., *δὲ* del. Ab. 4 *πάντων* Hermias infra.

Eundem versum laudat idem 150, 9 *ὁ δὲ Πλάτων ὅπερ μὲν εὗρε καταφατικῶς ὑπὸ τοῦ θεολόγου ῥηθέν, τοῦτο αὐτὸς ἀποφατικῶς προηνέγκατο — ὃ γὰρ ἐκεῖνος Νύκτα εἶπε, τοῦτο οὗτος ἀχρώματον —, ὃ δὲ ἐκεῖνος ἀποφατικῶς ἀψευδέα* (secl. Couvr.) *εἰπών· μαντοσύνην . . πάντων, τοῦτο οὕτως καταφατικῶς εἶπε 'περὶ ἣν τὸ τῆς ἀληθοῦς ἐπιστήμης γένος, οὐσία ὄντως οὖσα'* et 151, 5 *οὐ τὴν κατὰ συμφωνίαν ἀλήθειαν λέγει, ἀλλ' ἥτις σύνδρομον ἔχει τῶι ἀληθεῖ τὸ εἶναι αὐτῆς καὶ τὴν οὐσίαν, καὶ τοῦτό ἐστιν αὐτῆς τὸ εἶναι ἡ ἀλήθεια, ἣ ὅπερ καὶ ὁ θεολόγος εἶπε· μαντοσύνην δέ οἱ δῶκεν ⟨ἔχειν⟩ ἀψευδέα πάντων.*

Herm. 506 n. 6; Lob. I 502; Ninck *Bedeutung des Wassers Philolog. Suppl.* XIV 1921, 64 n. 3.

104. (72) Procl. in Plat. Tim. E prooem. III 169, 15 Diehl *ἔνιοι μὲν οὖν φασιν, ὅτι τοὺς μὲν ἀνὰ λόγον τοῖς δύο βασιλεῦσιν ἐν οὐρανῶι καταλέλοιπε ζητεῖν, Φάνητι*[1] *λέγω καὶ Νυκτί· δεῖ γὰρ τοὺς*[2] *ἐν ὑπερτέραι τάξει ποιεῖν καὶ ἐν τοῖς ἐγκοσμίοις, διότι δὴ καὶ πρὸ τοῦ κόσμου τῶν νοερῶν ἡγοῦνται θεῶν, ἐν τῶι ἀδύτωι διαιωνίως ἱδρυμένοι, καθά φησιν Ὀ., αὐτοῦ τοῦ Φάνητος, τὴν κρύφιον αὐτῶν τάξιν καὶ ἀνέκφαντον ἐκεῖνος ἄδυτον ἀποκαλῶν. εἴτε οὖν τὴν ταὐτοῦ περιφορὰν καὶ τὴν θατέρου τάττειν ⟨ἐθέλοι τις⟩*[3] *εἰς τὴν τούτων ἀναλογίαν ὡς ἄρρεν καὶ θῆλυ καὶ πατρικὸν καὶ γεννητικόν, οὐκ ἂν ἁμαρτάνοι τῆς ἀληθείας, εἴτε ἥλιον καὶ σελήνην ὡς ἐν τοῖς πλανωμένοις ἀντιθέτους ὁ μὲν ἥλιος τὴν ὁμοιότητα ⟨τὴν⟩ πρὸς τὸν Φάνητα δια⟨σώσει, ἡ δὲ⟩ σελήνη τὴν πρὸς τὴν Νύκτα. ⟨εἰ δὲ τοῦτο⟩*

ἀληθές, ὡς ἐμοὶ δοκεῖ, ⟨τὸν ἕν⟩α τῶν ὅλων δημιουργὸν ⟨ἀνὰ λό|170 Diehl γ⟩ον ἱδρύσας τῶι πατρὶ ⟨τῶι⟩ Φάνητι νοερὸν[4] . . . καὶ αὐτόν — καὶ γὰρ . . . ταύτης ἐστι τῶν κόσμων . . . ποιεῖν ὁ θεολόγος,[5] ὥσπερ οὗτος τοῦ τε Οὐρανοῦ καὶ τῆς Γῆς —· τὸν δὲ κρατῆρα τὸν ζωιογόνον τῆι Νυκτὶ τῆι πᾶσαν ἐκ τῶν ἀφανῶν παραγούσηι ζωὴν μετὰ τοῦ Φάνητος, ὡς καὶ ὁ κρατὴρ πᾶσαν λοχεύει τοῖς ἐν τῶι κόσμωι ψυχήν· βέλτιον γὰρ ἄμφω πρὸ τοῦ κόσμου νοεῖν καὶ τὸν μὲν δημιουργὸν αὐτὸν ἀνὰ λόγον τῶι Φάνητι τάττειν, ἐπειδὴ καὶ πρὸς αὐτὸν ἀφομοιοῦσθαι λέγεται κατὰ τὴν ποίησιν τῶν ὅλων, τὴν δὲ συνεζευγμένην αὐτῶι καὶ γεννητικὴν τῶν ὅλων δύναμιν τῆι Νυκτὶ ἀφανῶς τὰ πάντα ἐκ τοῦ πατρὸς προαγούσηι, μετὰ δὲ τούτους τὰς λοιπὰς παραδιδόναι βασιλείας διακεκοσμημένας ἀν` λόγον ταῖς νοεραῖς. καὶ εἰ καὶ αὐτὸ τοῦτο ζητοίημεν, διὰ τί μὴ καὶ τὰς δύο διαρρήδην βασιλείας ἔλαβεν ἀνὰ λόγον, προσεχέστερόν ἐστι λέγειν, ὅτι καὶ ἐκείνους[6] μὲν ἡ Ὀρφέως εἶχε παράδοσις . . . δι' οὗ τὴν Οὐρανοῦ πρώτην καὶ Γῆς ἐξυμνεῖ βασιλείαν, συνηθεστέρα τοῖς Ἕλλησιν οὖσα, καθάπερ καὶ αὐτὸς ἐν τῶι Κρατύλωι (396 c) λέγει . . . .

1 an ⟨τῶι πρώτωι⟩ Φάνητι? Diehl. 2 τοὺς Kroll; αὐτοὺς codd. 3 add. Diehl. 4 νοερὸν ⟨ἀποδείξει⟩ Diehl. 5 καὶ γὰρ ⟨ἐκ τῆς συστοιχίας⟩ ταύτης ἔστι ⟨τὴν vel τὸν⟩ τῶν κόσμων ⟨ἀπογέννησιν vel ἀριθμὸν⟩ ποιεῖν, ⟨φησὶν⟩ ὁ θ. temptat Diehl; aliter Kroll: καὶ γὰρ ⟨ἐκεῖνος τῆς φαινομένης⟩ τ. ἐ. τ. κ. ⟨γενέσεως αἴτιος· καὶ γὰρ . . . εἴωθε⟩. 6 ἐκείνας? Diehl.

Procl. in Plat. Parm. 134 c p. 965, 10 Cous.[2] ἐπὶ δὲ τούτων νοητῶν εἰδῶν ἀληθὲς καὶ τὸ μὴ 'πρὸς ἡμᾶς αὐτὰ τὴν δύναμιν ἔχειν, μηδὲ ἡμᾶς πρὸς ἐκεῖνα'· καὶ γὰρ ἡμῖν ἄγνωστά ἐστι καὶ ὑπὲρ τὴν ἡμετέραν ἵδρυται νόησιν, ἐν τῶι ἀδύτωι κεκρυμμένα τοῦ πατρός, καὶ ὥς φησιν ὁ θεολόγος, μόνηι γνώριμα τῆι προσεχῶς μετὰ ταῦτα τάξει τῶν θεῶν.

Lob. I 494.

Ad κρατήρ cf. infra s. ΚΡΑΤΗΡΕΣ De ἀδύτωι v. fr. 105.

105. (109. 110) Herm. in Plat. Phaedr. 248 c p. 161, 15 Couvr. ἡ δὲ Ἀδράστεια μία ἐστὶ καὶ αὕτη θεὸς τῶν μενουσῶν ἐν τῆι Νυκτί, γενομένη[1] ἐκ Μελίσσου καὶ Ἀμαλθείας. ὁ μὲν οὖν Μέλισσος κατὰ τὴν ἐπιμέλειαν τῶν δευτέρων καὶ πρόνοιαν εἴληπται· ἡ δὲ Ἀμάλθεια κατὰ τὸ ἀκλινὲς καὶ μὴ μαλθάσσεσθαι. ἐκ τῆς οὖν προνοίας τῆς ἀκλινοῦς γέγονεν ἡ Ἀδράστεια, ἥτις ἀδελφή ἐστι τῆς Ἴδης·

a Ἴδη[2] τ' εὐειδὴς καὶ ὁμόσπορος Ἀδρήστεια,[3]

ἡ πάντων ὁμοῦ τῶν νόμων τῶν τε ἐγκοσμίων καὶ ὑπερκοσμίων, τῶν τε εἱμαρμένων καὶ διΐων — εἰσὶ γὰρ καὶ διΐοι νόμοι καὶ κρόνιοι, θεῖοί τε[4] καὶ ὑπερκόσμιοι καὶ ἐγκόσμιοι —, ἡ πάντων οὖν τούτων τὰ μέτρα[5] ἑνιαίως ἐν ἑαυτῆι συλλαβοῦσα καὶ συνέχουσα. αὕτη ἐστὶν ἡ θεὸς Ἀδράστεια διὰ | 162 Couvr. τοῦτο κεκλημένη διὰ τὸ τὰ ὑπ' αὐτῆς τεθέντα καὶ νομοθετηθέντα ἀναπόδραστα εἶναι· διὸ καὶ πρὸ τοῦ ἄντρου τῆς Νυκτὸς ἠχεῖν λέγεται·

b παλάμῃσι δὲ χάλκεα ῥόπτρα
δῶκεν[6] Ἀδρηστείαι.[7]

ἐν τοῖς προθύροις γὰρ τοῦ ἄντρου τῆς Νυκτὸς ἠχεῖν λέγεται τοῖς κυμβάλοις, ἵνα πάντα αὐτῆς[8] τῶν νόμων κατήκοα γένηται. ἔνδον μὲν γὰρ ἐν τῶι ἀδύτωι τῆς Νυκτὸς κάθηται ὁ Φάνης· ἐν μέσωι δὲ ἡ Νὺξ μαντεύουσα (v. fr. 103) τοῖς θεοῖς· ἡ δὲ Ἀδράστεια ἐν τοῖς προθύροις πᾶσι νομοθετοῦσα τοὺς θείους θεσμούς. διαφέρει δὲ τῆς ἐκεῖ Δίκης ὡς νομοθετικὴ δικαστικῆς· καὶ ἡ μὲν ἐκεῖ Δίκη θυγάτηρ λέγεται[9] τοῦ Νόμου τοῦ ἐκεῖ[10] καὶ Εὐσεβείας, αὕτη δὲ ἡ[11] Ἀδράστεια ἐκ Μελίσσου καὶ Ἀμαλθείας οὖσα περιεκτική ἐστι καὶ τοῦ Νόμου. αὗται δὴ καὶ λέγονται τρέφειν τὸν Δία ἐν τῶι ἄντρωι τῆς Νυκτὸς, ἄντικρυς τοῦ θεολόγου τοῦτο[12] λέγοντος ὃ καὶ Πλάτων περὶ αὐτοῦ φησι· καὶ γὰρ δημιουργοῦντα καὶ αὐτὸν ποιεῖ καὶ διαθεσμοθετοῦντα. θεσμὸς δὲ ἐνδίδοται μὲν παρὰ τῆς Ἀδραστείας καὶ εἰς τοὺς θεούς — ἡ γὰρ ἐν αὐτοῖς τάξις ὑπὸ ταύτης ἐστὶ τῆς θεοῦ —, ἐνδίδοται δὲ καὶ εἰς τοὺς ὀπαδοὺς τῶν θεῶν καὶ κοινῆι πᾶσι καὶ ἰδίαι ἑκάστωι.

1 *γενομένου* M. 2 *Εἴδη* vulgo, '*fort.* *Ἴδη legendum*' Ab.; v. etiam Wilamowitz *Herm.* LIV 1919, 60. 3 *Ἀδράστεια* M schol. 4 *θεῖοι τε* Ast, *θεοί τε* codd. 5 *κέντρα* M, in marg. A^1 ut videtur, DE. 6 *δῶκ' Ἀ.* v. Neustadt. 7 *Ἀδραστείᾳ* M; *Ἀδραστείηι* schol.; *Ἀδρηστείηι* Gesn. 8 *τὰ αὐτῆς* M; *πάντα αὐτῆς* Herm.; *πάντα τὰ αὐτ.* Ab.; v. Platt *Journ. of phil.* Lond. XXVI 1899, 230. 9 *λέγεται εἶναι* schol. 10 *τοῦ ἐκεῖ Νόμου* M. 11 *αὕτη ἡ* om. *δὲ* AM. 12 *τοῦτο τοῦ θεολόγου* M.

Herm. 506 n. 9; Lob I 514. Perperam ego de hoc loco egi *Archaeolog. Jahrb.* III 1888, 235 (Brueckner LXII. *Berl. Winckelmannsprogr.* 1907, 17); refutavit Gruppe *Suppl.* 746; v. etiam Neustadt De Iove Cretico diss. Berol. 1906, 5.

Vide fr. 152. *Immensi spelunca aevi*, quam cum incolis Claudian. De consul. Stilichon. II 426 describit, forsitan Orphicorum antri Noctis imitatio est: Dieterich *Nekyia*[2] 159 n. 1. Contradixit Wilamowitz in litteris ad Diet. datis ibidem p. XII. De Claudiano Orphicorum imitatore v. supra test. nr. 226.

106. (99) Procl. in Plat. Cratyl. 404 b p. 92, 9 Pasqu. *ὅτι ἡ Δημήτηρ, ὥσπερ πᾶσαν ζωὴν προχέει, οὕτως καὶ πᾶσαν τροφήν· ἔχει δὲ παράδειγμα τὴν Νύκτα, — θεῶν γὰρ τροφὸς ἀμβροσίη Νὺξ λέγεται —, ἀλλ' ἐκείνη μὲν νοητῶς.*

Lob. I 501.

Sine auctore hoc fragmentum a Proclo allatum esse iure monuit Lob.; attamen Orphicum esse probant Proclus fr. 104 *τὸν δὲ κρατῆρα τὸν ζωιογόνον τῆι Νυκτὶ τῆι πᾶσαν ἐκ τῶν ἀφανῶν παραγούσηι ζωὴν μετὰ τοῦ Φάνητος* et infra fr. 129. Sequitur ap. Procl. in Cratyl. fr. 91.

107. (85) De deorum regnis hi loci extant: Alexand. Aphrodis. in Aristot. Metaphys. *N* 1091 b 4 (821, 5 Hayd.) *εἰπὼν ὅτι τινὲς τῶν νῦν θεολόγων διαρρήδην ἀνακηρύττουσιν, ὅτι τὸ ἀγαθὸν καὶ ἄριστον ὕστερόν ἐστι τῆς τῶν ὄντων φύσεως, ἐπιφέρει ὅτι παραπλησίως τούτοις περὶ τοῦ ἀγαθοῦ καὶ ἀρίστου λέγουσι καὶ οἱ ἀρχαῖοι ποιηταί. αἰνίττεται δὲ τὸν Ὀρφέα· καὶ οὗτος γάρ φησιν ὅτι τὸ ἀγαθὸν καὶ ἄριστον ὕστερόν ἐστι τῶν ἄλλων. ἐπεὶ γὰρ τὸ βασιλεῦον καὶ κρατοῦν τῆς τῶν ἁπάντων φύσεώς ἐστι τὸ ἀγαθὸν καὶ ἄριστον, ὁ δὲ Ζεὺς βασιλεύει καὶ κρατεῖ, ὁ Ζεὺς ἄρ' ἐστὶ τὸ ἀγαθὸν καὶ ἄριστον. καὶ ἐπεὶ πρῶτον μὲν κατ' Ὀρφέα τὸ Χάος γέγονεν, εἶθ' ὁ Ὠκεανός, τρίτον Νύξ, τέταρτον ὁ Οὐρανός, εἶτ' ἀθανάτων βασιλεὺς θεῶν ὁ Ζεύς, δῆλον ὅτι καὶ οὗτος τὸν Δία, ταὐτὸν δ' εἰπεῖν τὸ ἀγαθὸν καὶ ἄριστον, ὕστερον νομίζει καὶ τοῦ Χάους καὶ τοῦ Ὠκεανοῦ καὶ τῆς Νυκτὸς καὶ τοῦ Οὐρανοῦ, ἤτοι τοῦ κόσμου. ἀλλ' οὗτοι μέν, φησίν, οἱ ποιηταὶ διὰ τὸ μεταβάλλειν καὶ ἄλλοτε ἄλλους ποιεῖν τοὺς ἄρχοντας τῶν ὄντων — πρῶτον μὲν γὰρ 'βασίλευσε περίκλυτος Ἠρικεπαῖος'*[1] (fr. 108) *φησὶν ἡ ποίησις, μεθ' ὃν Νὺξ 'σκῆπτρον ἔχουσ' ἐν χερσὶν ἀριπρεπὲς Ἠρικεπαίου* (fr. 102) *μεθ' ἣν Οὐρανός, 'ὃς πρῶτος βασίλευσε θεῶν μετὰ μητέρα Νύκτα* (fr. 111) —, *οὗτοι δὴ διὰ τὸ τοὺς ἄρχοντας μεταβάλλειν τὸ ἀγαθὸν καὶ ἄριστον ὕστερον ποιοῦσιν.*

1 *Ἠρικεπαῖος* et *Ἠρικεπαίου* Brandis] *Ἠρικαπαῖος* et *Ἠρικαπαίου* codd. v. fr. 31 p. 103.

Alexandrum potissimum sequitur Syrian. in Aristot. Metaphys. *N* p. 1091 b 4 (182, 9 Kr.) *οὐδὲ ταῦτα* ⟨*κατὰ* add. Lob.⟩ *τὸ ἀληθὲς ἱστόρηται περὶ τῶν θεολόγων· ἐκεῖνοι γὰρ Νύκτα μὲν καὶ Οὐρανόν φασι βασιλεύειν καὶ πρὸ τούτων τὸν μέγιστον αὐτῶν πατέρα· 'τὸν τόθ'*[1] *ἑλὼν διένειμε θεοῖς θνητοῖσί τε*

κόσμον, οὗ πρῶτος βασίλευσε περικλυτὸς Ἠρικεπαῖος'[2] (fr. 108) μεθ' ὃν ἡ Νύξ 'σκῆπτρον ἔχουσ' ἐν χερσὶν ⟨ἀριπρεπὲς⟩[3] Ἠρικεπαίου'[4] (fr. 102) μεθ' ἣν ὁ Οὐρανός 'ὃς πρῶτος βασίλευσε θεῶν μετὰ μητέρα Νύκτα' (fr. 111). τὸ δὲ Χάος ὑπὲρ τὴν τοῦ βασιλεύοντός ἐστι σχέσιν· τὸν δὲ Δία οὐ πρῶτον ἀλλὰ πέμπτον βασιλέα σαφῶς ὀνομάζουσιν οἱ πρὸς αὐτὸν παρὰ τῆς Νυκτὸς δοθέντες χρησμοί· 'ἀθανάτων[5] βασιλῆα θεῶν πέμπτον σε γενέσθαι'. ἡ πρωτίστη οὖν ἀρχὴ καὶ παρ' αὐτοῖς ἓν καὶ τἀγαθόν, μεθ' ἣν ἡ δυὰς ἡ κρείττων τοῦ βασιλεύειν, Αἰθὴρ μὲν καὶ Χάος[6] * * * κατὰ τὸν Πυθαγόραν· εἶτα τὰ πρώτιστα καὶ κρύφια τῶν θεῶν γένη· ἐφ' οἷς ὁ πρῶτος ἀναφανεὶς τῶν ὅλων πατὴρ καὶ βασιλεύς, ὃν διὰ τοῦτο Φάνητα προσεῖπον. οὔτ' οὖν οἱ ἄριστοι τῶν φιλοσόφων ἀφίστανται τῶν θεολόγων οὔθ' οἱ θεολόγοι τὰ δεύτερα δυνατώτερα καὶ ἀμείνω τῶν ἀρχηγικωτέρων φασὶν εἶναι, ἀλλὰ μία ἡ παρὰ πᾶσιν αὐτοῖς ἀλήθεια.

1 τὸν τόθ' C; τοῖον Simpl. v. fr. 108, τοῦτό θ' (sc. μέτρον) coni. Usen. 2 ἠρισκεπαῖος C. 3 ἀριπρεπὲς ex Alex. (fr. 102) add. Brandis. 4 ἠρισκεπαίου C. 5 ἀθανάτων Lob., ἀθάνατον C. 6 '*post Χάος et hiare orationem manifesto apparet et supplere satis probabiliter hiatum licet Αἰθὴρ μὲν καὶ Χάος κατ' ἐκείνους (sive κατὰ τὸν Ὀρφέα sive κατὰ τοὺς θεολόγους mavis), Πρωτεὺς δὲ καὶ Χάος κατὰ τὸν Πυθ.*' Usen.

Procl. in Plat. Tim. prooem. E (III 168, 15 Diehl) τίνες οὖν αἱ Ὀρφικαὶ παραδόσεις, ἐπειδήπερ εἰς ταύτας ἀναφέρειν οἰόμεθα χρῆναι τὴν τοῦ Τιμαίου περὶ θεῶν διδασκαλίαν; θεῶν βασιλέας παραδέδωκεν Ὀ. κατὰ τὸν τέλειον ἀριθμὸν τῶν ὅλων προεστηκότας Φάνητα Νύκτα Οὐρανὸν Κρόνον Δία Διόνυσον· πρῶτος γὰρ ὁ Φάνης κατασκευάζει τὸ σκῆπτρον· καὶ πρῶτος βασίλευσε (βασιλεὺς codd.) περικλυτὸς Ἠρικεπαῖος (fr. 108)· δευτέρα δὲ ἡ Νύξ, δεξαμένη παρὰ τοῦ πατρός, τρίτος δὲ ⟨ὁ add. Diehl⟩ Οὐρανὸς παρὰ τῆς Νυκτός, καὶ τέταρτος ὁ Κρόνος, βιασάμενος, ὥς φασι, τὸν πατέρα, καὶ πέμπτος ὁ Ζεύς, κρατήσας τοῦ πατρός, καὶ μετὰ τοῦτον ἕκτος ὁ Διόνυσος. οὗτοι δὴ πάντες οἱ βασιλεῖς ἄνωθεν ἀπὸ τῶν νοητῶν καὶ νοερῶν ἀρξάμενοι θεῶν χωροῦσι διὰ τῶν μέσων τάξεων καὶ ἐς τὸν κόσμον, ἵνα καὶ τὰ τῇδε κοσμήσωσι· Φάνης γὰρ οὐ μόνον ἐστὶν ἐν τοῖς νοητοῖς, ἀλλὰ καὶ ἐν τοῖς νοεροῖς, ἐν | [169 Diehl] τῆι δημιουργικῆι τάξει καὶ ἐν τοῖς ὑπερκοσμίοις καὶ τοῖς ἐγκοσμίοις, καὶ Νὺξ καὶ Οὐρανὸς ὁμοίως· αἱ γὰρ ἰδιότητες αὐτῶν διὰ πάντων χωροῦσι τῶν μέσων. αὐτὸς δὲ ὁ μέγιστος Κρόνος οὐχὶ καὶ πρὸ

τοῦ Διὸς τέτακται καὶ μετὰ τὴν Δΐον βασιλείαν, μετὰ τῶν ἄλλων Τιτάνων τὴν Διονυσιακὴν μερίζων δημιουργίαν, καὶ ἄλλος μὲν ἐν τῶι οὐρανῶι, ἄλλος δὲ ἐν τοῖς ὑπὸ σελήνην, καὶ ἐν μὲν τῆι ἀπλανεῖ ἄλλος, ἐν δὲ ταῖς πλανωμέναις ἄλλος, καὶ Ζεὺς ὁμοίως καὶ Διόνυσος; ταῦτα μὲν οὖν καὶ διαρρήδην εἴρηται τοῖς παλαιοῖς. Cf. Schol. in Procl. Tim. 28 c = I 314, 28 (I 474 Diehl) *πρῶτος βασιλεὺς ὁ Φάνης· ὁ γὰρ αἰὼν καὶ ἡ πρώτη τριὰς ὑπὲρ τὴν τοῦ βασιλέως εἰσὶ τάξιν. δεύτερος βασιλεὺς ἡ Νύξ, ἡ πρώτη τῶν νοητῶν ἅμα καὶ νοερῶν τριάδων τριάς. τρίτος βασιλεὺς ὁ Οὐρανός, ἡ δευτέρα τριὰς τῶν αὐτῶν, ⟨τῶν⟩ νοητῶν ἅμα καὶ νοερῶν τριάδων. τέταρτος ὁ Αἰθήρ, ἡ τρίτη τῶν αὐτῶν τριάς. πέμπτος ὁ Ζεύς* et Procl. in Plat. Cratyl. 396 b. c p. 59, 11 Pasqu. *καὶ ἔστιν ὁ μὲν πρῶτος Φάνης, ὁ δὲ δεύτερος, ὁ καὶ κινούμενος καὶ ἑστηκώς, Οὐρανός, ὁ δὲ μόνον κινούμενος Κρόνος* (cf. in Tim. 28 c [I 306, 10 Diehl]) *τούτους οὖν τοὺς τρεῖς νόας καὶ δημιουργοὺς ὑποτίθεται* (sc. *Ἀμέλιος*) *καὶ τοὺς παρὰ Πλάτωνι* (Tim. 40 e) *τρεῖς βασιλέας καὶ τοὺς παρ' Ὀρφεῖ τρεῖς, Φάνητα καὶ Οὐρανὸν καὶ Κρόνον, καὶ ὁ μάλιστα παρ' αὐτῶι δημιουργὸς ὁ Φάνης ἐστίν.*

Olympiodor. in Plat. Phaedon. 61 c p. 3, 9 Norv. *ὥσπερ ὁ Ἐμπεδοκλῆς ἔλεγε τὸν νοητὸν καὶ τὸν αἰσθητὸν παρὰ μέρος γίνεσθαι κόσμους,*[1] *οὐχ ὅτι ποτὲ μὲν οὗτος γίνεται, ποτὲ δὲ ὁ νοητός, ἀεὶ γὰρ εἰσίν, ἀλλ' ὅτι ἡ ἡμετέρα ψυχὴ ποτὲ μὲν κατὰ νοητὸν ζῆι καὶ λέγεται τότε γίνεσθαι ὁ νοητὸς κόσμος, ποτὲ δὲ κατὰ αἰσθητὸν καὶ λέγεται ὁ αἰσθητὸς γίνεσθαι κόσμος, οὕτως καὶ παρὰ τῶι Ὀρφεῖ αἱ τέσσαρες βασιλεῖαι αὗται οὐ ποτὲ μὲν εἰσί, ποτὲ δὲ οὔ, ἀλλ' ἀεὶ μὲν εἰσί, αἰνίττονται δὲ τοὺς διαφόρους βαθμοὺς τῶν ἀρετῶν, καθ' ἃς ἡ ἡμετέρα ψυχὴ ⟨ἐνεργεῖ⟩*[2] *σύμβολα ἔχουσα πασῶν τῶν ἀρετῶν τῶν τε θεωρητικῶν καὶ καθαρτικῶν καὶ πολιτικῶν καὶ ἠθικῶν. ἢ γὰρ κατὰ τὰς θεωρητικὰς ἐνεργεῖ, ὧν παράδειγμα ἡ τοῦ Οὐρανοῦ βασιλεία, ἵνα ἄνωθεν ἀρξώμεθα· διὸ καὶ Οὐρανὸς εἴρηται παρὰ τὸ τὰ ἄνω ὁρᾶν. ἢ καθαρτικῶς ζῆι, ἧς παράδειγμα ἡ Κρονία βασιλεία, διὸ καὶ Κρόνος εἴρηται, οἷον κορόνους*[3] *τις ὢν διὰ τὸ ἑαυτὸν ὁρᾶν· διὸ καὶ καταπίνειν τὰ οἰκεῖα γεννήματα λέγεται, ὡς αὐτὸς πρὸς ἑαυτὸν ἐπιστρέφων. ἢ κατὰ τὰς πολιτικάς, ὧν σύμβολον ἡ τοῦ Διὸς βασιλεία, διὸ καὶ δημιουργὸς ὁ Ζεύς, ὡς περὶ τὰ δεύτερα ἐνεργῶν. ἢ κατὰ τὰς ἠθικὰς καὶ φυσικὰς ἀρετάς, ὧν σύμβολον* | [4 Norv.] *ἡ τοῦ Διονύσου βασιλεία, διὸ καὶ σπαράττεται, διότι οὐκ ἀντακολουθοῦσιν ἀλλήλαις αἱ ἀρεταί,*

καὶ τὰς σάρκας μασῶνται οἱ Τιτᾶνες, τῆς μασήσεως δηλούσης τὸν πολὺν μερισμόν, διότι τῶν τῆιδε ἔφορός ἐστιν, ἔνθα ὁ πολὺς μερισμὸς διὰ τὸ ἐμὸν καὶ τὸ σόν, καὶ ὑπὸ τῶν Τιτάνων σπαράττεται, τοῦ τὶ μερικὸν δηλοῦντος· σπαράττεται δὲ τὸ καθόλου εἶδος ἐν τῆι γενέσει· μονὰς δὲ Τιτάνων ὁ Διόνυσος. λέγεται δὲ σπαράττεσθαι ὑπὸ τῆς γενέσεως, τῶν αἰτίων ταύτης ἀκονόντων. . . . . . . κατ' ἐπιβουλὴν δὲ τῆς Ἥρας, διότι κινήσεως ἔφορος ἡ θεὸς καὶ προόδου v. etiam antea 2, 21 Norv.

1 *τούτους* M. 2 *ἐνεργεῖ* add. Norv. 3 *κορόνους* Finckh, *ὁ κορόνους* M.

Herm. in Plat. Phaedr. 247 c p. 152, 15 Couvr. *νοήσωμεν τοίνυν τέσσαρα ταῦτα· τὸ ἓν τὴν πρώτην ἀρχήν· τὸν Φάνητα*[1] *ὅπερ ἐστὶ πέρας τῶν νοητῶν θεῶν, ἀρχὴ δὲ τῶν νοερῶν θεῶν*[2] *ἐξῃρημένη — αἱ γὰρ Νύκτες ἀρχαὶ αἷς ὡς*[3] *συντεταγμένη ἡ ἀρχή —· τὸν Δία ὃς τῶν ὑπερκοσμίων ἐστὶ βασιλεύς,*[4] *πέρας δὲ τῶν ἰδίως νοερῶν θεῶν· τὸν ἥλιον ὃς βασιλεύς ἐστι τοῦ αἰσθητοῦ*[5] *. . . πάλιν ὁ Ζεὺς φῶς ἐλλάμπει*[6] *τοῖς ὑπερκοσμίοις νοερόν· πάλιν ὁ Φάνης φῶς ἐπιλάμπει τοῖς νοεροῖς θεοῖς νοητόν· ἡ δὲ πάντων ἀρχὴ καὶ τοὺς νοητοὺς καὶ πάντα τοῦ ἀπ' αὐτῆς*[7] *θείου πληροῖ φωτός.*

1 *τὰ τέσσαρα ταῦτα τὸ ἕν, τὸν Φάνητα* Ab. 2 *θεῶν* om. Ab. 3 *ὡς* om. A, add. in marg. a. 4 *ὅς ἐστι τῶν ὑπερκοσμίων θεῶν β.* Ab. 5 *τῶν αἰσθητῶν* M Ab. 6 *ἐπιλάμπει* M. 7 *ἀπ' αὐτῶν* M.

Lob. I 576; Schoemann Opusc. academ. II 11 n. 14; Kern De Theogon. 46; Gruppe *Suppl.* 693; Susemihl Ind. XIX n. 137; Maaß *Orpheus* 97 n. 124.

108. (78) Syrian. in Aristot. Metaphys. *N* 4 p. 1091 b 4 (182, 9 Kr.) *οὐδὲ ταῦτα* ⟨*κατὰ* add. Lob.⟩ *τὸ ἀληθὲς ἱστόρηται περὶ τῶν θεολόγων· ἐκεῖνοι γὰρ Νύκτα μὲν καὶ Οὐρανόν φασι βασιλεύειν καὶ πρὸ τούτων τὸν μέγιστον αὐτῶν πατέρα·*

τὸν τόθ' ἑλὼν διένειμε θεοῖς θνητοῖσί τε κόσμον,
οὗ πρῶτος βασίλευσε περικλυτὸς Ἠρικεπαῖος.

Simplic. in Aristot. Phys. IV (coroll. de loco) I 641, 28 Diels *καὶ γὰρ αἱ νοηταὶ τάξεις ὡς τόπους διαφόρους ἐκληρώσαντο τὰς τοῦ νοητοῦ κόσμου διαφόρους ὑποδοχάς· λέγει γοῦν Ὀ. περὶ ἐκείνου τοῦ τὰς τῶν λήξεων διαφορὰς ἔχοντος· τοῖον ἑλὼν — κόσμον, καὶ ἡ περιοχὴ δὲ τόπος ἐκεῖ λέγεται πολλάκις.* Alexand. Aphrodis. in eundem Metaph. loc. 821, 18 Hayd. *πρῶτον μὲν γὰρ βασίλευσε π. Ἠ.* (v. supra p. 170).

Varias lectiones v. fr. 107. Cf. etiam Damasc. De princ. 190 (II 67, 8 Rue.) *διὸ καὶ παρ' Ὀρφεῖ ὁ Φάνης ἀσύντακτός ἐστι πρὸς τοὺς ἄλλους θεούς. εἰ δὲ βασιλεύει, πάντως ὅτι* (cf. Kroll *Philol.* LIII 1894, 424) *τῶν ἐν αὐτῶι* (*Herm.* XXIII 1888, 483 n. V) *βασιλεύει. τῶν γοῦν μετ' αὐτὸν ἡ Νὺξ ἀφηγεῖται.*

Lob. I 577; Holwerda 307. 310.

109. (89) Herm. in Plat. Phaedr. 247 d (154, 23 Couvr.) *πρὸς δὴ τοῦτο εἶπεν ὅτι γεννήματά ἐστι ταῦτα τῆς Νυκτὸς μένοντα ἐν αὐτῆι. ἔστι δὲ καὶ Οὐρανὸς ὑπερουράνιος, καὶ ταῦτα πάντα μένει ἐν τῆι Νυκτί·*

ἣ δὲ πάλιν Γαῖάν τε καὶ Οὐρανὸν εὐρὺν ἔτικτε·[1]
δεῖξέν τ'[2] *ἐξ ἀφανῶν φανεροὺς οἵ τ' εἰσὶ γενέθλην.*

1 Vs. 1 laudat quoque Procl. in Tim. (v. etiam infra) 31 a (I 450, 15 Diehl). 2 *δεῖξαι τ'* M, *δεῖξαι τ'* A.

Idem in Phaedr. 247 c (148, 17 Couvr.) *ἢ σφόδρα παρηκολουθηκὼς ὁ Πλάτων τοῖς ὑπὸ τῶν θεολόγων εἰρημένοις, κατ' ἐκείνους καὶ αὐτὸς διατίθησι τὸν λόγον. μετὰ γὰρ τὴν τῶν Νυκτῶν τάξιν τρεῖς εἰσι τάξεις* ⟨*τῶν* add. M⟩ *θεῶν, Οὐρανοῦ, Κυκλώπων, Ἑκατογχείρων, ὧν αὐτὸς* (Ast] *αὐτῆς* codd.) *ἀποφάσκει τὰ οἰκεῖα τούτων ὀνόματα. ἐπειδὴ γὰρ τῶν ἔνδον ἐν αὐτῶι* (*ταὐτῶι* M) *μεινάντων τῶι Φάνητι πρῶτος* (*πρώτως* M) *φανερῶς* (an *φανερός?* Couvr.) *ὁ Οὐρανὸς ἐξ αὐτοῦ* (*ἐξ Φάνητος* Gesn.) *γέγονεν — ἔξω γὰρ προῆλθον πρῶτοι ἀπ' αὐτοῦ Οὐρανὸς καὶ Γῆ, δεῖξεν* (*δεῖξαι* codd. ut supra MA) — *γενέθλην καὶ πρῶτος καταλάμπεται ὁ Οὐρανὸς ὑπὸ τοῦ θείου φωτὸς τοῦ Φάνητος·*

Aliter Proclus his versibus utitur in Plat. Tim. 30 c. d (I 430, 11 Diehl) *ὡς δὲ τῶν ὁρατῶν πάντων ὁ κόσμος οὗτός ἐστι περιεκτικός, οὕτω τῶν νοητῶν ἐκεῖνος. ἄλλος δὲ ὁ τρόπος τῆς περιοχῆς, ὥσπερ εἴπομεν, καθ' ἑκάτερον, ἀλλ' ὅμως καὶ αὐτὸ τὸ ὁρατὸν τούτοις κατ' ἀναλογίαν ὑπάρχει τὴν πρὸς ἐκεῖνα· καὶ γὰρ ἐκείνοις ἄνωθεν ὁ Φάνης ἐπιλάμπων τὸ νοητὸν φῶς πάντας ὁρατοὺς ποιεῖ καὶ δείκνυσιν ἐξ ἀφανῶν φανερούς, ὥσπερ καὶ ἐνταῦθα διὰ τοῦ φωτὸς τὰ χρώματα πάντα γεννώμενα τοῖς σώμασι παρέχεται τὸ ὁρατοῖς εἶναι* et in 41 a (III 192, 17 Diehl) *ὁ μὲν γὰρ Οὐρανὸς περατοῖ πᾶσαν τὴν γένεσιν, ἡ δὲ Γῆ δυναμοῖ, κινεῖ δὲ ὁ Ὠκεανός, ἑδράζει δὲ ἡ Τηθὺς ἕκαστον ἐπὶ τῆς ἰδίας κινήσεως, τῆς νοερᾶς τὰ νοερά, τῆς ψυχικῆς τὰ μέσα, τῆς φυσικῆς τὰ σωματικά, τοῦ Ὠκεανοῦ πάντα κινοῦντος ἀθρόως· διαιρεῖ δὲ νοερῶς μόνον ὁ Κρόνος,*

ζωιοποιεῖ δὲ ἡ Ῥέα, λόγοις δὲ σπερματικοῖς ὁ Φόρκυς διακοσμεῖ, φανερὰ δὲ ἐξ ἀφανῶν ὁ Ζεὺς ἀποτελεῖ, ἐξελίττει δὲ ἡ Ἥρα κατὰ παντοίας τῶν ἐμφανῶν μεταβολάς. Cf. etiam Iamblich. De myster. VIII 3 (263, 6 Parth.) ἐπὶ δὲ τούτοις τῶν ἐμφανῶν δημιουργίας ἄλλοι προεστήκασιν ἡγεμόνες. ὁ γὰρ δημιουργικὸς νοῦς καὶ τῆς ἀληθείας προστάτης καὶ σοφίας, ἐρχόμενος μὲν ἐπὶ γένεσιν, καὶ τὴν ἀφανῆ τῶν κεκρυμμένων λόγων δύναμιν εἰς φῶς ἄγων, Ἀμοῦν (ἁμοῦν ACD) κατὰ τὴν τῶν Αἰγυπτίων γλῶσσαν λέγεται κτλ.

Herm. 506 n. 7; Lob. I 503; Schoemann Opusc. academ. II 10; Kern De Theogon. 16.

110. (93) Procl. in Plat. Parmenid. 647, 9 Cous.[2] ἡ δὲ τῶν Ὀρφικῶν (sc. ἑρμήνευσις) τῆς Ἑλληνικῆς οὖσα θεολογίας ἰδία Κρόνον καὶ Δία (κ. Δ. an delendum?) καὶ Οὐρανὸν καὶ Νύκτα καὶ Κύκλωπας (fr. 109) καὶ Ἑκατόγχειρας (ibidem) ἐπιφημίζουσα (ευφημίζουσα B) ταῖς ἀκροτάταις τῶν πάντων ἀρχαῖς. Herm. in Platon. Phaedr. 247 c p. 150, 2 Couvr. διὰ δὲ τοῦ ἀναφῆς (ἀναφοῦς codd.; corr. Couvr.) ὅτι καὶ ὑπὲρ τοὺς Ἑκατόγχειράς ἐστι δηλοῖ· οὗτοι γὰρ πρῶτοι οἷον ἐφάπτονται τῆς πάσης δημιουργίας· διὸ καὶ Ἑκατόγχειρας αὐτοὺς ἡ θεολογία προσαγορεύει· διὰ γὰρ τῶν χειρῶν πάντων ἡμεῖς ἐφαπτόμεθα καὶ ποιοῦμεν καὶ διακρίνομεν· ἔτι καὶ ἡ ἁφὴ διὰ παντὸς πεφοίτηκε (cf. Couvr. p. 271 n. 9) τοῦ σώματος. συμβολικῶς οὖν Ἑκατόγχειρας ὠνόμασε τούτους ἡ θεολογία ὡς πάσης ἐφαπτομένους τῆς δημιουργίας καὶ αἰτίους αὐτῆς ὄντας. ἔστι δὲ ἡ τριὰς τῶν Ἑκατογχείρων φρουρητική.

111. (85) Alexand. Aphrodis. in Aristot. Metaphys. *N* 1091 b 4 (821, 19 Hayd.). Cetera v. supra fr. 108. μεθ' ἣν (sc. Νύκτα) Οὐρανός·

ὃς πρῶτος βασίλευσε θεῶν μετὰ μητέρα Νύκτα.

112. (91) Procl. in Plat. Tim. 40 e (III 176, 10 Diehl) ἀπὸ δὲ τούτων δευτέρα πρόεισι δυάς, Ὠκεανὸς καὶ Τηθύς, οὐ κατὰ συνδυασμὸν γενεσιουργὸν οὐδὲ κατά τινα σύνοδον τῶν κεχωρισμένων οὐδὲ κατὰ μερισμὸν οὐδὲ κατά τινα ἀποτομὴν τῆς ἀπογεννήσεως ταύτης γενομένης — πάντα γὰρ ταῦτα ἀλλοτρίως τῶν θεῶν διαδοξάζουσί τινες —, ἀλλὰ κατὰ μίαν ἕνωσιν καὶ συμπλοκὴν τῶν δυνάμεων ἀδιαίρετον, ⟨ὃν add. Schneid.⟩ καὶ εἰώθασι γάμον οἱ θεολόγοι προσαγορεύειν· οἰκεῖος γὰρ καὶ ὁ γάμος τῆι τάξει ταύτηι, καθά φησιν ὁ θεολόγος· πρώτην

γὰρ νύμφην ἀποκαλεῖ τὴν Γῆν καὶ πρώτιστον γάμον τὴν ἕνωσιν αὐτῆς τὴν πρὸς τὸν Οὐρανόν· οὐ γὰρ ἐν τοῖς μάλιστα ἡνωμένοις ὁ γάμος, διὸ Φάνητος οὐκ ἔστι γάμος καὶ Νυκτός, ἡνωμένων ἀλλήλοις νοητῶς, ἀλλ' ἐν τοῖς μετα τῆς ἑνώσεως καὶ τὸ διῃρημένον τῶν δυνάμεων καὶ τῶν ἐνεργειῶν ἐπιδεικνυμένοις. καὶ ἔοικε διὰ ταῦτα καὶ Οὐρανῶι τούτωι καὶ Γῆι ⟨*ταύτηι* add. Diehl⟩ *προσήκειν ὁ γάμος, ὡς ἐκεῖνον οὐρανὸν καὶ γῆν ἐκείνην ἐνεικονιζομένοις. ὃ δὴ καὶ οἱ θεσμοὶ τῶν Ἀθηναίων εἰδότες προσέταττον Οὐρανῶι καὶ Γῆι προτελεῖν τοὺς γάμους κτλ.*, idem in Plat. Cratyl. 402 b (83, 1 Pasqu.) *ὅτι γαμεῖν λέγεται ὅ τε Ὠκεανὸς τὴν Τηθὺν καὶ Ἥραν ὁ Ζεὺς καὶ τὰ τοιαῦτα, ὡς κατὰ τὴν τῶν ὑφειμένων ἀπογέννησιν τὴν πρὸς αὐτὴν κοινωνίαν ἐνστησάμενος· ἡ γὰρ ὁμονοητικὴ σύνταξις τῶν θεῶν καὶ ἡ ὁμοφυὴς συνέργεια πρὸς τὰς ποιήσεις γάμος ἀποκαλεῖται παρὰ τοῖς θεολόγοις.* Cf. etiam in Tim. 41 d (III 248, 5 Diehl).

Lob. I 503; Schuster 11; Kern De Theogon. 43; Gruppe *Suppl.* 696. 701; Dieterich *Nekyia*[2] 105.

113. (90) Damasc. De princ. 257 (II 125, 24 Rue.) *καὶ ὁ τοῦ Ὀρφέως Οὐρανὸς 'οὖρος πάντων καὶ φύλαξ'*[1] *εἶναι βούλεται·* | [125 Rue.] *καὶ Φοίνικες δὲ καὶ Αἰγύπτιοι τῆιδε τῆι τάξει τὸ φρουρητικὸν ἐγκατοικίζουσιν.*

1 *ἁπάντων καὶ φύλαξ* Diels apud Kernium.

Lob. I 503 qui Damascii locum falso Tatio in Arat. p. 85 (v. infra) attribuit; Holwerda 313; Kern *Herm.* XXIII 1888, 486 n. XV.

Cf. fr. 96 de Sole.

Hymn. IV *Οὐρανοῦ* vs. 5 *αἰθέριος χθόνιός τε φύλαξ πάντων περιβληθείς.* Cornuti *Ἐπιδρομή* 1, 4 Lang (*οὐρανὸς*) *οὖρος ὢν ἄνω πάντων καὶ ὁρίζων τὴν φύσιν·* | [2 L.] *ἔνιοι δέ φασιν ἀπὸ τοῦ ὠρεῖν ἢ ὠρεύειν τὰ ὄντα, ὅ ἐστι φυλάττειν, οὐρανὸν κεκλῆσθαι.* Achill. Tat. Isag. Arat. 36, 13 Maaß *οὐρανὸς δὲ ἠτυμολόγηται, ἤτοι ἐπεὶ ὅρος παλαιός ἐστιν ἢ ἐπεὶ σφαιροειδὴς ὢν ἔνδοθεν αὐτοῦ ἡμᾶς οὐρεῖ, ὅ ἐστιν φυλάσσειν.*

114. (95) Procl. in Plat. Tim. 40 e (III 184, 1 Diehl) *δόξειε γὰρ ἂν* (sc. *ὁ Πλάτων*) *τοῦτο λέγειν οὐχ ἑπομένως ταῖς* ⟨*Ὀρφικαῖς*⟩[1] *ἀρχαῖς· ἐκεῖ γὰρ ἀδελφοὶ λέγονται τούτων, ἀλλ' οὐ γεννήτορες· τίκτει γὰρ ἡ Γῆ λαθοῦσα τὸν Οὐρανόν, ὥς φησιν ὁ θεολόγος·*

ἑπτὰ μὲν εὐειδεῖς[2] *κούρας ⟨ἑλικώπιδας, ἁγνάς,⟩*
ἑπτὰ δὲ παῖδας ἄνακτας ⟨ἐγείνατο λαχνήεντας⟩·
θυγατέρας μὲν ⟨τίκτε?⟩ Θέμιν[3] *καὶ ἔΰφρονα Τηθὺν*
Μνημοσύνην τε βαθυπλόκαμον Θείαν τε μάκαιραν,
ἠδὲ Διώνην τίκτεν ἀριπρεπὲς εἶδος ἔχουσαν
Φοίβην τε Ῥείην τε, Διὸς γενέτειραν ἄνακτος·

παῖδας δὲ ἄλλους τοσούτους·

Κοῖόν τε[4] *Κροῖόν τε*[5] *μέγαν Φόρκυν τε κραταιὸν*
καὶ Κρόνον Ὠκεανόν θ' Ὑπερίονά τ' Ἰαπετόν τε.

τούτων οὖν παρὰ τῶι θεολόγωι προαναγεγραμμένων πῶς ὁ Τίμαιος ἐξ Ὠκεανοῦ καὶ Τηθύος (de Tethye v. etiam in Tim. 40 e [III 179, 8 Diehl]) *παράγει Κρόνον τε καὶ Ῥέαν;*

1 *⟨Ὀρφικαῖς⟩* dubitanter Diehl. 2 *εὐώδεις* Procl. hoc loco; sed cf. eundem in Tim. 31 a (I 450, 16 Diehl) *κατὰ γὰρ τὴν τρίτην γονὴν ἡ Γῆ προήγαγεν· ἑπτὰ μὲν εὐειδεῖς κούρας, ἑλικώπιδας, ἁγνάς, ἑπτὰ δὲ παῖδας ἄνακτας ἐγείνατο λαχνήεντας* unde vs. 1. 2 supplevi. 3 *μὲν Θέμιν* codd., *μὲν ⟨τίκτε⟩ Θ.* Mullach, *μὲν ⟨πρῶτα⟩ Θ.* Lob. 4 *κοῖόν τε* vulgo; *κοιόν τε* Q, *κοινὸν τε* D. 5 *κροῖόν τε, κροῖον τὲ* Q vulgo, *κροιόντε* D; *Κροῖον θ'* Hesiod. (v. infra p. 178), *Κρεῖον* Procl. p. 189, 4 Diehl v. infra.

Idem in Tim. 40 e (III 189, 2 Diehl) *ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν κρειττόνων γενῶν τῶν ὑπ' αὐτοὺς τεταγμένων ἔοικε τὸ 'ὅσοι μετὰ τούτων' δηλοῦν τούς τε λοιποὺς Τιτᾶνας, Κοῖον καὶ Ὑπερίονα, Κρεῖον, Ἰαπετόν, Φόρκυν, καὶ τὰς λοιπὰς Τιτανίδας, τὴν Φοίβην, τὴν Θείαν, τὴν Μνημοσύνην, τὴν Θέμιν, τὴν Διώνην, μεθ' ὧν ὁ Κρόνος καὶ ἡ Ῥέα προῆλθον, καὶ τοὺς ἅμα τῶι Φόρκυι προελθόντας, τὸν Νηρέα, τὸν Θαύμαντα, τὴν κινητικωτάτην Εὐρυβίαν, καὶ τοὺς μάλιστα τὴν γένεσιν ὅλην συνέχοντας. ἐκεῖνο μὴν γινώσκειν ἄξιον, ὡς οὐ προσῆκεν ἀκριβολογεῖσθαι περὶ τῆς ἐν αὐτοῖς τάξεως, πότερον ὁ Κρόνος ἐστὶν ὑπέρτερος ἢ ὁ Φόρκυς· ἕνωσις γὰρ αὐτῶν ἐστι καὶ ὁμοιότης.* De eodem Platonis loco dicit Chalcidius 127 p. 192, 3 Wrobel *simul exponit ea, quae O. et Linus et Musaeus de divinis potestatibus vaticinati sunt, non quo delectaretur aut crederet, sed quod tanta esset auctoritas vaticinantium, ut iis* (*ut hisque* CU[1. 2]) *adseverantibus parcius credi non oporteret.* Spectat huc etiam Damasc. De princ. 265 (II 131, 11 Rue.) et 267 (II 134, 24 Rue.); v. Kroll *Philol.* LIII 1894, 419 n. 4. De Themide cf. Procl. in Remp. II 94, 18 Kr. *τὴν παρὰ τοῖς θεολόγοις Θέμιν,* ibidem p. 345, 4 Kr. *ἀλλὰ καὶ ὅτι τῆι Θέμιδι τὴν αὐτὴν εἶναι τὴν*

Ἀνάγκην ταύτην οἰητέον, οὐ μόνον ἐκ τῶν Ἑλληνικῶν θεογονιῶν πιστόν et frr. 126. 144.

Herm. VIII vs. 21; Lob. I 505; Schuster 8; Gruppe *Suppl.* 702; Holwerda 316; J. Kroll *Lehren des Hermes Trismegist.* 239.

Vide fr. 16.

Hesiod. Theogon. vs. 133 de Terra

Οὐρανῶι εὐνηθεῖσα τέκ' Ὠκεανὸν βαθυδίνην,
Κοῖόν τε Κρῖόν θ' Ὑπερίονά τ' Ἰαπετόν τε
Θείαν τε Ῥείαν τε Θέμιν τε Μνημοσύνην τε
Φοίβην τε χρυσοστέφανον Τηθύν τ' ἐρατεινήν.

115. (220) Eustath. ad Dionysium Perieget. 1 (GG II 217, 15) *πάντως γὰρ Ὠκεανὸς ἀψόρροος ὁ εἰς ἑαυτὸν ὀρούων, ἤγουν*[1] *ἐπανιὼν καὶ εἰς κύκλον σχῆμα περιαγόμενος,*[2] *καὶ οὕτως ἐναποκλείων ἑαυτῶι*[3] *τὴν γῆν· καθὰ καὶ Ὀ. ἐν τῶι περὶ Διὸς καὶ Ἥρας* (v. supra p. 141) *φησὶ λέγων·*

κύκλον δ'[4] *ἀκαμάτου καλλιρρόου*[5] *Ὠκεανοῖο,*[6]
ὅς γαῖαν δίνηισι πέριξ ἔχει ἀμφιελίξας

ὡς τοῦ ὠκεανοῦ περιειληφότος τὴν γῆν.

1 *εἴτε* K. 2 *εἰς κύκλον περιαγ.* var. lect. ap. R. Stephan. et Hudson. 3 *ἑαυτῶι* om. d. 4 *κύκλον δ'* cod. Politi, *κύκλον* cett. codd.; *κύκλον τ'* Pape. 5 *καλλιρρόου* om. KPU. 6 *ὠκεανοῦ* PUY.

Procl. Tim. 40 e (III 178, 16 Diehl) *πανταχοῦ γὰρ διορίζειν* ⟨*δεῖν* add. Diehl⟩ *τὰς πρώτας τάξεις ἀπὸ τῶν δευτέρων, οὐκ ἀλόγως καὶ τῶν ποιητῶν Ὠκεανὸν καλούντων τὸν ὁρίζοντα τῆς γῆς.*

Herm. XLIV; Lob. I 607; Giseke 79; Schuster 4; Holwerda 318; Maaß Aratea 185.

Hymn. LXXXIII *Ὠκεανοῦ* vs. 3 *ὃς περικυμαίνει γαίης περιτέρμονα κύκλον,* Dionys. Perieget. vs. 27 *πάντη δ' ἀκαμάτου φέρεται ῥόος Ὠκεανοῖο.*

116. Procl. in Plat. Tim. 40 e (III 180, 8 Diehl) *δηλοῦσι δὲ οἱ θεολόγοι τὸν Ὠκεανὸν ἁπάσης εἶναι κινήσεως χορηγόν, δέκα λέγοντες αὐτὸν ἐκπέμπειν ὀχετούς, ὧν ἐπὶ θάλατταν τοὺς ἐννέα χωρεῖν.*

Holwerda 318.

117. (104) Procl. in Plat. Tim. 40 e (III 186, 7 Diehl) *οἱ δὲ ἄλλοι Τιτᾶνες εἰς διάκρισιν ἐπείγονται καὶ πρόοδον, ἡγεῖται δὲ αὐτῶν ὁ μέγιστος Κρόνος, ὥς φησιν ὁ θεολόγος* (cf. fr. 135). *καίτοι γε ὅτι ὁ Κρόνος ὑπέρτερός ἐστι τοῦ Ὠκεανοῦ, δεδήλωκεν*

ὁ θεολόγος πάλιν λέγων τὸν μὲν Κρόνον αὐτὸν καταλαμβάνειν τὸν οὐράνιον Ὄλυμπον κἀκεῖ θρονισθέντα βασιλεύειν τῶν Τιτάνων, τὸν δὲ Ὠκεανὸν τὴν λῆξιν ἅπασαν τὴν μέσην· ναίειν γὰρ αὐτὸν ἐν τοῖς θεσπεσίοις ῥείθροις τοῖς μετὰ τὸν Ὄλυμπον καὶ τὸν ἐκεῖ περιέπειν Οὐρανόν, ἀλλ' οὐ τὸν ἀκρότατον, ὥς δέ φησιν ὁ μῦθος, τὸν ἐκπεσόντα τοῦ Ὀλύμπου καὶ ἐκεῖ τεταγμένον. τούτων δ' οὖν οὕτως ἐχόντων ὁ Ὠκεανὸς καὶ ἡ Τηθὺς καθ' ὅσον μένουσι καὶ ἥνωνται πρὸς τὸν Οὐρανὸν συμπαράγουσιν αὐτῶι τὴν τῶν προϊόντων βασιλείαν, Κρόνου τε καὶ Ῥέας, καὶ καθ' ὅσον ⟨ἐν⟩ίδρυνται τῆι μονίμωι δυνάμει τῆς μητρός, κατὰ τοσοῦτον τὸν Φόρκυν μετ' αὐτῆς· αὕτη (sc. Tethys) *γὰρ αὐτὸν παράγει Πόντου φιλότητι μιγεῖσα μετὰ Νηρέως καὶ Θαύμαντος·*[1] *οὐ γάρ ἐστιν ὁ Φόρκυς ⟨ὁ⟩ Οὐρανίδης, ἀλλὰ ὁ Φόρκυς ⟨ὁ Πόντιος⟩,*[2] *ὡς ἔστι δῆλον ἐκ τῆς Θεογονίας* (Hesiod. 233. 237). *⟨καὶ⟩ καθ' ὅσον ἡ Τηθὺς τῆς Γῆς ἐστι πλήρης, κατὰ τοσοῦτον οἷον Γῆ τις οὖσα λέγοιτ' ἂν τὸν Φόρκυν τοῦτον παράγειν μετὰ τοῦ Ὠκεανοῦ, καθ' ὅσον καὶ οὗτος ἐν ἑαυτῶι τὸν νοητὸν*[3] *περιείληφεν· ὥσθ' ἣ μὲν καθ' ὅσον ἐστὶ Γῆ κατὰ μέθεξιν, ὃ δὲ καθ' ὅσον ἐστὶ Πόντος κατ' αἰτίαν ὑφιστᾶσι μετὰ Κρόνου καὶ Ῥέας τόνδε τὸν θεόν.*

1 *Θαύμαντα* D vulgo; corr. Taylor. 2 *ἀλλὰ ὁ Φόρκυς ⟨ὁ Πόντιος⟩* Diehl, *ἀλλὰ Πόντου* Lob., *ἀλλὰ ὁ Ὠκεανὸς* Taylor; *ἀλλὰ ὁ Φ.* del. Schneid. 3 *τὸν νοητὸν* codd., *τὸν Πόντον* Holwerda.

Lob. I 509; Schuster 7; Holwerda 317.

118. Procl. in Plat. Tim. 23 d (I 133, 7 Diehl) *προηγεῖται μὲν οὖν τὸ θαῦμα, διότι καὶ ἐν ἡμῖν ἀρχὴ τοῦτό ἐστι τῆς τῶν ὅλων γνώσεως, ἐν δὲ τοῖς θείοις συνάπτει τῶι θαυμαζομένωι τὸ θαυμάζον· ὅθεν καὶ Θαύμαντα θεόν τινα μέγιστον ὑμνήκασιν οἱ τὰ θεῖα σοφοί, τὸν διὰ τοῦ θαύματος ὑποκατακλίνοντα τὰ δεύτερα τοῖς πρώτοις* et idem in Tim. 25 b (I 183, 10) *καὶ ἔοικεν ὁ Πλάτων καὶ διὰ τοῦτο μεγάλην καὶ θαυμαστὴν καλέσαι τὴν δύναμιν τῶν Ἀτλαντίνων, ἐπειδὴ καὶ ἐν ταύτηι τῆι τάξει παραδέδοταί τις Θαύμας καλούμενος καὶ Βίας ἄλλος τις ὑπὸ τῶν πάλαι θεολόγων.* V. etiam fr. 117.

119. (102) Procl. in Plat. Tim. 24 e (I 175, 9 Diehl) *αὕτη* (sc. *ἡ ὕβρις*) *γάρ ἐστιν ἡ ὡς ἀληθῶς ἀπειρία καὶ τὸ αἶσχος, διὸ καὶ τὸ συνεγγίζον αὐτῆι καὶ τὸ ἐν αὐτῆι πως ὂν ἐξυβρίζειν λέγουσιν, ἐπεὶ παράδειγμα αὐτῶν διὰ τούτων παρὰ τῶι θεολόγωι δηλοῦται τῶν ὀνομάτων·*

Τιτῆνες κακομῆται, ὑπέρβιον ἦτορ ἔχοντες.

Herm. VIII vs. 47 p. 469; Lob. I 507.

Hesiod. Theogon. 139 de Terra *γείνατο δ' αὖ Κύκλωπας ὑπέρβιον ἦτορ ἔχοντας.*

120. (103) Procl. in Plat. Tim. 25 b (I 187, 4 Diehl) *οὕτω γὰρ ἥ τε δημιουργικὴ πέρας ἴσχει βούλησις καὶ τὰ χείρω κρατεῖται ὑπὸ τῶν ἀμεινόνων, ἐν μὲν τοῖς μερικοῖς Ἀτλαντῖνοι ὑπὸ τῶν Ἀθηναίων, ἐν δὲ τοῖς ὅλοις οἱ Τιτᾶνες ὑπὸ τῶν Ὀλυμπίων,*

καὶ κρατεροί περ ἐόντες ἀμείνονος ἀντιάσαντες,
ὕβριος ἀντ' ὀλοῆς καὶ ἀτασθαλίης ὑπερόπλου,

φησὶν ὁ θεόλογος, ὃν καὶ ὁ Πλάτων ζηλώσας ὕβρει πορεύεσθαι τοὺς Ἀτλαντίνους εἶπεν ἐπὶ τοὺς Ἀθηναίους.

Herm. VIII vs. 38 p. 468; Lob. I 508.

Hesiod. Theogon. 516 *εἵνεκ' ἀτασθαλίης τε καὶ ἠνορέης ὑπερόπλου.*

121. (97) Procl. in Plat. Tim. 40 e (III 185, 20 Diehl) *μᾶλλον δὲ πάντων τῶν οὐρανίων γενῶν τὰ μὲν μένει μόνον ἐν ταῖς ἀρχαῖς, ὥσπερ αἱ δύο πρῶται τριάδες — ὡς γὰρ ἐνόησε, φησίν* [sc. *ὁ θεολόγος*], *αὐτοὺς ὁ Οὐρανὸς*

ἀμείλιχον[1] *ἦτορ ἔχοντας*
καὶ φύσιν ἐκνομίην ⏑⏑–⏑⏑–⏑⏑–⏑
ῥῖψε βαθὺν γαίης ἐς Τάρταρον.

κρύπτονται οὖν ἐν ἀφανεῖ δι' ὑπεροχὴν δυνάμεως —, τὰ δὲ καὶ μένει καὶ πρόεισιν, ὥσπερ ὁ Ὠκεανὸς καὶ ἡ Τηθύς· (sequitur fr. 135).

1 *ὡς ἐνόησ' αὐτοὺς παναμείλιχον* suppl. Lob., *ὡς δ' αὐτοὺς ἐνόησεν ἀμ.* Koechly Opusc. philol. I 237 n. 35.

Herm. VIII vs. 28 p. 468; Lob. I 506; Mayer *Gigant. u. Titan.* 239.

Hesiod. Theogon. 868 *ῥῖψε* (sc. *Ζεὺς*) *δέ μιν* (sc. *Τυφωέα*) *θυμῶι ἀκαχὼν ἐς Τάρταρον εὐρύν.* Pherecyd. fr. 5 (Diels II³ 204, 4) *κείνης δὲ τῆς μοίρας ἔνερθέν ἐστιν ἡ ταρταρίη μοῖρα· φυλάσσουσι δ' αὐτὴν θυγατέρες Βορέου Ἅρπυιαί τε καὶ Θύελλα· ἔνθα Ζεὺς ἐκβάλλει θεῶν, ὅταν τις ἐξυβρίσηι.*

122. (205) Procl. in Plat. Tim. 25 c. d (I 188, 24 Diehl) *ὅτι δὲ καὶ ταῦτα θαυμαστὴν ἔνδειξιν ἔχει τῆς τοῦ παντὸς διακοσμήσεως, πιστοῦμεν ἀναμνήσαντες ἡμᾶς αὐτοὺς τῶν παρὰ τῶι Ὀρφεῖ λεγομένων πρὸς τῶι πέρατι τῆς δημιουργίας καταταρταρώσεων·* | 189 Diehl *καὶ γὰρ ἐκεῖνος τὴν τῶν Ὀλυμπίων θεῶν καὶ τὴν Τιτανικὴν παραδοὺς δημιουργικὴν ἀντίθεσιν* (cf.

in Tim. 24 e p. 174, 12 Diehl) *ἀποπερατοῖ τὴν ὅλην διακόσμησιν ἄχρι τῶν ἐσχάτων τοῦ παντός, μεταδιδοὺς καὶ ἐκείνοις τῆς τῶν θεῶν ἀχράντου προνοίας. ταῦτ' οὖν καὶ ὁ Πλάτων εἰδὼς ἐν εἰκόσι τὰ ὅλα παραδιδοὺς διατείνει καὶ κατάγει καὶ ὑπὸ τὸ ἀφανὲς τὰ διττὰ ταῦτα γένη καὶ διὰ τῆς ἀφανίσεως ταύτης μιμεῖται τὴν Ὀρφικὴν καταταρτάρωσιν.* Cf. eundem in Remp. I 93, 22 Kr. *πάντως γάρ που* (Hom. Il. *Ξ* 203 et *Β* 781) *τὸν πρὸς Δία πόλεμον ἐν τούτοις αἰνίσσεται τὸν Τιτανικὸν καὶ τὰς καλουμένας καταταρταρώσεις παρὰ τοῖς Ὀρφικοῖς.* Damasc. De princ. 205 (II 88, 11 Rue.) *μετὰ τῆς πρεπούσης διακρίσεως, οἵαν καὶ Ὀ. παραδίδωσιν, τῶν τε νυχίων ἁπάντων γενῶν καὶ τῶν ἐν οὐρανῶι δεδεμένων Οὐρανιδῶν* et 400 (II 254, 11. 25 Rue.).

123. (155) Olympiodor. in Plat. Phaedon. C III *ϛ'* p. 202, 12 Norv. *ὅτι οἱ παραδιδόμενοι τέσσαρες ποταμοὶ κατὰ τὴν Ὀρφέως παράδοσιν τοῖς ὑπογείοις ἀναλογοῦσι τέσσαρσι στοιχείοις τε καὶ κέντροις κατὰ δύο ἀντιθέσεις, ὁ μὲν γὰρ Πυριφλεγέθων τῶι πυρὶ καὶ τῆι ἀνατολῆι, ὁ δὲ Κωκυτὸς τῆι γῆι καὶ τῆι δύσει, ὁ δὲ Ἀχέρων ἀέρι τε καὶ μεσημβρίαι. τούτους μὲν Ὀ. οὕτω διέταξεν, αὐτὸς δὲ τὸν Ὠκεανὸν τῶι ὕδατι καὶ τῆι ἄρκτωι προσοικειοῖ* cf. C III *λβ'* p. 192, 21 Norv. et eundem in Aristot. Meteor. II 2 p. 355 b 20 (141, 26 Stueve) et Procl. in Tim. 32 b (II 49, 9 ss. Diehl).

124. Ps.-Galen. (= Porphyr.) ad Gaurum ed. Kalbfleisch (*Abh. Akad. Berlin* 1895) 34, 26 *κἀνταῦθα πολὺς ὁ Νουμήνιος καὶ οἱ τὰς Πυθαγόρου ὑπο|*[35]*νοίας ἐξηγούμενοι, καὶ τὸν παρὰ μὲν τῶι Πλάτωνι* (Respubl. X 621 a) *ποταμὸν Ἀμέλητα, παρὰ δὲ τῶι Ἡσιόδωι* (e. g. Theogon. 361) *καὶ τοῖς Ὀρφικοῖς τὴν Στύγα, παρὰ δὲ τῶι Φερεκύδηι* (Diels II³ 204 fr. 7) *τὴν ἐκροὴν ἐπὶ τοῦ σπέρματος ἐκδεχόμενοι.*

125. (156) Olympiodor. in Platon. Phaed. D *ρμε'* p. 241, 5 Norv. *ὅτι οἱ τέτταρες ποταμοὶ τὰ τέτταρα στοιχεῖά ἐστι τὰ ἐν τῶι Ταρτάρωι, ὁ μὲν Ὠκεανός, φησι, τὸ ὕδωρ, ὁ δὲ Κωκυτὸς ἤτοι Στύγιος ἡ γῆ, ὁ δὲ Πυριφλεγέθων τὸ πῦρ, ὁ δὲ Ἀχέρων ὁ ἀήρ. ἀντικεῖσθαι δὲ τῶι μὲν Πυριφλεγέθοντι τὸν Στύγιον, ὡς θερμὸν ψυχρῶι, τῶι δὲ Ὠκεανῶι τὸν Ἀχέροντα, ὡς ὑδραῖον ἀερίωι· διὸ καὶ Ὀ. τὴν Ἀχερουσίαν λίμνην ἀερίαν καλεῖ.*

126. Procl. in Plat. Rempubl. II 207, 14 Kr. *τίνα οὖν ἡμεῖς τὴν θεὸν ταύτην εἶναι φήσομεν; ἢ δῆλον ὅτι τοῖς ῥήμασιν ἑπόμενοι, μητέρα μὲν αὐτὴν τῶν Μοιρῶν ὑμνουμένην ἀκούοντες, ἡγεμόνα δὲ τῆς κοσμικῆς ἁπάσης τάξεως, τῆς ἐν ψυχαῖς, τῆς ἐν*

φύσεσιν, συνέχουσαν δὲ ἀκλινῶς τὰ πάντα καὶ ὁρίζουσαν, ὅπου τεθὲν ἕκαστον συμπληρώσει τὸν κόσμον ἐν τῶι πρέποντι σχήματι, ταύτην ἐκείνην εἶναι τὴν παρὰ τοῖς θεολόγοις καλουμένην Θέμιν (Hesiod. Theogon. 901); *ἣν τὸ ὑπερβαίνειν ἐγχειροῦν ἀθέμιτον μὲν εἶναι λέγομεν, ὑπερβαίνειν δὲ ὅμως μὴ δύνασθαι. τίνα γὰρ ἄλλην μητέρα Μοιρῶν ἢ ταύτην ἐκείνων ὑμνούντων ἠκούσαμεν; οἶδα μὲν οὖν, ὅτι καὶ Μοίρας ἄλλας Ὀ., εἰ καὶ τοῖς αὐτοῖς ὀνόμασι χρώμενος, ἀπ' αὐτῶν προελθεῖν φησιν τῶν πρωτίστων θεῶν, ἐπέκεινα καὶ τῆς Κρόνου βασιλείας καὶ τῶν νοερῶν ὅλως διακόσμων· ἀλλὰ κἀκεῖνος ἄλλην Ἀνάγκην παρήγαγεν πρὸ τῶν Μοιρῶν, στυγερῶπά τε Ἀνάγκην λέγων προελθεῖν ἀπ' ἐκείνων.*

127. (101) Procl. in Plat. Cratyl. 406 c p. 110, 15 Pasqu. *παράγει οὖν αὐτὴν* (sc. Venerem) *ὁ Οὐρανὸς ἐκ τοῦ ἀφροῦ τῶν γονίμων ἑαυτοῦ μορίων ῥιφέντων*[1] *εἰς τὴν θάλασσαν, ὥς φησιν Ὀρφεύς·*

μήδεα δ' ἐς πέλαγος[2] *πέσεν ὑψόθεν, ἀμφὶ δὲ τοῖσι*
λευκὸς ἐπιπλώουσιν ἑλίσσετο πάντοθεν ἀφρός·
ἐν δὲ περιπλομέναις ὥραις Ἐνιαυτὸς[3] *ἔτικτεν*
παρθένον αἰδοίην, ἣν δὴ παλάμαις ὑπέδεκτο
γεινομένην τὸ πρῶτον ὁμοῦ Ζῆλός τ' Ἀπάτη τε.

1 *ῥιφέντων* Platt *Journ. philol.* Lond. XXVI 1899, 230; *ῥιφέντος* codd. 2 *ἐς πέλαγος* A; *εὐπέλαγος* B; *ἐπέλαγος* F; *ἐνπέλαγος* P. 3 *ἐνιαυτοῦ* Platt.

Lob. I 542.

Hesiod. Theogon. 188

μήδεα δ' ὡς τὸ πρῶτον ἀποτμήξας ἀδάμαντι
κάββαλ' ἀπ' ἠπείροιο πολυκλύστωι ἐνὶ πόντωι,
ὣς φέρετ' ἂμ πέλαγος πουλὺν χρόνον, ἀμφὶ δὲ λευκὸς
ἀφρὸς ἀπ' ἀθανάτου χροὸς ὤρνυτο· τῶι δ' ἔνι κούρη
ἐθρέφθη κτλ.

Ad vs. 3 cf. *Εὐχ. πρ. Μουσ.* 18 *Ὥρας ἠδ' Ἐνιαυτόν,* Procl. in Plat. Tim. 37 e (III 40, 31 Diehl) *ἐπεὶ καὶ οὐ τὸν χρόνον μόνον ὡς θεὸν ὑμνήκασιν, ἀλλὰ καὶ ἡμέραν αὐτὴν καὶ νύκτα καὶ μῆνα* [*θεὸν* del. Diehl] *καὶ ἐνιαυτόν,* 49 d (III 89, 29 Diehl); v. Waser *RE*[2] V 2568. Ad vs. 5 *γεινομένην τὸ πρῶτον* cf. Hesiod. Theogon. 202 *γεινομένηι τὰ πρῶτα. Ζῆλος* Theogon. 384; *Ἀπάτη* Theogon. 224.

128. Procl. Theolog. Plat. IV 5 p. 188, 22 *καὶ πρὸ τούτων* (sc. Plotini et Iamblichi) *ὁ Πλάτων αὐτὸς ἐν τῶι Κρατύλωι*

(p. 396 b *ὡς λόγος*) *ταῖς Ὀρφικαῖς θεογονίαις* (cf. supra p. 141) *ἑπόμενος τοῦ μὲν Διὸς πατέρα τὸν Κρόνον* (cf. fr. 139), *τοῦ δὲ Κρόνου τὸν Οὐρανὸν ἀποκαλεῖ.*

Lob. I 368.

129. (99) Procl. in Plat. Cratyl. 396 b. c p. 62, 3 Pasqu. *ὡς δ' Ὀ. ἐνθέωι στόματι λέγει, καὶ καταπίνει τὸν πρόγονον αὐτοῦ τὸν Φάνητα καὶ ἐγκολπίζεται πάσας αὐτοῦ τὰς δυνάμεις ὁ Ζεὺς καὶ γίνεται πάντα νοερῶς ὅσαπερ ἦν ἐκεῖνος νοητῶς, καὶ ὁ Κρόνος πάσης τῆς δημιουργίας ἐνδίδωσι τῶι Διὶ τὰς ἀρχὰς καὶ τῆς εἰς τὰ αἰσθητὰ προνοίας, καὶ ἑαυτὸν νοῶν ἥνωται τοῖς πρωτίστοις νοητοῖς καὶ πεπλήρωται τῶν ἐκεῖθεν ἀγαθῶν. διὸ καὶ τρέφεσθαί φησιν αὐτὸν ὁ θεολόγος ὑπὸ τῆς Νυκτός·*

ἐκ πάντων δὲ Κρόνον Νὺξ ἔτρεφεν ἠδ' ἀτίταλλεν.

Idem versus etiam ap. Damasc. De princ. 67 (I 146, 17 Rue.) post fr. 131.

Lob. I 506; Kern De Theogon. 18. 57.

130. (245) Procl. in Hesiod. Opera 113 (Gaisf. II 115, 9) *καὶ τοῦτο Κρόνιόν ἐστι· καὶ γὰρ τὸν Κρόνον ἀεὶ μελαίνας ἔχειν τὰς ἐπὶ τοῦ γενείου τρίχας φησὶν Ὀ.· Πλάτων* (Politic. 270 d. e) *δὲ τοὺς ἐπὶ τῆς Κρονίας περιόδου ἀποβάλλειν φησὶ τὸ γῆρας, καὶ ἀεὶ γίνεσθαι νεωτέρους.*

Lob. I 511; M. Mayer *Gigant. u. Titan.* 238.

Cf. fr. 142.

131. (99) Damasc. De princ. 67 (I 146, 12 Rue.) *ἔοικε δὲ καὶ Ὀ. τὸν Κρόνον εἰδὼς νοῦν, ὡς δηλοῖ ὅ τε σύμπας μῦθος ὁ περὶ αὐτοῦ καὶ ὁ ἀγκυλομήτης*[1] ⟨*καὶ* add. Lob.⟩ *τὴν Νύκτα ὡς πρώτην οὐσίαν καὶ τροφὸν πάντων* (v. fr. 106) *διὰ τοῦτο ἀνυμνουμένην αὐτὸν μάλιστα τὸν Κρόνον πεποιηκέναι* (*πεποίηκε* Lob.) *τρέφουσαν, ὡς τοῦ νοῦ οὖσαν τὸ νοητόν, ἐπειδὴ τῶι νοοῦντι τροφὴ τὸ νοούμενόν ἐστι κατὰ τὸ λόγιον* (Kroll De orac. Chald. 19 n. 1).

1 *καὶ τὸ ἀγκυλομήτης* Usen. in Schoellii Proclo ad Remp. p. 38, 15.

Lob. I 506; Kern De Theogon. 57.

Hymn. XIII *Κρόνου* vs. 9 *ἀγκυλομῆτα, φέριστε.*

132. Damasc. De princ. 422 (II 277, 5 Rue.) *εἶτα ἐπὶ τούτοις καὶ εἰς τὸ κινούμενον προέρχεται καὶ ἑστώς, ἐπεὶ διὰ τοῦ δημιουργοῦ καὶ ἡ ἐσχάτη φύσις ἑδράζεται τῶν ἄλλων ἐν τοῖς κόλποις τῆς Ῥέας, ὡς ποιεῖ Ὀρφεύς· καὶ ὅλως ὁ δημιουργικὸς*

ἅπασιν ὅρμος, ἤιδέ ἐστιν ἡ θεὸς ἣ καὶ πρώτη προάγει τὴν δημιουργίαν εἰς ὕλην. Procl. in Plat. Tim. 18 c (I 46, 27 Diehl) *ἥ τε οὖν Ἥρα συμπρόεισι τῶι Διὶ πάντα ἀποτίκτουσα σὺν τῶι πατρί· διὸ καὶ ἰσοτελὴς* (fr. 163) *αὐτῶι* | 47 Diehl *προσαγορεύεται· καὶ ἡ Ῥέα τῶι Κρόνωι· πάσης γάρ ἐστι τῆς Κρονίας δυνάμεως κόλπος ἡ θεὸς αὕτη· καὶ ἡ Γῆ τῶι Οὐρανῶι· πάντων γὰρ ἡ Γῆ μήτηρ, ὧν ὁ Οὐρανὸς πατήρ.* Cf. Orac. Chald. apud Krollium p. 30 (Ab. fr. 305):

Ῥείη τοι νοερῶν μακάρων πηγή τε ῥοή τε·
πάντων γὰρ πρώτη δυνάμεις κόλποισιν ἀφράστοις
δεξαμένη γενεὴν ἐπὶ πᾶν προχέει τροχάουσαν

ubi vs. 2 cum Krollio vix *πατρὸς* legendum est.

Kern *Herm.* XXIII 1888, 488 n. XXVI.

133. Damasc. De princ. 284 (II 157, 12 Rue.) *ὁ μὲν γὰρ Ὀ. δοκεῖ μᾶλλον τὴν ἄχρι φυτῶν τε καὶ τῶν ἄλλων καρπῶν ὑποστρωννύναι φύσιν ὑπὸ τὴν Ῥέαν. εἰ μὴ ἄρα καὶ τὴν Γοργόνα νοοῖμεν ἄχρι τῶν λίθων αὐτῶν ἐκτείνουσαν τὴν ἑαυτῆς ζωιογονίαν.*

134. Procl. Theolog. Plat. V 11 init. p. 265, 25 *ταῖς δὲ αὖ περὶ τοῦ βασιλέως τῶν νοερῶν θεῶν ὑπομνήσεσι πέρας ἐπιθέντες, ἐχομένως δή που τὴν βασιλίδα Ῥέαν ὑμνήσομεν. ταύτην γὰρ δὴ μητέρα τοῦ δημιουργοῦ τῶν ὅλων, δευτέραν δὲ τοῦ Κρόνου θεόν, Πλάτων τέ φησι καὶ Ὀρφεύς.*

135. (100) Procl. in Plat. Tim. 40 e (III 185, 28 Diehl) [anteit fr. 121]) *τῶν γὰρ ἄλλων Τιτάνων εἰς τὴν κατὰ τοῦ πατρὸς ἐπιβουλὴν ἱεμένων ὁ Ὠκεανὸς ἀπαγορεύει τε πρὸς τὰς τῆς μητρὸς ἐπιτάξεις καὶ ἐνδοιάζει περὶ τῆς πράξεως·*

ἔνθ' αὖτ'[1] *Ὠκεανὸς μὲν ἐνὶ μεγάροισιν ἔμιμνεν*
ὁρμαίνων, ποτέρωσε νόον τράποι, ἢ[2] *πατέρα ὃν* | 186 Diehl
γυ(ι)ώσηι[3] *τε βίης καὶ ἀτάσθαλα λωβήσαιτο*
σὺν Κρόνωι ἠδ' ἄλλοισιν ἀδελφοῖς, οἳ πεπίθοντο
μητρὶ φίληι, ἢ τούς γε λιπὼν μένοι ἔνδον ἕκηλος.
πολλὰ δὲ πορφύρων μένεν ἥμενος ἐν μεγάροισι,
σκυζόμενος ἧι μητρί, κασιγνήτοισι δὲ μᾶλλον.

μένει οὖν οὗτος ἅμα καὶ πρόεισι μετὰ τῆς Τηθύος· συνέζευκται γὰρ αὐτῶι κατὰ τὴν πρώτην ἀπογέννησιν. οἱ δὲ ἄλλοι Τιτᾶνες εἰς διάκρισιν ἐπείγονται καὶ πρόοδον, ἡγεῖται δὲ αὐτῶν ὁ μέγιστος Κρόνος, ὥς φησιν ὁ θεολόγος (sequitur fr. 117).

1 οὖν vulgo. 2 ἢ Herm., ἠὲ codd. 3 γυ⟨ι⟩ώσηι Lob., γυιώσειε Duentz., γνώση QD, γνώση vulgo, γυμνώσηι Gesn.

Herm. VIII vs. 31 p. 468; Lob. I 507.

136. (103) Schol. Hesiod. Theogon. 209 (Gaisford II 491) (*Τιτᾶνες*) *παρὰ τὸ τετάσθαι καὶ ἐξαπλωθῆναι. ἢ ὅτι — ὡς λέγει οὗτος* (sc. Hesiodus) *ἀπὸ τῆς δόξης τοῦ Ὀρφέως λαβὼν τοῦτο — ὅτι πάλιν τιμωρῆσαι μέλλει ὁ Κρόνος τοὺς θεούς, καὶ λαβεῖν τὴν βασιλείαν αὐτοῦ, ἤγουν πάλιν ἐπικρατῆσαι μέλλει τὸ σκότος ἐκεῖνο τὸ ἀρχαιότατον τοὺς ζωιδιακοὺς κύκλους, τοὺς ἔχοντας τοὺς ἀστέρας.*

Lob. II 793.

Ad *τὸ σκότος ἐκεῖνο τὸ ἀρχαιότατον* cf. Plin. Epist. VI 20 p. 162, 22 Kuk. *multi ad deos manus tollere, plures nusquam iam deos ullos aeternamque illam et novissimam noctem mundo interpretabantur.*

137. (114) Procl. in Plat. Cratyl. 396 b p. 55, 11 Pasqu. *μόνος δ' ὁ Κρόνος καὶ ἀφαιρεῖται τὸν Οὐρανὸν τὴν βασιλείαν τελέως, καὶ τῶι Διὶ παραχωρεῖ τῆς ἡγεμονίας, τέμνων καὶ τεμνόμενος, ὥς φησιν ὁ μῦθος. ἐπεὶ τοίνυν τὴν τοιαύτην διαδοχὴν ὑβριστικὴν οὖσαν ἐπὶ Κρόνου λεγομένην ἑώρα ὁ Πλάτων παρὰ τοῖς θεολόγοις, μνήμης ἠξίωσεν καὶ τὴν ἐν τῶι ὀνόματι φαντασίαν τῆς ὕβρεως, ἵνα καὶ ταύτηι προσῆκον ἀποφήνηι τὸ ὄνομα τῶι θεῶι, καὶ εἰκόνα φέρον τῆς περὶ ἐκεῖνον μυθευομένης ὕβρεως, ἡμᾶς δ' ἀναδιδάξηι καὶ τὰ μυθικὰ πλάσματα πρὸς τὴν ἀλήθειαν ἐπανάγειν, ὡς προσήκει περὶ θεῶν καὶ τὴν φαινομένην τερατολογίαν εἰς ἐπιστημονικὴν ἔννοιαν ἀναπέμπειν.*

Lob. I 507; Dieterich *Abraxas* 76; M. Mayer ap. Rosch. II 1470.

Lyd. De mens. IV 64 p. 116, 21 W. *τεχθῆναι δ' αὐτὴν* (sc. *Ἀφροδίτην*) *ἀξιοῦσιν ἀπὸ τῶν Κρόνου μηδέων, τουτέστιν ἀπὸ τοῦ αἰῶνος.* Calixto? ap. Schol. G falsarii Ovid. Ib. 273 p. 51 Ellis (*Saturnus*) *parte est laesus eadem poenamque a nato quam dedit ipse tulit.*

138. Procl. in Plat. Rempubl. II 297, 9 Kr. *καὶ ταῦ⟨τ⟩α ⟨καὶ οἱ θεολό⟩γοι γιγνώσκοντες τὸν βίαι λαβόντα τὴν βασιλείαν καὶ τοὺς ἑαυτοῦ παῖδας ἐ⟨σθί⟩ειν ἐμυθολόγησαν, ὡς δέον ὂν τὸν βιασάμενον ⟨τὸν⟩ πατέρα καὶ περὶ τοὺς παῖδας εἶναι τοιοῦτον· τοῦτο δέ ἐστιν τὸν δι' ὑπεροχὴν δυνάμεως ἑτέρας ἡγησάμενον βασιλείας καὶ ὅσα γεννᾶι παρ' ἑαυτῶι κατέχειν.*

Supplementa Schoellii (p. 90, 1) sunt; nonnulla autem eo rectius Kr. in cod. legit.

139. (243) Lactant. Divin. instit. I 13, 11 (I 52, 3 Br.) *O. qui a temporibus eius fuit recentior, aperte Saturnum in terra et apud homines regnasse commemorat:*

πρώτιστος[1] *μὲν*[2] *ἄνασσεν ἐπιχθονίων*[3] *Κρόνος ἀνδρῶν·*
ἐκ δὲ[4] *Κρόνου*[5] *γένετ' αὐτὸς*[6] *ἄναξ μέγας εὐρυόπα Ζεύς.*[7]

Graeca om. R, in mg. interpretat. latin. add. man. rec. 1 *προτοστις* P, *προτιστος* V. 2 *μην* P. 3 *ἄναξεν* V; *ἄναξ ἐκ ἐπιχθονίων* ed. prior.; *ἄναξ ἀπ'* Herm.; *ἄνασσεν* corr. Walch. (et Gust. Wolff) v. Lob. I 510 n. *e*. *Protiston menanar cenepis tonionchro nos andron* H. 4 *καὶ* S, *δὲ* om. P. 5 *κρονος* PV. 6 *γενετατος* S, *γηνεταιτος* P, *γένετ' αὖτις* Lob. 7 *ecdechro nugenete aut cesarax megas europazaeus* H. Interpretationes latinae diversae in S et P.

Herm. XLVII; Lob. I 510; C. L. Struve Op. sel. I 131; Gust. Wolff *Philolog.* XVI 1860, 527 n. 5; Holwerda 309.

140. Procl. in Rempubl. II 74, 26 Kr. *ὁ μὲν θεολόγος Ὀ. τρία γένη παραδέδωκεν ἀνθρώπων· πρώτιστον τὸ χρυσοῦν, ὅπερ ὑποστῆσαι τὸν Φάνητά φησιν· δεύτερον τὸ ἀργυροῦν, οὗ φησιν ἄρξαι τὸν μέγιστον Κρόνον· τρίτον τὸ Τιτανικόν, ὃ φησιν ἐκ τῶν Τιτανικῶν μελῶν τὸν Δία συστήσασθαι* (cf. Olympiodor. in Phaedon. 68 c p. 48, 25 Norv.)· *συννοήσας ὡς* | [75 Kroll] *ἐν τρισὶν ὅροις τούτοις πᾶν εἶδος περιέχεται τῆς ἀνθρωπίνης ζωῆς. ἢ γὰρ νοερόν ἐστιν καὶ θεῖον, αὐτοῖς τοῖς ἀκροτάτοις τῶν ὄντων ἐνιδρυμένον, ἢ πρὸς ἑαυτὸ ἐπέστραπται καὶ νοεῖ ἑαυτὸ καὶ ἀγαπᾶι τὴν τοιαύτην ζωήν, ἢ πρὸς τὰ χείρονα βλέπει καὶ μετ' ἐκείνων ἐθέλει ζῆν ἀλόγων ὄντων. τριττῆς οὖν οὔσης τῆς ἀνθρωπίνης ζωῆς τὸ μὲν πρώτιστον ἀπὸ τοῦ Φάνητός ἐστιν, ὃς πᾶν τὸ νοοῦν συνάπτει τοῖς νοητοῖς, τὸ δὲ δεύτερον ἀπὸ τοῦ Κρόνου τοῦ πρώτου, φησὶν ὁ μῦθος, ἀγκυλομήτου* (v. fr. 131) *καὶ πάντα πρὸς ἑαυτὰ ποιοῦντος ἐπιστρέφειν, τὸ δὲ τρίτον ἀπὸ Διὸς τοῦ τῶν δευτέρων προνοεῖν καὶ διακοσμεῖν τὰ χείρονα διδάσκοντος· τοῦτο γὰρ ἴδιον δημιουργίας.*

Lob. I 510; Vári *Wien. Stud.* XII 1890, 222 n. 1; Dieterich *Abraxas* 127; Heeg 51 n. 1.

141. (244) Procl. Hesiod. Op. et Dies 126 (Gaisf. II 121, 18) *ὁ μὲν Ὀ. τοῦ ἀργυροῦ γένους βασιλεύειν φησὶ τὸν Κρόνον, τοὺς κατὰ τὸν καθαρὸν λόγον ζῶντας ἀργυροῦς λέγων ὥσπερ τοὺς κατὰ νοῦν μόνον χρυσοῦς· ὁ δὲ Ἡσίοδος* (Opera 127) *ἐθέλων*

τὴν μεταβολὴν ἐνδείξασθαι τῆς ἀνθρωπίνης ζωῆς τὸ ἀργυροῦν γένος τῶν ἀνθρώπων ποιεῖ ῥάθυμον.

Lob. I 510; Holwerda 309.

142. (245) Procl. Theolog. Plat. V 10 p. 264, 20 *τῶν δὲ θεολόγων τὸ ἀγήρων τῆι τάξει ταύτηι* (sc. *τῆι Κρονίαι*) *προσήκειν λεγόντων, ὥς οἵ τε βάρβαροί φασι, καὶ ὁ τῶν Ἑλλήνων θεολόγος Ὀ. — καὶ γὰρ οὗτος ἀεὶ μελαίνας τὰς τοῦ Κρονίου προσώπου τρίχας μυστικῶς λέγει, καὶ μηδαμῶς γίγνεσθαι πολιὰς* (v. fr. 130) — *θαυμάζω τὸν τοῦ Πλάτωνος ἔνθεον νοῦν τὰ αὐτὰ περὶ τοῦ θεοῦ τούτου τοῖς κατ'* (*καθ'* Port.) *ἴχνος αὐτοῦ πορευομένοις ἐκφαίνοντα. ἐν γὰρ τῆι Κρονίαι περιόδωι τὸ γῆρας ἀφιέναι φησὶ τὰς ψυχάς, ἐπὶ δὲ τὸ νέον ἀνακάμπτειν, καὶ τὸ πολιὸν μὲν ἀφαιρεῖν, τὰς δὲ τρίχας μελαίνας ἴσχειν. τῶν γὰρ πρεσβυτέρων* (*φησὶν* sc. Plat. Polit. 270 d. e) *αἱ λευκαὶ τρίχες ἐμελαίνοντο. τῶν δὲ γενειώντων αἱ παρειαὶ λειαινόμεναι, εἰς τὴν παρελθοῦσαν ὥραν καθίσταντο. ταῦτα μὲν ὁ Ἐλεάτης ξένος. ὁ δέ γε Ὀ. τὰ τούτοις ὅμοια περὶ τοῦ θεοῦ* (sc. *Κρόνου*) *διατάττεται·*

— — — — — *ὑπὸ Ζηνὶ Κρονίωνι*
ἀθάνατον αἰῶνα καμεῖν, καθαροῖο γενείου
— — — *διερὰς χαίτας εὐώδεας, οὐδὲ*
— — *ἠπεδανοῖο μιγήμεναι ἄνθεϊ λευκῶι·*
— — — — — *ἀλλ' ἐριθηλέα λάχνην.*

Unde restituendum esse videtur:

— ◡ ◡ — ◡ ◡ — ◡ [1] *ὑπὸ Ζηνὶ Κρονίωνι* [2]
ἀθάνατον ⟨τ'⟩ αἰῶνα [3] *λαχεῖν* [4] *καθαροῖο γενείου*
⟨καὶ⟩ διερὰς [5] *χαίτας εὐώδεας, οὐδέ ⟨τι πάμπαν⟩* [6]
⟨γήραος⟩ [7] *ἠπεδανοῖο μιγήμεναι ἄνθεϊ λευκῶι,*
ἀλλ⟨ὰ περὶ κροτάφοισιν ἔχειν⟩ [8] *ἐριθηλέα λάχνην.*

1 *τοῖσι πάλαι πέπρωται* suppl. Lob.; *ἀλλὰ Κρόνον φάσκουσι* Mullach. 2 *ὑπὸ Ζηνὸς Κρονίωνος* mavult Lob. 3 *⟨τ'⟩ αἰῶνα* Duentz. 4 *λαχεῖν* Hermann ap. Lob., qui ipse *νέμειν* praefert; *καμεῖν* ed. Porti. 5 *καθαροῖσι γένειον καὶ διεροῖς* Herwerd. *Herm.* V 1871, 143; *καὶ* add. Herm. 6 *οὐδέ ⟨τι τόν γε⟩* idem; Lob. *pronomen aut participium plurale* postulat, *οὐδέ ⟨ποτ' αὐτοῖς⟩* Duentz.; *οὐδέ ⟨τι πάμπαν⟩* Herwerd. 7 *γήραος* add. Gesn. 8 suppl. Hermann.; . . . . . *ἀλλ' αἰεὶ ἐ. λ.* Duentzer.

Herm. ap. Lob. I 511; Duentzer 79 fr. IX; Mayer *Gigant. u. Tit.* 238; Vári *Wien. Stud.* XII 1890, 224.

Spectat Orphicos forsitan Pindar. Ol. II 68 Schr. *ὅσοι δ' ἐτόλμασαν ἐστρὶς ἑκατέρωθι μείναντες ἀπὸ πάμπαν ἀδίκων ἔχειν ψυχάν, ἔτειλαν Διὸς ὁδὸν παρὰ Κρόνου τύρσιν* (*ἣν ἔταξε τοῖς*

δικαίοις schol. I 93, 16 Dr.). Cf. etiam Pindar. Pyth. IV 291 *λῦσε δὲ Ζεὺς ἄφθιτος Τιτᾶνας.*

143. Procl. in Plat. Rempubl. II 53, 2 Kr. *δεῖ δέ, ὥσπερ ἑκατέρας εἰσὶν ἡγεμόνες, οὕτω καὶ τὸν ἕνα προστάτην τῆς συναμφοτέρας νοεῖν ἀνόδου τε καὶ καθόδου καὶ τῆς διπλῆς ἐν τῆι γενέσει ζωῆς εὐγονίας τε καὶ δυσγονίας· ὅν, εἰ δεῖ τῆι ἐμῆι μαντείαι προσέχειν, οὐκ ἄλλον ἢ τὸν Προμηθέα δεῖ νομίζειν, ὃν καὶ Πλάτων ἐν Πρωταγόραι* (320 d), *τῆς ἀνθρωπίνης ζωῆς ἔφορον, ὥσπερ τ⟨ὸν⟩ Ἐπιμηθέα τῆς ἀλόγου φησίν, καὶ Ὀ. καὶ Ἡσίοδος* (Theogon. 565) *διὰ τῆς κλοπῆς τοῦ πυρὸς καὶ τῆς εἰς ἀνθρώπους δόσεως ἐνδείκνυνται τὴν ψυχὴν ἀπὸ τοῦ νοητοῦ κατάγειν εἰς τὴν γένεσιν, ὡς τῆς ἀνθρωπίνης περιόδου κύριον καὶ τῶν ἀμεινόνων καὶ χειρόνων γενέσεων.* Cf. Olympiodor. in Plat. Phaed. *B ρξη'* p. 122, 13 Norvin.

144. (105. 129) Procl. in Plat. Tim. 30 a (I 396, 29 Diehl) *ἡ Θέμις εἰκότως ἐν ἀρχαῖς παραλαμβάνεται τῆς δημιουργίας· αὕτη γάρ ἐστιν ἡ τῶν δημιουργικῶν θεσμῶν αἰτία,* | [397 Diehl] *καὶ ἀπὸ ταύτης ἀδιαλύτως ἡ τάξις συνέστη τοῦ παντός. διὸ καὶ μένει μὲν παρθένος πρὸ τῆς τοῦ δημιουργοῦ προόδου κατὰ τοὺς χρησμοὺς τῆς Νυκτός·*

ἔστ' ἂν Ῥείη παῖδα τέκηι Κρόνωι[1] *ἐν φιλότητι.*

συμπαράγει δὲ τῶι Διὶ τὴν τριάδα τῶν Ὡρῶν (v. Hymn. XLIII)· *ταῖς ἐπιτέτραπται μέγας οὐρανὸς Οὔλυμπός τε, ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ' ἐπιθεῖναι* (Hom. Il. *E* 750).

1 *παῖδα τέκηι Κρόνωι* Herwerd. *Herm.* V 1871, 138; *τέκοι παῖδα Κρόνωι* Herm.; *τε καὶ παῖδα κρόνω* M, *τε καὶ κρόνω παῖδα* P, *τέκεν παῖδα κρόνω* N.

Herm. p. 503 n. 1; Lob. I 539; Holwerda 290.

Hesiod. Theogon. 453 *Ῥείη δὲ δμηθεῖσα Κρόνωι τέκε φαίδιμα τέκνα.*

145. (106. 128) Procl. in Plat. Cratyl. 403 e (90, 28 Pasqu.) *ὅτι τὴν Δήμητρα Ὀ. μέν, τὴν αὐτὴν λέγων τῆι Ῥέαι εἶναι, λέγει ὅτι ἄνω μὲν μετὰ Κρόνου οὖσα ἀν*| [91 Pasqu.] *εκφοίτητος Ῥέα ἐστίν, προβάλλουσα δὲ καὶ ἀπογεννῶσα τὸν Δία Δημήτηρ. λέγει γάρ·*

Ῥείη τὸ πρὶν ἐοῦσα,[1] *ἐπεὶ Διὸς ἔπλετο μήτηρ,*
Δημήτηρ γέγονε.[2]

1 *ῥείη — ἐοῦσα* Werf.; *ῥείην — ἐοῦσαν* codd.; *ἐοῦσα ⟨γ'⟩* Mullach. 2 *γέγονε Δημήτηρ* codd.; transp. Boisson., *γίγνετο Δ.* Werf.; *γεγονέναι Δήμητρα* Lob.

qui *haec duo verba Proclo relinquenda esse* censet et Ῥείην — ἐοῦσαν servans Orphea *κίκλησκον Δήμητρα* vel simile quid scripsisse opinatur. Res dubia est.

Idem in Cratyl. 401 c p. 80, 10 Pasqu. *ὁ δ' Ὀ. τρόπον μέν τινα τὴν αὐτὴν εἶναι τὴν Δήμητρα τῆι ὅληι ζωιογονίαι, τρόπον δ' ἄλλον οὐ τὴν αὐτήν· ἄνω μὲν γὰρ οὖσα Ῥέα ἐστί, κάτω δὲ μετὰ τοῦ Διὸς Δημήτηρ· καὶ γὰρ τὰ παραγόμενα*[1] *ὅμοιά εἰσιν τοῖς παράγουσιν καὶ σχεδὸν τὰ αὐτά.*

1 *παραγόμενα* Werf.; *παραγενόμενα* codd.

Theolog. Plat. V 11 p. 267, 38 *καὶ δὴ καὶ* (sc. Plato) *ἐν Νόμοις τὰς Θεσμοφόρους θεὰς ἀνυμνῶν εἰς τὴν ἕνωσιν τῆς τε Δήμητρος καὶ τῆς Κόρης ἀναπέμπει πᾶσαν τὴν ἔνθεσμον ζωήν. ἐπεὶ κατ' Ὀρφέα τῶι μὲν Κρόνωι συνοῦσα κατὰ τὴν ἀκρότητα τὴν ἑαυτῆς ἡ μέση θεὸς Ῥέα καλεῖται, τὸν δὲ Δία παράγουσα καὶ μετὰ Διὸς ἐκφαίνουσα τούς τε ὅλους καὶ τοὺς μερικοὺς διακόσμους τῶν θεῶν Δημήτηρ. καὶ ἔστιν ὁ σύμπας τῆς μέσης ζωῆς διάκοσμος περιληπτικὸς τῶν τε ἄλλων Τιτανίδων, καὶ δὴ καὶ τῆς Δήμητρος. ταύτην γὰρ προεστήσατο μονάδα συναγωγὸν μέσην τῶν ἐν αὐτῆι πασῶν τάξεων, τῶν τε κρυφίων καὶ τῶν μεριζομένων περὶ τὰς γεννητικὰς τῆς θεοῦ δυνάμεις. τριτταὶ δέ εἰσιν ἑκάτεραι. καὶ τὴν μὲν ἄνω τριάδα συνάπτει τῶι Κρόνωι, τὴν δὲ κάτω συνυφαίνει τῆι δημιουργικῆι τάξει.* | [268] *μέσην δὲ οὖσαν τὴν Δημητριακὴν μονάδα συντεταγμένην, ἅμα καὶ ἐξῃρημένην ἀποφαίνει τοῦ δημιουργοῦ τῶν ὅλων. καὶ γὰρ ὑφίστησι Δία μετὰ τῆς ὅλης καὶ συναπογεννᾶι τὴν Κόρην μετὰ τοῦ Διός. ἡ μὲν οὖν μέση τῶν πατέρων πρόγονος θεὸς διὰ τούτων ἀνυμνείσθω τῶν λόγων.*

Lob. I 537; Gruppe *Griech. Mythol.* II 1169 n. 7.

Cf. Pherecyd. fr. 1 (Diels II³ 202, 3) *Ζὰς μὲν καὶ Χρόνος ἦσαν ἀεὶ καὶ Χθονίη· Χθονίηι δὲ ὄνομα ἐγένετο Γῆ, ἐπειδὴ αὐτῆι Ζὰς γῆν γέρας διδοῖ.*

146. Damasc. De princ. 267 (II 134, 17 Rue.) *καὶ γὰρ ὁ παρ' Ὀρφεῖ Κρόνος, ὅς Τιτάν*[1] *ἐστι κατὰ τὸν ἑαυτοῦ ὑπεζωκότα, καὶ καταπίνει τὰ οἰκεῖα γεννήματα κατὰ τὸν ἀμείλικτον.* Cf. Procl. in Plat. Remp. II 61, 22 Kr.

1 *τι πᾶν* cod. B.

Cf. Hymn. XIII *Κρόνου* vs. 2 *ἄλκιμε Τιτάν.*

147. (108) Schol. Lycophr. 399 p. 149, 11 Sch. *δίσκον δὲ τὸν Δία λέγει διὰ τὸν λίθον τὸν ἀντὶ Διὸς ὑπὸ Ῥέας σπαργανωθέντα καὶ ὑπὸ Κρόνου καταποθέντα, ὥς φησιν Ἡσίοδος ἐν*

τῆι Θεογονίαι (vs. 485) [τὴν Ὀρφέως ὑποκλέψας καὶ παραφθείρας Θεογονίαν].

Quae extrema uncis inclusi, ex Tzetzae classe II sumpta sunt.

Lob. I 516.

Cf. Ioann. Gaz. Descript. tab. mundi I 49 de Sole a Caelo evomito supra fr. 21 a p. 92.

148. (115) Procl. in Plat. Remp. I 138, 23 Kr. *καὶ γὰρ ἐκεῖνος καθεύδων πρώτιστος παραδέδοται τῶν θεῶν·*

ἔνθα Κρόνος μὲν ἔπειτα φαγὼν δολόεσσαν ἐδωδὴν
κεῖτο μέγα ῥέγχων.

Lob. I 516; Dieterich *Abraxas* 76 n. 5.

149. (45). Clem. Alex. Strom. VI 2. 26, 2 (II 442, 12 Staeh.) *ἔν τε τῆι Θεογονίαι* (v. p. 141) *ἐπὶ τοῦ Κρόνου Ὀρφεῖ πεποίηται·*

κεῖτ' ἀποδοχμώσας παχὺν αὐχένα, κὰδ δέ μιν ὕπνος
ᾕρει[1] *πανδαμάτωρ,*

ταῦτα δὲ Ὅμηρος ἐπὶ τοῦ Κύκλωπος μετέθηκεν (Od. ι 372). Anteit fr. 206 *ἐκ τοῦ Διονύσου ἀφανισμοῦ.*

1 *ᾕρει* L.

Herm. XVIII vs. 3 p. 478; Lob. I 517; Schuster 49; Stemplinger *Plagiat in der griech. Lit.* 68.

150. Damasc. De princ. 278 (II 150, 22 Rue.) *τέταρτον καὶ δέκατον, αὐτὸ καθ' αὐτὸ ζητήσωμεν διὰ τί ὁ μὲν πρῶτος πατὴρ* (sc. Phanes) *καὶ ὁ τρίτος* (sc. Iuppiter) *οὐ παράγει Κουρητικὴν τάξιν παρὰ τοῖς Ἕλλησιν, μόνη δὲ ἡ Ῥέα τοὺς Κούρητας ἀπογεννᾶι, οὓς ἀμειλίκτους* (v. frr. 146. 151) *εἶναί φαμεν· ὅλως δὲ διὰ τί αὐτῆι συντετάχθαι*[1] *τρεῖς, ἑνὸς ὄντος αὐτῆς ἀμειλίκτου κατὰ τὴν θεοπαράδοτον φήμην.*

1 *συντετάχθαι* ⟨*φαμέν*⟩ suppl. dubitanter Rue.

Holwerda 312.

151. (112. 194. 210) Procl. in Plat. Cratyl. 396 b p. 58, 1 Pasqu. *τοσαύτη γάρ ἐστιν ἡ τοῦ θεοῦ τούτου* (Saturni) *πάσης τῆς πρὸς τὰ καταδεέστερα συντάξεως ὑπερβολὴ καὶ ἡ πρὸς τὸ νοητὸν ἄχραντος ἕνωσις, ὥστε μηδὲ τῆς Κουρητικῆς αὐτὸν δεῖσθαι φρουρᾶς, ὥσπερ τὴν Ῥέαν καὶ τὸν Δία καὶ τὴν Κόρην· πάντες γὰρ οὗτοι διὰ τὰς εἰς τὰ δεύτερα προόδους τῆς ἀτρέπτου φυλακῆς τῶν Κουρήτων ἐδεήθησαν· ὁ δὲ Κρόνος, ἐν ἑαυτῶι μονίμως ἱδρυμένος καὶ ἀφ' ὅλων τῶν δευτέρων ἁρπάσας ἑαυτόν, τῆς παρὰ τῶν Κουρήτων ὑπερίδρυται φρουρᾶς, ἔχει δὲ καὶ τού-*

των ἑνοειδῶς ἐν ἑαυτῶι τὴν αἰτίαν· τὸ γὰρ καθαρὸν τοῦτο καὶ τὸ ἄχραντον ὑπόστασιν παρέχεται πάσαις ταῖς τῶν Κουρήτων προόδοις. Idem in Plat. Tim. 28 c (I 317, 11 Diehl) ὥσπερ γὰρ ὁ θεολόγος περὶ αὐτὸν (sc. Iovem) ἵστησι τὴν Κουρητικὴν τάξιν, οὕτω δὴ καὶ ὁ Πλάτων (Protag. 321 d) 'φυλακὰς φοβερὰς' εἶναί φησι περὶ αὐτόν, καὶ ὡς ἐκεῖνος ἐπὶ τῆς τοῦ Ὀλύμπου κορυφῆς αὐτὸν ἱδρύει, οὕτως καὶ οὗτος 'τὴν ἀκρόπολιν' ἀνῆκεν αὐτῶι, ἐν ἧι διαιωνίως ἱδρυμένος διὰ τῶν μέσων τάξεων κοσμεῖ τὰ πάντα. τίς μὲν οὖν ὁ δημιουργός ἐστι καὶ ὅτι νοῦς θεῖος τῆς ὅλης ποιήσεως αἴτιος, εἰρήσθω διὰ τούτων, καὶ ὅπως ὑπό τε Ὀρφέως καὶ Πλάτωνος ὁ αὐτὸς ἀνυμνεῖται δημιουργὸς Ζεύς, ἀπὸ τούτων ὑπεμνήσθω (Diehl] an ὑπομεμνήσθω? ὑπομνήσθω P). Idem Theolog. Plat. V 3 p. 253, 36 ἀλλὰ μὴν καὶ τριάδα τὴν ἀμείλικτον καὶ ἄχραντον τῶν νοερῶν θεῶν διαρρήδην ὁ Πλάτων ἑπόμενος τῶι Ὀρφεῖ Κουρητικὴν ἀποκαλεῖ, καθάπερ ἐν Νόμοις (VII 796 b) φησὶν ὁ Ἀθηναῖος ξένος τὰ τῶν Κουρήτων ἐνόπλια παίγνια καὶ τὴν ἔνρυθμον (ἔρρυθμον Port.) χορείαν αὐτῶν ἀνυμνῶν. καὶ γὰρ Ὀ. τοὺς Κούρητας φύλακας τῶι Διὶ παρίστησι τρεῖς ὄντας. καὶ οἱ θεσμοὶ τῶν Κρητῶν καὶ ἡ Ἑλληνικὴ πᾶσα θεολογία τὴν καθαρὰν καὶ ἄχραντον ζωὴν καὶ ἐνέργειαν εἰς τὴν τάξιν ταύτην ἀναπέμπουσιν· οὐδὲ γὰρ ἄλλο τι τὸ κορὸν ἢ τὸ καθαρὸν καὶ ἀκήρατον ἐνδείκνυται. Cf. eundem l. l. V 35 init. p. 322, 23 ἴθι δὴ οὖν ἀπὸ τῆς ἀορίστου ταύτης καὶ κοινῆς περὶ τῶν θεῶν τούτων διδασκαλίας καὶ τὴν Ἑλληνικὴν περὶ αὐτῆς φήμην ὑπὸ τοῦ Πλάτωνος ἡμῖν παραδοθεῖσαν εἰς μέσον ἀγάγωμεν καὶ ἐπιδείξωμεν αὐτὸν καὶ μέχρι τῶν ὀνομάτων ἑπόμενον τοῖς παρ' Ἕλλησι θεολόγοις, καθάπερ ἐν τῆι τῶν τριῶν βασιλέων μυστικῆι θεωρίαι, κἀν τῆι τῶν ἀχράντων θεῶν ἐξηγήσει, τῆς ἐκείνων οὐκ ἀφιστάμενον ὑφηγήσεως. τίς γὰρ οὐκ οἶδε τῶν καὶ σμικρὰ τῆς Ἑλληνικῆς θεοσοφίας ἀκηκοότων ἔν τε ταῖς ἀρρήτοις αὐτῶν τελεταῖς καὶ ταῖς ἄλλαις περὶ τῶν θεῶν πραγματείαις τὴν τῶν Κουρήτων τάξιν παρ' αὐτοῖς διαφερόντως ὑμνημένην ὡς τῆς ἀχράντου προεστῶσαν ἰδιότητος, τῆς θεᾶς ἡγεμονοῦσαν καὶ τὴν φρουρὰν τῶν ὅλων εἰς αὐτὴν ἀναδησαμένην; οὗτοι (αὐτοὶ Port.) γοῦν οἱ θεοὶ καὶ τὴν βασιλίδα Ῥέαν λέγονται φρουρεῖν καὶ τὸν τῶν ὅλων δημιουργόν, καὶ μέχρι τῶν αἰτίων τῆς μεριστῆς ζωιογονίας τε καὶ δημιουργίας προϊόντες, τήν τε Κόρην ἐν ἐκείνοις καὶ τὸν Διόνυσον, ἐξῃρημένους τῶν δευτέρων φυλάττειν, ὥσπερ ἐνταῦθα τὰς τῆς ὅλης ζωῆς ζωιογονίας καὶ τῆς παντελοῦς δημιουργίας (δημιουργῆας

Port.) πρωτουργοὺς ἀνέχουσι μονάδας· ταύτην δὴ οὖν τὴν Κουρητικὴν τάξιν οὐ μόνον Ὀ. καὶ οἱ πρὸ τοῦ Πλάτωνος ἔγνωσαν θεολόγοι καὶ γνόντες ἐθρήσκευσαν, ἀλλὰ καὶ ὁ Ἀθηναῖος ξένος ἐν Νόμοις (VII 796 b) ἀνύμνησε. τὰ γὰρ ἐν Κρήτηι τῶν Κουρήτων ἐνόπλια παίγνια, πάσης τῆς εὐρύθμου κινήσεως εἶναί φησιν ἀρχηγικὰ παραδείγματα. καὶ νῦν οὐδὲ τοῦτο ἀπέχρησεν αὐτῶι τὸ τῆς Κουρητικῆς μνησθῆναι ταύτης τάξεως, ἀλλὰ καὶ προστίθησι καὶ τὴν μίαν αὐτῶν ἐνάδα, τὴν δέσποιναν ὑμνῶν Ἀθηνᾶν, | 323 ἧς καὶ ἡ παρὰ τοῖς πρὸ αὐτοῦ θεολόγοις μυσταγωγία τὴν ὅλην ἐξάπτει τῶν Κουρήτων πρόοδον, ἄνω μὲν αὐτοὺς περιστρέφουσα τοῖς Ἀθηναϊκοῖς συμβόλοις, ὡς τῆς ἀειθαλοῦς ζωῆς καὶ τῆς ἀκμαίας νοήσεως προστάτας, κάτω δὲ περιφανῶς ὑποτάττουσα τῆι τῆς Ἀθηνᾶς προνοίαι. οἱ μὲν γὰρ πρώτιστοι Κούρητες, ἅτε τῆς νοητῆς ὄντες θεοὶ καὶ κρυφίας ὀπαδοί, τοῖς ἐκεῖθεν προϊοῦσιν ἀρκοῦνται συνθήμασιν. οἱ δὲ ἐν ταῖς δευτέραις καὶ τρίταις τάξεσι τῆς νοερᾶς Ἀθηναϊκῆς ἐξήρτηνται μονάδος. . . . ὅθεν δὴ καὶ οἱ Κούρητες τὴν ἐπωνυμίαν ἔλαχον τῆς ἀχράντου προεστῶτες καθαρότητος τῶν θεῶν et VI 13 p. 382, 11. Olympiodor. in Plat. Phaedon. *Β* ρκε' p. 110, 24 Norv. καὶ οἱ Κούρητες περὶ τοὺς δημιουργικοὺς θεούς, ὅτι νενεύκασι πρὸς τὸ χεῖρον.

Lob. I 546; Gruppe *Suppl.* 715 et *Griech. Mythol.* II 1169 n. 7; Maaß *Orpheus* 96 n. 124; Poerner De Curet. et Corybant. diss. Hal. XXII 1913, 372.

Ῥέας Κούρητες Mesomedes (Hadriani aequalis) *Εἰς τὴν Ἶσιν* vs. 16 ed. Wilamowitz *Griech. Verskunst* 598.

152. (111) Procl. Theolog. Plat. IV 16 p. 206, 4 τῶι δὲ τῆς Ἀδραστείας θεσμῶι πάντα ὑπήκοα, καὶ πᾶσαι διανομαὶ θεῶν, καὶ μέτρα πάντα καὶ φρουραὶ διὰ τοῦτον ὑφεστήκασι. παρ' Ὀρφεῖ δὲ καὶ φρουρεῖν λέγεται τὸν ὅλον δημιουργόν,[1] καὶ

χάλκεα[2] ῥόπτρα λαβοῦσα
καὶ τύπανον † αἴγηκες[3]

οὕτως ἠχεῖν, ὥστε πάντας ἐπιστρέφειν εἰς αὐτὴν τοὺς θεούς. ὃ καὶ Σωκράτης ἀπομιμούμενος, τὸν ἦχον λέγω τὸν μυθικὸν τὸν ἐπὶ πάντα διατείνοντα κηρύγματι, παραπλησίως τὸν θεσμὸν τῆς Ἀδραστείας ἐπὶ πάσας προάγει τὰς ψυχάς. θεσμὸς δὲ Ἀδραστείας ὅδε· ἥτις ἂν ψυχὴ κατίδοι τι τῶν ἀληθῶν μέχρι [τε][4] τῆς ἑτέρας περιόδου, εἶναι ἀπήμονα μόνον, οὐχὶ τὸν Ὀρφικὸν ἦχον ἀποτυπωσάμενος διὰ τοῦδε τοῦ κηρύγματος καὶ οἷον ὕμνον

τινὰ τοῦτον τῆς Ἀδραστείας ἀναφθεγξάμενος. πρῶτον μὲν γὰρ θεσμὸν αὐτὸν ἀλλ' οὐ νόμον προσείρηκεν, ὥσπερ τὸν Κρόνιον καὶ τὸν Δίϊον.

1 *τὸν τῶν ὅλων δ.* Ab.; sed cf. e. g. Procl. in Tim. 28 c (I 315, 14 Diehl) *τὴν Δίκην ὅλην ὀπαδὸν αὐτοῦ.* 2 *χάλκια* Wilamowitz *Herm.* LIV 1919, 60. 3 *τ. αἴγηκες* (non *αὔγηκες* [Wilam.]) ed. Porti quae vertit *tympano ex pelle caprina facto.* *τύμπανα ἠχήεντα* Lob. conferens Nonn. XLIV 139 *κύμβαλα δ' ἠχήεντα, τύπανον λιγύηχες* Wilam., v. etiam Neustadt De Iove Cretico diss. Berol. 1906, 6. 4 delevi.

Lob. I 515; Kern *Archaeol. Jahrb.* III 1888, 235; Gruppe *Suppl.* 746.

Vide fr. 105 b.

153. (308) Martyrium Theodoti Ancyrani et septem cum eo virginum *Acta S. S. 18 Maii* c. 24 d. e (IV p. 160 Boll.) *Ὁ. γὰρ ὁ ὑμέτερος ποιητὴς λέγει, ὅτι Ζεὺς τὸν Κρόνον τὸν ἴδιον πατέρα ἐφόνευσε καὶ ἔσχε τὴν ἰδίαν μητέρα τὴν Ῥέαν, καὶ ἐξ αὐτῶν γεννᾶται ἡ Περσεφόνη, ἣν καὶ αὐτὴν*[1] *ἐμίανεν· ἔσχε δὲ καὶ τὴν ἰδίαν ἀδελφὴν Ἥραν γυναῖκα. καὶ Ἀπόλλων δὲ τὴν ἰδίαν ἀδελφὴν ἔσχεν Ἄρτεμιν, ἣν καὶ ἐμίανεν ἐν Δήλωι παρὰ τῶι βωμῶι. καὶ ὁ Ἄρης δὲ τὴν Ἀφροδίτην. καὶ ὁ Ἥφαιστος τὴν Ἀθηνᾶν.*

1 *ἣν καὶ αὐτὸς* fort. recte Lob.

Lob. I 593.

154. (114) Porphyr. De antro nymphar. 16 p. 67, 21 Nauck[2] *παρὰ δὲ τῶι Ὀρφεῖ ὁ Κρόνος μέλιτι ὑπὸ Διὸς ἐνεδρεύεται· πλησθεὶς γὰρ μέλιτος μεθύει καὶ σκοτοῦται ὡς ὑπὸ οἴνου*[1] *καὶ ὑπνοῖ ὡς παρὰ Πλάτωνι* (Sympos. 203 b) *ὁ Πόρος τοῦ νέκταρος πλησθείς· οὔπω γὰρ* | [67 Nauck] *οἶνος ἦν. φησὶ γὰρ παρ' Ὀρφεῖ ἡ Νὺξ τῶι Διὶ ὑποτιθεμένη τὸν διὰ μέλιτος δόλον·*[2]

εὖτ' ἂν δή μιν ἴδηαι ὑπὸ δρυσὶν ὑψικόμοισιν
ἔργοισιν μεθύοντα μελισσάων ἐριβόμβων,
δῆσον

αὐτόν.[3] *ὃ καὶ πάσχει ὁ Κρόνος καὶ δεθεὶς ἐκτέμνεται ὡς ὁ Οὐρανός, τοῦ θεολόγου δι' ἡδονῆς δεσμεῖσθαι καὶ κατάγεσθαι τὰ θεῖα εἰς γένεσιν αἰνισσομένου ἀποσπερματίζειν τε δυνάμεις εἰς ἡδονὴν*[4] *ἐκλυθέντα. ὅθεν ἐπιθυμίαι μὲν συνουσίας τὸν Οὐρανὸν κατιόντα εἰς Γῆν ἐκτέμνει Κρόνος· ταὐτὸ δὲ τῆι ἐκ συνουσίας ἡδονῆι παρίσταται αὐτοῖς ἡ τοῦ μέλιτος, ὑφ' οὗ δολωθεὶς ὁ Κρόνος ἐκτέμνεται. πρῶτος γὰρ τῶν ἀντιφερομένων τῶι Οὐρανῶι ὁ Κρόνος ἐστὶ καὶ ἡ τούτου σφαῖρα· κατίασι*[5] *δὲ δυνάμεις ἐξ οὐρανοῦ καὶ ἀπὸ τῶν πλανωμένων. ἀλλὰ τὰς μὲν*

ἐξ οὐρανοῦ δέχεται Κρόνος, τὰς δ' ἀπὸ τοῦ Κρόνου Ζεύς. Procl. Tim. 35 b (II 208, 30 Diehl) *παραδειγματικὰ δὲ αἱ τομαὶ τοῦ πατρὸς καὶ οἱ δεσμοί· καὶ γὰρ τέμνει πρώ*|[209 Diehl]*τως ἐκεῖνον καὶ δεσμοῖ τοῖς ἀρρήκτοις δεσμοῖς, ταῦτα καὶ τῶν θεολόγων αἰνισσομένων, ὁπόταν λέγωσι τάς τε Κρονίας ἐκτομὰς καὶ τοὺς δεσμούς, οἷς ἑαυτὸν λέγεται περιβάλλειν ὁ τοῦ παντὸς ποιητής, ὧν καὶ ὁ ἐν Κρατύλωι* (404 a) *διαμνημονεύει Σωκράτης.*

1 *ὑπὸ οἴνου* Lob., *ἀπὸ οἴνου* vulgo ante Nauckium. 2 *δόλον* Nauck, *λόγον* M. 3 ⟨*αὐτίκα μιν*⟩ *δῆσον* Barnes. 4 *εἰς* ⟨*τὴν*⟩ *ἡδονὴν* Nauck; *ἔστ' ἡδονὴν* M. 5 *κατίασι* Herch., *κάτεισι* priores.

Herm. XLIX; Lob. I 516; Dieterich *Abraxas* 76; M. Mayer ap. Rosch. II 1470; Pohlenz *N. Jahrb.* XXXVII 1916, 591 n. 2.

Saturnus *mellis et fructuum repertor* apud Cyrenenses Macrob. Sat. I 7, 25. Allegorice Saturni vinculis utitur Hymn. XIII *Κρόνου* vs. 2:

ποικιλόβουλ', ἀμίαντε, μεγασθενές, ἄλκιμε Τιτάν,
ὃς δαπανᾶις μὲν ἅπαντα καὶ αὔξεις ἔμπαλιν αὐτός,
δεσμοὺς ἀρρήκτους ὃς ἔχεις κατ' ἀπείρονα κόσμον
αἰῶνος, Κρόνε παγγενέτωρ

magicamque vim eis inesse iubet pap. mag. Paris. vs. 2326 (Dieterich l. l. 77):

ποίησον, ὅ λέγω, Ταρταροῦχε παρθένε,
ἔδησα δεσμοῖς τοῖς Κρόνου τὸν σὸν πόλον.

155. (118) Procl. in Plat. Cratyl. 391 a (27, 21 Pasqu.) *καὶ γὰρ ὁ μέγιστος Κρόνος ἄνωθεν τὰς τῶν νοήσεων ἀρχὰς ἐνδίδωσι τῶι δημιουργῶι καὶ ἐπιστατεῖ τῆς ὅλης δημιουργίας· διὸ καὶ δαίμονα αὐτὸν ὁ Ζεὺς καλεῖ παρ' Ὀρφεῖ·*

ὄρθου δ' ἡμετέρην γενεήν, ἀριδείκετε δαῖμον.

καὶ ἔοικεν τῶν συναγωγῶν καὶ τῶν διαιρέσεων τὰς ἀκροτάτας αἰτίας ἔχειν παρ' ἑαυτῶι ὁ Κρόνος, διὰ μὲν τῶν οὐρανίων τομῶν προάγων εἰς τὰ μέρη τὴν ὁλότητα τὴν νοερὰν καὶ προόδων γεννητικῶν καὶ πολλαπλασιασμῶν αἴτιος γινόμενος καὶ ὅλως τῆς | [28 Pasqu.] *Τιτανικῆς γενεᾶς ἡγούμενος, ἀφ' ἧς ἡ διαίρεσις τῶν ὄντων, διὰ δὲ τῶν καταπόσεων συνάγων τὰ ἑαυτοῦ πάλιν γεννήματα καὶ ἑνίζων πρὸς ἑαυτὸν καὶ ἀναλύων εἰς τὴν ἑαυτοῦ μονοειδῆ καὶ ἀμέριστον αἰτίαν. ἐπεὶ καὶ ὁ δημιουργὸς Ζεὺς παρ' αὐτοῦ προσεχῶς ὑποδέχεται τὴν ἀλήθειαν τῶν ὄντων καὶ νοεῖ τὰ ἐν αὐτῶι πρώτως· μαντεύει μὲν γὰρ αὐτῶι καὶ ἡ Νὺξ* (fr. 103), *ἀλλ' ὁ πατὴρ προσεχῶς, καὶ πάντα τὰ μέτρα τῆς ὅλης*

δημιουργίας αὐτῶι ἐνδίδωσιν. Eundem versum praebet idem in Tim. B prooem. (I 207, 11 Diehl) *πρὸς δὲ τὸν Κρόνον πάλιν μετὰ τοὺς δεσμοὺς μόνον οὐκ εὐχόμενός φησιν· ὄρθου — δαῖμον, καὶ διὰ πάντων τῶν ἐχομένων τὴν τοῦ πατρὸς εὐμένειαν προκαλούμενος* et in Plat. Alcibiad. I 103 a p. 384, 3 Cous.²; Olympiodor. in Alcibiad. I c. 3 p. 15 Creuz. *καὶ Ὀ. τὸν Δία ποιεῖ πρὸς τὸν οἰκεῖον πατέρα λέγοντα· ὄρθου — δαίμων*; Damasc. De princ. 270 (II 136, 27 Rue.) *οὐχὶ δὲ καὶ Ὀ. ἐν τῶι Κρόνωι ἐξάπτει τὰ πείσματα τῆς ὅλης δημιουργίας, ὅ γέ τοι δημιουργικός, καὶ εὔχεται πρὸς αὐτόν· ὄρθου — δαῖμον*; | 137 Rue. *ἀπευθύνει ἄρα καὶ ἀπορθοῖ τὴν ὅλην κοσμοποιΐαν· ἔτι τοίνυν σαφέστερον οἱ Φοίνικες ταῦτα περὶ αὐτοῦ ἀξιοῦσιν, πρῶτον μὲν δαίμονα αὐτὸν ποιοῦντες εἰληχότα τὸν δημιουργόν.*

Herm. X vs. 4; Lob. I 518; Kern *Herm.* XXIII 1888, 487 n. XIX; Holwerda 319.

156. (183) Procl. in Plat. Tim. 22 d. e (I 118, 21 Diehl) *καὶ γὰρ καθαρμὸς ὃ μὲν γίνεται δι' ὕδατος, ὃ δὲ διὰ πυρός, πανταχοῦ δὲ ἡ καθαρότης τοῖς δευτέροις ἀπὸ τῶν πρώτων, διὸ καὶ παρὰ τῶι Ὀρφεῖ τὰ καθάρσια κομίζειν ὁ Ζεὺς ἀπὸ τῆς Κρήτης παρακελεύεται· τὴν γὰρ Κρήτην ἀντὶ τοῦ νοητοῦ τάττειν εἰώθασιν οἱ θεολόγοι.*

Kern *Herm.* LI 1916, 564.

157. (116) Procl. Cratyl. 396 b (52, 26 Pasqu.) *καὶ γὰρ* (Iuppiter) *διττοὺς ὑφίστησι διακόσμους, τόν τε οὐράνιον καὶ τὸν ὑπερουράνιον* (Lob., *ὑπουράνιον* codd.), *ὅθεν αὐτοῦ καὶ τὸ σκῆπτρον εἶναί φησιν ὁ θεολόγος*

πισύρων καὶ εἴκοσι μέτρων,

ὡς διττῶν ἄρχοντος δυωδεκάδων. Idem in Tim. 20 a (I 69, 29 Diehl) *τῶι δὲ τὰς μεγίστας ἀρχὰς μετακεχειρίσθαι τὸ βασιλικὸν ἐκείνου καὶ κρατητικὸν τῶν ὅλων, οὗ καὶ τὸ* | 70 Diehl *σκῆπτρον πισύρων — μέτρων ἐστὶ κατὰ τοὺς θεολόγους* et ibidem 31 a (I 451, 2 Diehl) *ἀλλ' ὁ μὲν Φάνης διττὰς ὑφίστησι τριάδας, ὁ δὲ Ζεὺς διττὰς δυωδεκάδας· καὶ γὰρ διὰ τοῦτο τὸ σκῆπτρον αὐτοῦ λέγεται· πισύρων — μέτρων.*

Lob. I 517; Holwerda 327.

158. (125) Procl. in Plat. Remp. II 144, 29 Kr. *διὸ καὶ τῶι Διὶ τοῖς Τιτᾶσιν τὰς ἐγκοσμίους* | 145 Kr. *διανέμειν παρασκευαζομένωι λήξεις ἕπεσθαι τὴν Δίκην ὁ Ὀ. φησιν·*

*τῶι δὲ Δίκη πολύποινος ἐφέσπετο*¹ *πᾶσιν ἀρωγός.*

εἰ γὰρ πᾶσιν ἀρωγὸς πολύποινος, εἰ τῶι δημιουργῶι τοῦ παντὸς συνδιακοσμεῖ τὰ πάντα, θεῶν ἄρχει (v. fr. 103), *δαίμοσιν συνεπιστατεῖ, ψυχὰς διαδικάζει καὶ ἁπαξαπλῶς διὰ πασῶν διέρχεται τῶν ψυχῶν ἡ κρίσις* et Theolog. Plat. VI 8 p. 363, 15 praemissis *ὁ δὲ Ὀ. καὶ διαρρήδην εἰς τὸν ὅλον ἀναπέμπει δημιουργόν. ἤδη γὰρ αὐτῶι βασιλεύοντι καὶ διακοσμεῖν ἀρχομένωι τὸ πᾶν, ἕπεσθαί φησι τὴν ὅλην*[2] *Δίκην. τῶι — ἐφέσπετο* etiam Procl. in Tim. 41 c (III 232, 31 Diehl). Vide etiam frr. 159. 160.

1 *πολύπονος ἐφέπετο* cod. Gottorp. Theol. et Dϛ Tim.; *πολύποινος ἐφείπετο* Portus. 2 v. Procl. in Tim. 28 c (I 315, 14 Diehl) frr. 152. 160.

Lob. I 396; Schuster 27; Kern De Theogon. 52; Diels *Parmenides Lehrgedicht* 11; Dieterich *Archiv Religionsw.* XI 1908, 159 = *Kl. Schr.* 412; Kern *Orpheus* 40 n. 2.

Cf. vetustiorum fragmentorum nr. 23.

Parmenid. fr. 1 vs. 14 (Diels II³ 149, 7) *τῶν δὲ Δίκη πολύποινος ἔχει κληῖδας ἀμοιβούς.*

Plotin. Ennead. V 8, 4 (II 236, 24 Volkm.) *καὶ ἡ οὐσία αὐτὴ σοφία, ἀλλ' οὐκ αὐτός, εἶτα σοφός. διὰ τοῦτο δὲ οὐδεμία μείζων, καὶ ἡ αὐτοεπιστήμη ἐνταῦθα πάρεδρος τῶι νῶι τῶι συμπροφαίνεσθαι, οἷον λέγουσι κατὰ μίμησιν καὶ τῶι Διὶ τὴν Δίκην.* H. F. Mueller *Herm.* LII 1917, 151 Sophoclis Oed. Col. vs. 1381 *εἴπερ ἐστὶν ἡ παλαίφατος Δίκη ξύνεδρος Ζηνὸς ἀρχαίοις νόμοις* Plotino in mentem venisse suspicatur, cum et Sophoclem et Plotinum Orphicorum doctrinam sequi verisimilius esse mihi quidem videatur (*Orph.* 41 n.). Cf. Aelian. fr. 25 (II p. 197 Herch.) et Arrian. Anabas. IV 9, 7.

159. Hermias in Plat. Phaedr. 247 d p. 154, 14 Couvr. *παράγεται δὲ ἡ Δικαιοσύνη παρὰ τῶι θεολόγωι ὑπὸ Νόμου καὶ Εὐσεβείας.* Cf. ibidem p. 162, 9 *ἡ μὲν ἐκεῖ Δίκη θυγάτηρ λέγεται τοῦ Νόμου τοῦ ἐκεῖ καὶ Εὐσεβείας* (fr. 105 p. 169).

Vide frr. 158. 160.

160. (126) Procl. in Plat. Alcibiad. I p. 499, 2 Cous.² *πάλιν, ἐπειδήπερ ἡ πρὸ τοῦ κόσμου Δίκη συνέπεται τῶι Διί (πάρεδρος γὰρ ὁ Νόμος τοῦ Διός, ὥς φησιν ὁ Ὀ.).* Idem in Plat. Tim. 28 c (I 315, 8 Diehl) *ἐν δὲ τῶι Γοργίαι* (523 a) *συντάττων τε αὐτὸν* (sc. Iovem) *τοῖς Κρονίδαις καὶ ἐξαιρῶν ἀπ' αὐτῶν, ἵνα καὶ πρὸ τῶν τριῶν ἦι καὶ μετέχηται ὑπ' αὐτῶν, καὶ τὸν Νόμον αὐτῶι* (sc. Iovi) *συγκαθιδρύων, ὥσπερ καὶ ὁ Ὀ. κατὰ γὰρ τὰς ὑποθήκας τῆς Νυκτὸς καὶ παρ' ἐκείνωι πάρεδρον ποιεῖται τὸν Νόμον· ἔτι δὲ τὴν Δίκην ὅλην* (v. fr. 158

n. 2) *ὀπαδὸν αὐτοῦ τιθέμενος ἐν Νόμοις* (IV 716 a fr. 21), *ὥσπερ καὶ ὁ θεολόγος.*

Lob. I 396. 533; Kern *Orpheus* 40 n. 2.

Hymn. LXIV *Νόμου* vs. 1 *ἀθανάτων καλέω καὶ θνητῶν ἁγνὸν ἄνακτα, οὐράνιον Νόμον κτλ.*

161. Damasc. De princ. 283 (II 156, 17 Rue.) *ἔτι δὲ κατ' Ὀρφέα δύο προβάλλεται* (sc. *ἡ τῶν ἀμειλίκτων προβολή*) *ζωιογόνους θεότητας, τὴν μὲν κατὰ τὸ κινούμενον μᾶλλον, τὴν δὲ μᾶλλον κατὰ τὸ ⟨ἑστό⟩ς, Ἥραν* (v. fr. 163) *φημὶ καὶ Ἑστίαν·*[1] *ταύτην μὲν ἑδράζουσαν τοὺς εἰς τόδε τὸ πᾶν προϊόντας θεούς, ἐκείνην δὲ πάντας εἰς πρόοδον ἐκκαλουμένην.* Cf. Procl. in Tim. 41 d (III 249, 16 Diehl).

1 *τὸ σηρᾶν φημι καὶ ἑστιᾶν* M; corr. Rue.

162. (110) Procl. Tim. 41 e (III 274, 17 Diehl) *καὶ γὰρ ὁ δημιουργός, ὡς ὁ Ὀ. φησι, τρέφεται μὲν ἀπὸ τῆς Ἀδραστείας* (fr. 105), *σύνεστι δὲ τῆι Ἀνάγκηι* (cf. frr. 54. 126 p. 132), *γεννᾶι δὲ τὴν Εἱμαρμένην.*

Lob. I 514; Holwerda 328.

163. Procl. in Plat. Tim. 31 a (I 450, 20 Diehl) *ὁ δὲ δημιουργὸς αὐτός, ὁ μέγιστος Ζεύς, συζυγεῖ τῆι Ἥραι· διὸ καὶ ἰσοτελὴς αὐτῶι καλεῖται, καὶ ἐκ τῶν αὐτῶν προεληλύθασι πατέρων.* Cf. in Tim. 18 c (I 46, 27 Diehl) fr. 132 et 41 d (III 248, 30 Diehl) *πηγὴ πάσης τῆς τῶν ψυχῶν προόδου καὶ ἀπογεννήσεως . . . . . πᾶσαν μὲν τὴν* | [249 Diehl] *ὑπερκόσμιον ἀπογεννῶσα ψυχήν, πᾶσαν δὲ τὴν ἐγκόσμιον, προϊοῦσα δὲ ἐπὶ πάντα καὶ ζωιοποιοῦσα καὶ τὸν ὅλον κόσμον, ἣν ὁ μὲν Ὀ. ἰσοτελῆ τῶι δημιουργῶι* (Schneid.] *δημιουργικῶι* codd.) *καλεῖ καὶ συνάπτει καὶ συζεύξας μίαν ποιεῖ μητέρα πάντων ὧν ὁ Ζεὺς πατήρ . . . . .*

Lob. I 539.

Ὀ. ἐν τῶι περὶ Διὸς καὶ Ἥρας fr. 115; cf. Dion. Prus. XXXVI 56 (II 15, 24 Arn.) *τοῦτον ὑμνοῦσι παῖδες σοφῶν ἐν ἀρρήτοις τελεταῖς Ἥρας καὶ Διὸς εὐδαίμονα γάμον* et Procl. in Plat. Tim. 18 c. d. (I 49, 12 Diehl) *ἐπεὶ καὶ τὸ τὴν αὐτὴν ἑτέροις ἢ τὸν αὐτὸν πλείοσι συζεύγνυσθαι λάβοις ἂν ἐκ τῶν μυστικῶν λόγων καὶ τῶν ἐν ἀπορρήτοις λεγομένων ἱερῶν γάμων, οἷς καὶ ὁ Πλάτων εἰς δύναμιν ἐξομοιῶν τὰ περὶ τοὺς πολίτας καὶ τοὺς τούτων γάμους ἱεροὺς γάμους προσηγόρευσε* (Resp. V 458 e).

Lob. I 366. 539. 607; Giseke 79; Schuster 15 n. 2; Gruppe *Suppl.* 701; Dieterich *Nekyia*[2] 104 n. 3.

164. (117) Procl. in Tim. B prooem. (I 206, 26 Diehl) *πρὶν δὲ ἅψηται* (sc. Socrates) *τῆς ὅλης πραγματείας, ἐπὶ θεῶν παρακλήσεις καὶ εὐχὰς τρέπεται, μιμούμενος καὶ ταύτηι τὸν τοῦ παντὸς ποιητήν, ὃς πρὸ τῆς ὅλης δημιουργίας εἴς τε τὸ χρηστήριον εἰσιέναι λέγεται τῆς Νυκτὸς κἀκεῖθεν πληροῦσθαι τῶν θείων νοήσεων καὶ τὰς τῆς δημιουργίας ἀρχὰς ὑποδέχεσθαι καὶ τὰς ἀπορίας ἁπάσας, εἰ θέμις εἰπεῖν, δια*|[207 Diehl] *λύειν καὶ δὴ καὶ τὸν πατέρα παρακαλεῖν εἰς τὴν τῆς δημιουργίας σύλληψιν. πρὸς μὲν γὰρ τὴν Νύκτα τῶι θεολόγωι πεποίηται λέγων·*

μαῖα, θεῶν ὑπάτη, Νὺξ ἄμβροτε, πῶς, τάδε φράζε,[1]
πῶς χρή μ' ἀθανάτων ἀρχὴν κρατερόφρονα θέσθαι;

καὶ ἀκούει παρ' αὐτῆς fr. 165 vs. 2 — vs. 3 *οὐρανόν.* Vs. 1 etiam in Tim. 40 e (III 179, 10 Diehl).

1 *φράζεις* in Tim. 40 e.

Cf. ibidem 41 c (III 228, 12 Diehl) *ὥσπερ γὰρ Ὀ. τὴν νοερὰν οὐσίαν ἐνθεὶς τῶι Διὶ ⟨τὴν⟩ δημιουργικὴν ἀπετέλεσεν κτλ.* et *Νυκτὸς χρησμούς* fr. 107 p. 171, frr. 165. 168 p. 202.

Lob. I 517.

165. (122) Procl. in Plat. Tim. I 28 c (I 313, 31 Diehl) *τὰ τοίνυν ὅλα περιέχων ὁ Ζεὺς καὶ πάντα μοναδικῶς καὶ* |[314 Diehl] *νοερῶς κατὰ τούτους*[1] *τοὺς χρησμοὺς τῆς Νυκτὸς ὑφίστησι πάντα τὰ ἐγκόσμια, θεούς τε καὶ τὰς μοίρας τοῦ παντός. λέγει γοῦν πρὸς αὐτὸν ἡ Νὺξ ἐρωτήσαντα·*

πῶς δέ μοι ἕν τε[2] *τὰ πάντ' ἔσται καὶ χωρὶς ἕκαστον;*
αἰθέρι πάντα πέριξ ἀφάτωι[3] *λάβε, τῶι δ' ἐνὶ μέσσωι*
οὐρανόν, ἐν δέ[4] *τε γαῖαν ἀπείριτον, ἐν δὲ*[5] *θάλασσαν,*
ἐν δὲ τὰ τείρεα[6] *πάντα τά τ' οὐρανὸς ἐστεφάνωται.*[7]

1 om. C. 2 *ἕν τι* Herm., Lob. 3 om. C. 4 *ἐν δέ* P, *ἠδέ* C, *ἐς δέ* N. 5 *ἐν δὲ* CN, *ἠδὲ* P. 6 *πείρεα* N. 7 *ἐστεφάνωται* CN, *ἐστεφάνωτο* ς; P (*nisi erravi* Diehl).

Vs. 1 habent etiam idem in Tim. 36 c (II 256, 21 Diehl), Olympiodor. in Plat. Phaed. C II *οζ'* p. 162, 30 Norv., vs. 2 *αἰθέρι* — 3 *οὐρανόν* Procl. in Tim. I 207, 9 Diehl, Simplic. in Aristot. Phys. IV coroll. de loco I 643, 27 Diels *ἐπεὶ οὖν ἡ Ἀσσύριος θεολογία καὶ ὑπὲρ τόνδε τὸν κόσμον ἄλλο σῶμα θειότερον τὸ αἰθέριον παραδέδωκεν, οἶδε δὲ αὐτὸ καὶ Ὀ. ἐν οἷς φησιν· αἰθέρι — οὐρανόν.*

Herm. X vs. 5; Lob. I 521 n. V; Holwerda 318.

Vs. 4 ex Il. Σ 485 sumptus est.

166. (122) Procl. in Plat. Tim. 31 c (II 24, 23 Diehl) *καὶ οὗτός ἐστιν ὁ κρατερὸς δεσμός, ὥς φησιν ὁ θεολόγος, διὰ πάντων τεταμένος καὶ ὑπὸ τῆς χρυσῆς σειρᾶς συνεχόμενος· ἐπ' αὐτῶι*[1] *γὰρ ὁ Ζεὺς τὴν χρυσῆν ὑφίστησι σειρὰν κατὰ τὰς ὑποθήκας τῆς Νυκτός* (v. fr. 160)·

αὐτὰρ ἐπὴν δεσμὸν κρατερὸν περὶ[2] *πάντα ταν̄ύσσῃς,*
σειρὴν χρυσείην ἐξ αἰθέρος ἀρτήσαντα.

1 *παρ' αὐτῶι* Kroll. 2 *περὶ* MP; *ἐπὶ* Q; *ἐπὶ πᾶσι* in Tim. 28 c (v. infra), ubi *περὶ πάντα* MP, *ἐπὶ πάντα* Q; *περὶ πᾶσι* in Tim. 32 c et in Cratyl. 395 e.

Vs. 1 legitur etiam apud eundem in Tim. 28 c (I 314, 12) et 32 c (II 53, 24 Diehl), in Cratyl. 395 e p. 50, 26 Pasqu.; vs. 2 apud eundem in Tim. 28 c (I 314, 17 Diehl), ubi sequuntur verba *σειρᾶς χρυσῆς Ὁμηρικῶς* (Il. Θ 19) *τῶν θείων τάξεων τῶν ἐγκοσμίων κεκλημένης,* cf. etiam in Tim. 34 b (II 112, 3 Diehl) et Damasc. De princ. 205 (II 87, 2 cf. Add. 385 et rectius W. Kroll *Philol.* LIII 1894, 426).

Herm. X vs. 9; Lob. I 521 n. VI; Holwerda 319.

Procl. Hymn. in Minerv. VII 2 *ἀκροτάτης ἀπὸ σειρῆς* (Ludw. p. 150), Kroll De orac. Chald. 22; Wilamowitz *Sitzungsber. Akad. Berlin* 1907, 273. 285.

167. (120. 121) Procl. in Plat. Tim. 29 a (I 324, 14 Diehl) *ταῦτα δὲ καὶ ὁ Ὀ. ἐνδεικνύμενος καταπίνεσθαι τὸν νοητὸν θεὸν ἔφατο παρὰ τοῦ δημιουργοῦ τῶν ὅλων· καὶ ὁ μὲν Πλάτων βλέπειν εἰς τὸ παράδειγμα τὸν δημιουργὸν ὑπέθετο, τὴν νόησιν διὰ τῆς ὁράσεως ἐνδεικνύμενος, ὁ δὲ θεολόγος καὶ οἷον ἐπιπηδᾶν αὐτὸν τῶι νοητῶι καὶ καταπίνειν, ὡς ὁ μῦθος ἔφησεν· ἔστι γάρ, εἰ χρὴ διαρρήδην τὰ τοῦ καθηγεμόνος λέγειν, ὁ παρὰ τῶι Ὀρφεῖ πρωτόγονος θεὸς κατὰ*[1] *τὸ πέρας τῶν νοητῶν ἱδρυμένος παρὰ τῶι Πλάτωνι τὸ αὐτοζῶιον· διὸ καὶ αἰώνιόν ἐστι καὶ τῶν νοουμένων κάλλιστον, καὶ τοῦτ' ἐστιν ἐν νοητοῖς, ὅπερ ὁ Ζεὺς ἐν νοεροῖς· πέρας γὰρ ἑκάτερος τῶνδε τῶν τάξεων, καὶ ὃ μὲν τῶν παραδειγματικῶν αἰτίων τὸ πρώτιστον, ὃ δὲ τῶν δημιουργικῶν τὸ μοναδικώτατον· διὸ καὶ ἑνοῦται πρὸς ἐκεῖνον ὁ Ζεὺς διὰ μέσης τῆς Νυκτὸς καὶ πληρωθεὶς ἐκεῖθεν γίνεται κόσμος νοητὸς ὡς ἐν νοεροῖς.*

a *ὣς τότε πρωτογόνοιο*[2] *χαδὼν*[3] *μένος Ἠρικεπαίου*[4]
| 325 Diehl *τῶν πάντων δέμας εἶχεν ἑῆι ἐνὶ γαστέρι κοίληι,*
μεῖξε δ' ἑοῖς μελέεσσι θεοῦ δύναμίν τε καὶ ἀλκήν,
τοὔνεκα σὺν τῶι πάντα[5] *Διὸς πάλιν ἐντὸς ἐτύχθη.*

Vs. 4 v. etiam b vs. 1, qui ea, quae in Orphicis secuta sunt, praebet.

1 θεὸς ⟨ὁ⟩ κατὰ dubit. Kroll. 2 προτογόνοιο C, πρωτογόνων P, πρωτόγονος N. 3 χαδὼν Rohde, χανὼν codd. 4 ἠρικαίπαίον P, ἠρισκεπαίον C, ἠρισκεπαῖος schol. C *bis*, ἠρικαπαίον N. 5 πάντα Holwerda (cf. etiam Lob. I 320 n. 1), Diehl, v. infra b vs. 1, ubi traditum πάντα, παρὰ codd., παντὶ edd. prior.

Zoëga *Abhdlg.* 262; Herm. VIII vs. 3; Lob. I 519; Rohde *Psyche* II[6] 114 n. 1; Holwerda 320; Kroll *Philolog.* LIII 1894, 561.

Procl. in Plat. Tim. 28 c (I 312, 26 Diehl) ὁ μὲν οὖν Πλάτων τοιοῦτον ὑποστησάμενος δημιουργὸν ἄρρητον αὐτὸν καὶ ἀκατονόμαστον εἴασεν, ὡς ἐν τἀγαθοῦ μοίραι (Phileb. 54 c) προτεταγμένον | [313 Diehl] τῶν ὅλων· ἔστι γὰρ ἐν πάσηι τάξει θεῶν τὸ ἀναλογοῦν τῶι ἑνί. τοιοῦτον γοῦν ἡ ἐν ἑκάστωι κόσμωι μονάς. ὁ δέ γε Ὀ. καὶ ὄνομα αὐτῶι προσήνεγκεν, ἅτε ἐκεῖθεν κινούμενος, ὧι καὶ αὐτὸς ὁ Πλάτων ἠκολούθησεν ἐν ἄλλοις· ὁ γοῦν παρ' αὐτῶι Ζεύς, ὁ πρὸ τῶν τριῶν Κρονιδῶν, οὗτός ἐστι[1] τῶν ὅλων δημιουργός. μετὰ γοῦν τὴν κατάποσιν τοῦ Φάνητος αἱ ἰδέαι τῶν πάντων ἐν αὐτῶι πεφήνασιν, ὥς φησιν ὁ θεολόγος·

τοὔνεκα σὺν τῶι πάντα Διὸς πάλιν ἐντὸς ἐτύχθη, (= a vs. 4)
b αἰθέρος εὐρείης ἠδ' οὐρανοῦ ἀγλαὸν ὕψος,
πόντου τ' ἀτρυγέτου γαίης τ' ἐρικυδέος ἕδρη,
Ὠκεανός τε μέγας καὶ νείατα Τάρταρα[2] γαίης
καὶ ποταμοὶ καὶ πόντος ἀπείριτος ἄλλα τε πάντα
πάντες τ' ἀθάνατοι μάκαρες θεοὶ ἠδὲ θέαιναι,
ὅσσα τ' ἔην γεγαῶτα καὶ ὕστερον ὁππόσ' ἔμελλεν, (v. fr. 169)
ἐνγένετο,[3] Ζηνὸς δ' ἐνὶ γαστέρι σύρρα πεφύκει.

Cf. I 314, 22 ss. Diehl et in Parmenid. 130 b p. 799, 27 Cous.[2] ὁ μὲν γὰρ Ὀ. μετὰ τὴν κατάποσιν τοῦ Φάνητος ἐν τῶι Διὶ τὰ πάντα γεγονέναι φησίν, ἐπειδὴ πρώ | [800 Cous.] τως μὲν καὶ ἡνωμένως ἐν ἐκείνωι, δευτέρως δὲ καὶ διακεκριμένως ἐν τῶι δημιουργῶι τὰ πάντων ἀνεφάνη τῶν ἐγκοσμίων αἴτια· ἐκεῖ γὰρ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ὁ οὐρανὸς αὐτὸς καὶ τὰ στοιχεῖα καὶ ὁ Ἔρως ὁ ἑνοποιὸς καὶ πάντα ἁπλῶς ἓν γεγονότα Ζηνὸς . . . πεφύκει et in Tim. 28 c (I 308, 2 Diehl), ubi idem versus citatur. Vide quoque in Plat. Tim. 34 a (II 93, 18 Diehl) αἱ γὰρ παρὰ τοῖς θεολόγοις καταπόσεις περιοχαί τινές εἰσιν, ἀλλ' αἱ μὲν

προγονικαὶ τὰ νοητὰ περιλαμβάνουσι νοερῶς, αἱ δὲ τῶν παίδων τὰ νοερὰ νοητῶς, Herm. in Plat. Phaedr. 247 c p. 148, 10 Couvr. πρὸς δὴ τοῦτο εἴρηται, ὅτι δεῖ ἄχρι τινὸς εἶναι τὴν συναφήν. διὰ τί δὲ ἄχρι τούτου; ὅτι δὴ οὐδὲ οἱ ὑπὸ τὸν Δία θεοὶ λέγονται ἑνοῦσθαι τῶι Φάνητι, ἀλλὰ μόνος ὁ Ζεὺς καὶ αὐτὸς διὰ μέσης τῆς Νυκτός. Vs. 6 v. etiam fr. 169 p. 208.

1 ἔστιν ⟨δ⟩ Kroll. 2 τάρταρος C. 3 ἐγγένετο Gesn., ἓν γένετο Holwerda.

Herm. VI vs. 2—8; Lob. I 520 n. III; Holwerda 320.

Ad vs. 5 cf. Hesiod. Theogon. 109 καὶ ποταμοὶ καὶ πόντος ἀπείριτος (cf. Od. κ 195) et 878 κατὰ γαῖαν ἀπείριτον.

168. (123. 43) Porphyr. ap. Euseb. Praep. ev. III 9 p. 100 a —105 d (I 121, 12 Dind.). Versus Orphici etiam ap. Stob. Eclog. I 23 (I 29, 10 Wachsm.). Vs. 17—20 quoque Euseb. l. l. III 11 (I 130, 28 Dind.); vs. 20 extr. etiam I 129, 29 Dind.; vs. 31. 32 l. l. XIII 13 (II 216, 1 Dind.) v. quoque fr. 169. ὅρα δὲ τὴν τῶν Ἑλλήνων σοφίαν οὑτωσὶ διασκοπούμενος. τὸν γὰρ Δία τὸν νοῦν τοῦ κόσμου ὑπολαμβάνοντες, ὃς τὰ ἐν αὐτῶι ἐδημιούργησεν ἔχων τὸν κόσμον, ἐν μὲν ταῖς θεολογίαις ταύτηι περὶ αὐτοῦ παραδεδώκασιν οἱ τὰ Ὀρφέως εἰπόντες·

Ζεὺς πρῶτος γένετο, Ζεὺς ὕστατος ἀργικέραυνος·
Ζεὺς κεφαλή, Ζεὺς μέσσα, Διὸς δ' ἐκ πάντα τέτυκται·[1]
Ζεὺς ἄρσην γένετο, Ζεὺς ἄμβροτος[2] ἔπλετο νύμφη·
Ζεὺς πυθμὴν[3] γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος·
Ζεὺς βασιλεύς, Ζεὺς αὐτὸς ἁπάντων ἀρχιγένεθλος·
ἓν κράτος, εἷς δαίμων γένετο,[4] μέγας ἀρχὸς ἁπάντων,[5]
ἓν δὲ[6] δέμας βασίλειον, ἐν ὧι τάδε πάντα κυκλεῖται,[7]
πῦρ καὶ ὕδωρ καὶ γαῖα καὶ αἰθήρ, νύξ τε καὶ ἦμαρ,
καὶ Μῆτις, πρῶτος γενέτωρ καὶ Ἔρως πολυτερπής·
πάντα γὰρ ἐν Ζηνὸς μεγάλωι[8] τάδε σώματι[9] κεῖται·
τοῦ δή τοι κεφαλὴ[10] μὲν ἰδεῖν καὶ καλὰ πρόσωπα
οὐρανὸς αἰγλήεις, ὃν χρύσεαι ἀμφὶς ἔθειραι
ἄστρων μαρμαρέων περικαλλέες ἠερέθονται,
ταύρεα δ' ἀμφοτέρωθε δύο χρύσεια κέρατα,
ἀντολίη τε δύσις τε, θεῶν ὁδοὶ οὐρανιώνων,
ὄμματα δ' ἠέλιός τε καὶ ἀντιόωσα[11] σελήνη·
νοῦς δέ οἱ ἀψευδὴς βασιλήϊος[12] ἄφθιτος αἰθήρ,
ὧι δὴ πάντα κλύει[13] καὶ φράζεται· οὐδέ τίς ἐστιν
αὐδὴ οὐδ' ἐνοπὴ οὐδὲ κτύπος οὐδὲ μὲν ὄσσα,[14]

ἢ λήθει Διὸς οὖας ὑπερμενέος Κρονίωνος.
ὧδε μὲν ἀθανάτην κεφαλὴν ἔχει ἠδὲ νόημα·[15]
σῶμα δέ οἱ περιφεγγές,[16] ἀπείριτον, ἀστυφέλικτον,
ἄτρομον,[17] ὀβριμόγυιον,[18] ὑπερμενὲς ὧδε τέτυκται·
ὦμοι μὲν καὶ στέρνα καὶ εὐρέα νῶτα θεοῖο
ἀὴρ εὐρυβίης, πτέρυγες δέ οἱ ἐξεφύοντο,
τῇς ἐπὶ πάντα ποτᾶθ', ἱερὴ δέ οἱ ἔπλετο νηδὺς
γαῖά τε παμμήτωρ[19] ὀρέων τ' αἰπεινὰ κάρηνα·
μέσση δὲ ζώνη βαρυηχέος[20] οἶδμα θαλάσσης
καὶ πόντου· πυμάτη δὲ βάσις, χθονὸς ἔνδοθι ῥίζαι,[21]
Τάρταρά τ' εὐρώεντα καὶ ἔσχατα πείρατα γαίης.
πάντα[22] δ' ἀποκρύψας αὖθις[23] φάος ἐς πολυγηθὲς
μέλλεν ἀπὸ κραδίης προφέρειν πάλι, θέσκελα ῥέζων.[24]

1 Vide fr. 21a ad vs. 2. 2 *ἄμβροτος* Stob., *ἄφθιτος* Eus. 3 *λιμὴν* Stob. F. 4 *γενέτωρ* cod. N Procl. in Tim. 28c et 31a (v. infra); *ἐγένετο* Eus. 5 *πάντων* CMP Procl. in Tim. 31a, *μέγας οὐρανὸν* (*οὐρανὸς* Eus.) *αἴθων* Clem. Alex. V 14, 128, 3 (II 413, 9 Staeh.). 6 *δὲ* om. Stob., *ἓν δέμας ἓν* Heringa. 7 *ἓν* (Eus., *ἐν* Clem., *ὧι* Heyse) *δὲ τὰ πάντα τέτυκται, ἐν ὧι τάδε πάντα κυκλεῖται* Clem. Alex. l. l. cf. Norden Agnostos Theos 247. 8 *ἐν μεγάλωι Ζηνὸς* Eus.; *μεγάλου* Procl., fortasse recte. 9 *δώματι* Procl. 10 *κεφαλὴν* Eus. 11 *ἀνταυγοῦσα* Heringa; *παμφανόωσα* Koechly Opusc. phil. I 237 (Boll *Στοιχ.* I 43) collato Quinto Smyrnaeo X 457, cf. Eisler *Weltenmantel u. Himmelszelt* II 403 n. 2, Beth *Wien. Stud.* XXXIV 1912, 290 n. 12 *οὖς δέ οἱ ἀψευδὲς βασιλήϊον* Heringa. 13 *κλύει* Stob. Procl., *κυκλεῖ* Eus. 14 Stob., cuius F in fin. *οὐδὲν· οὐ μένος* habet; *οὔτ' ἐνοπὴ οὔτε κτύπος οὔτε μὲν ὄσσα* Eus., *οὐδ' ἐνοπὴ οὐδ' αὖ κτύπος οὐδὲ μὲν ὄσσα* Procl. 15 *ἔχει ἠδὲ νόημα* Eus., *ἔχειν. ἠδ' ἐνι· σῆμα* Stob. F, qui etiam vs. 22 init. *σῆμα* habet, unde *ἔχει ἠδ' ἐπίσημον* Heringa. 16 *πυριφεγγὲς* Procl. 17 *ὄβριμον* Eus. 18 *ὀμβρίγυιον* Stob. F, fort. *ὀμβριμόγυιον* v. fr. 169 vs. 12. 19 *παμμήτειρα* Eus. 20 *βαθυηχέος* Procl., cuius P *βαρυηχέος* ut ceteri. 21 *ῥίζας* Procl. P (Tim. 32b); *ῥῆξαι* Stob. F. 22 *πάντας γὰρ κρύψας* Ps.-Aristot. fr. 21a vs. 8, Eus. XIII 13 (II 216, 1 Dind.), Clem. Alex. V 14, 122, 2 (II 409, 6 Staeh.); *πάντα τάδε κρύψας* Procl. in Tim. 28c (I 325, 9 Diehl). 23 *καὶ* post *αὖθις* add. Clem. Alex. l. l. 24 *ἔμελλεν ἀπὸ κραδίης προφέρειν πάλι θέσκελα ἔργα* Procl. in Tim. B prooem. I 207, 20 Diehl. *ἐξ ἱερῆς κραδίης ἀνενέγκατο, μέρμερα ῥέζων* Ps.-Aristot. fr. 21a vs. 9, Clem. Alex. l. l.

Vs. 1—8 omisso vs. 3 habet Procl. in Plat. Tim. 28c (I 313, 17 Diehl) qui citat post fr. 167b *τῶν δὲ ἰδεῶν πλήρης ὢν διὰ τούτων ἐν ἑαυτῶι τὰ ὅλα περιείληφεν, ὡς καὶ τοῦτο ἐνδεικνύμενος ὁ θεολόγος ἐπήγαγε· Ζεὺς — ἦμαρ. τὰ τοίνυν ὅλα περιέχων ὁ Ζεὺς καὶ πάντα μοναδικῶς καὶ* | [314 Diehl] *νοερῶς κατὰ τούτους τοὺς χρησμοὺς τῆς Νυκτὸς* (fr. 164) *ὑφίστησι πάντα τὰ*

ἐγκόσμια, θεούς τε καὶ τὰς μοίρας τοῦ παντός. Sequitur fr. 165. Apud eundem legitur etiam vs. 6 in Tim. 31 a (I 451, 15 Diehl) et 34 b (II 112, 12 Diehl). Idem affert vs. 9 in Plat. Tim. 24 d (I 169, 18 Diehl) *ἦν γὰρ ὁ δημιουργὸς καὶ Μῆτις . . . πολυτερπής, καὶ ὡς μὲν Μῆτις τίκτει τὴν Ἀθηνᾶν, ὡς δὲ Ἔρως ἀπογεννᾶι τὴν ἐρωτικὴν σειράν,* in eundem 32 c (II 54, 24 Diehl) *ἔχει δὲ καὶ αὐτὸς* (sc. *ὁ δημιουργὸς*) *ἐν ἑαυτῶι τὴν τοῦ Ἔρωτος αἰτίαν· ἔστι γὰρ καὶ Μῆτις . . . πολυτερπής. εἰκότως ἄρα φιλίας ἐστὶν αἴτιος τοῖς δημιουργήμασι καὶ ὁμολογίας. καὶ ἴσως πρὸς τοῦτο ἀποβλέπων καὶ ὁ Φερεκύδης* (Diels II³ 203, 8 fr. 3) *ἔλεγεν εἰς Ἔρωτα μεταβεβλῆσθαι τὸν Δία μέλλοντα δημιουργεῖν* (v. etiam fr. 170), in Alcibiad. I 103 a p. 376, 19 Cous.² (cf. Lob. I 529). Vs. 10 *πάντα γὰρ ἐν Ζηνὸς μεγάλου τάδε σώματι κεῖται* in Tim. 28 c (I 307, 30 Diehl). Vs. 11 init. *τοῦ δή τοι κεφαλὴ μέν,* vs. 12 init. (*οὐρανὸς αἰγλήεις*) et vs. 16 habet in Tim. 24 c (I 161, 24 Diehl); vs. 17 *νοῦς* — vs. 20 *οὖας* in Tim. 33 c (II 82, 13 Diehl) praemissis verbis *οὐδὲ τῶν παρ' Ἕλλησιν οὖν σοφῶν ἀγνοούντων τὰς θείας αἰσθήσεις οὐδὲ ἐπ' αὐτοῦ τοῦ δημιουργοῦ παραιτουμένων λέγειν,* vs. 22—25 *εὐρυβίης* omisso vs. 23 in Tim. 32 b (II 45, 7 Diehl); vs. 28 *μέσση* — 29 *ῥίζαι* omisso *καὶ πόντου* ibidem 45, 10 Diehl; vs. 29 *πυμάτη* — 30 *γαίης* in Tim. 36 b (II 231, 27 Diehl); vs. 31. 32 ibidem 28 c (I 325, 9 Diehl) et prooem. B (I 207, 20 Diehl).

Ad hunc *Ἱερῶν λόγων* hymnum spectat Procl. in Tim. 28 c (I 310, 7 Diehl) *ἔστι τοίνυν ὁ δημιουργὸς ὁ εἷς κατ' αὐτὸν ὁ τὸ πέρας τῶν νοερῶν θεῶν ἀφορίζων θεὸς καὶ πληρούμενος μὲν ἀπὸ τῶν νοητῶν μονάδων καὶ τῶν τῆς ζωῆς πηγῶν, προϊέμενος δὲ ἀφ' ἑαυτοῦ τὴν ὅλην δημιουργίαν καὶ προστησάμενος μερικωτέρους τῶν ὅλων πατέρας, αὐτὸς δὲ ἀκίνητος ἐν τῆι κορυφῆι τοῦ Ὀλύμπου διαιωνίως ἱδρυμένος καὶ διττῶν κόσμων βασιλεύων ὑπερουρανίων τε* (*τε* Kroll; *δὲ* codd.) *καὶ οὐρανίων, ἀρχὴν δὲ καὶ μέσα καὶ τέλη τῶν ὅλων περιέχων,* ibidem 317, 17 et 318, 20 Diehl *εἰ δὲ ταῦτα ὁμοφώνως λέγεται τῶι τε Τιμαίωι καὶ τοῖς λογίοις, πηγαῖός ἐστιν οὗτος δημιουργός, φαῖεν ἂν οἱ ἐκ τῆς θεοπαραδότου θεολογίας ὁρμώμενοι, κατὰ τὰς ἰδέας καὶ αὐτὸς δημιουργῶν τὸν ὅλον κόσμον καὶ ὡς ἕνα καὶ ὡς πολὺ* (*ὡς πολὺν* fort. recte Kroll) *καὶ ὡς καθ' ὅλα διηιρημένον καὶ ὡς κατὰ μέρη, καὶ εἷς ὑπό τε Πλάτωνος καὶ Ὀρφέως καὶ τῶν λογίων ποιητὴς καὶ πατὴρ ὑμνεῖται τοῦ παντός, πατὴρ ἀνδρῶν τε θεῶν τε, γεννῶν μὲν τὰ πλήθη τῶν θεῶν, ψυχὰς δὲ πέμπων*

εἰς γενέσεις ἀνδρῶν, ὡς καὶ τοῦτό φησιν | [319 Diehl] *ὁ Τίμαιος.* Idem in Plat. Parmenid. 130 b p. 799, 27 Cous.[2] *ὁ μὲν γὰρ Ὀ. μετὰ τὴν κατάποσιν τοῦ Φάνητος ἐν τῶι Διὶ τὰ πάντα γεγονέναι φησίν· ἐπειδὴ πρώ*|[800 Cous.]*τως μὲν καὶ ἡνωμένως ἐν ἐκείνωι, δευτέρως δὲ καὶ διακεκριμένως ἐν τῶι δημιουργῶι τὰ πάντων ἀνεφάνη τῶν ἐγκοσμίων αἴτια· ἐκεῖ γὰρ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ὁ οὐρανὸς αὐτὸς καὶ τὰ στοιχεῖα καὶ ὁ Ἔρως ὁ ἑνοποιὸς καὶ πάντα ἁπλῶς ἓν γεγονότα, Ζηνὸς δ' ἐνὶ γαστέρι σύρρα πεφύκει* (fr. 167 b vs. 7)· *καὶ οὐκ ἠρκέσθη τούτοις μόνον, ἀλλὰ καὶ τὴν τάξιν τῶν εἰδῶν τῶν δημιουργικῶν παραδίδωσι, δι' ἣν καὶ τὰ αἰσθητὰ τοιαύτην ἔλαχε τάξιν καὶ διακόσμησιν* et Theol. Plat. VI 8 p. 363, 23 citato vs. 1: *καί μοι δοκεῖ καὶ ὁ Πλάτων εἰς ἅπασαν τὴν Ἑλληνικὴν θεολογίαν ἀποβλέπων καὶ διαφερόντως* ⟨*εἰς*⟩ *τὴν Ὀρφικὴν μυσταγωγίαν, ἀνειπεῖν, ὡς ἄρα ὁ παλαιὸς λόγος κτλ.* (cf. fr. 21). Idem in Tim. 41 a (III 209, 3 Diehl) *ποιητὴς δὲ καὶ πατὴρ ὁ Ζεύς, ὅς καὶ νῦν λέγεται δημιουργὸς ὑφ' ἑαυτοῦ πατήρ τε ἔργων, φαῖεν ἂν οἱ Ὀρφικοί. ποιητὴς δὲ μόνως ὁ τῆς μεριστῆς ἐστι δημιουργίας αἴτιος, ὡς ἂν οἱ αὐτοὶ φαῖεν. τῶι μὲν οὖν πατρὶ μόνως ὑπόκειται τὰ νοητὰ πάντα,* ⟨*τὰ νοερὰ πάντα* om. QD⟩, *τὰ ὑπερκόσμια, τὰ ἐγκόσμια· τῶι δὲ πατρὶ καὶ ποιητῆι τὰ νοερὰ πάντα, τὰ ὑπερκόσμια, τὰ ἐγκόσμια· τῶι δὲ ποιητῆι καὶ πατρὶ νοερῶι ὄντι τὰ ὑπερκόσμια, τὰ ἐγκόσμια· τῶι δὲ ποιητῆι μόνως τὰ ἐγκόσμια. καὶ ταῦτα πάντα ἡμᾶς ἡ Ὀρφέως ἐδίδαξεν ὑφήγησις· καθ' ἑκάστην γὰρ ἰδιότητα τῶν τεττάρων πλῆθος ὑποτέτακται θεῶν. τίνα δὲ τὰ ἔργα τοῦ δημιουργοῦ καὶ πατρός; ἢ δῆλον ὅτι τά τε σώματα πάντα καὶ ἡ τῶν ζώιων σύστασις καὶ ὁ τῶν ψυχῶν τῶν μεθεκτῶν ἀριθμός. ταῦτα οὖν πάντα ἄλυτά ἐστι διὰ τὸ θέλημα τοῦ πατρός· τοῦτο γὰρ καὶ αὐτοῖς ἐνδέδωκε δύναμιν τῆς ἀτρέπτου διαμονῆς, συνεκτικὸν αὐτῶν καὶ φρουρητικὸν ὑπάρχον ἐξῃρημένως. οἱ δὲ νόες οἱ ταῖς ψυχαῖς ἄνωθεν ἐπιβεβηκότες οὐκ ἂν λέγοιντο ἔργα τοῦ πατρός· οὐδὲ γὰρ γένεσιν ἔσχον, ἀλλ' ἀγενήτως ἐξεφάνησαν, οἷον ἐντὸς ἀδύτων τεχθέντες καὶ οὐ προελθόντες ἐξ αὐτῶν· ἐκείνων γὰρ οὐδὲ παραδείγματά ἐστιν, ἀλλὰ τῶν μέσων τε καὶ τῶν τελευταίων· ψυχὴ γὰρ πρώτη τῶν εἰκόνων, τὰ δὲ ὅλα, οἷον τὰ ζῶια καὶ ἔμψυχα καὶ ἔννοα καὶ γενητὰ καὶ* ⟨*ἀγένητα* add. Kroll⟩ *ἐκ τῶν νοητῶν ὑπέστη παραδειγμάτων, ὧν καὶ τὸ αὐτοζῶιον ἦν περιληπτικόν.* Idem Cratyl. 395 a (48, 22 Pasqu.) [*καὶ* del. Pasqu., *ἤδη* Croenert] *ἀναφαίνεται πᾶν τὸ δημιουργικὸν τῶν θεῶν γένος ἀπὸ πάντων μὲν τῶν προειρημένων ἀρχικῶν αἰτίων καὶ βασι-*

λικῶν, προσεχῶς δ' ἀπὸ τοῦ ἑνὸς τῶν Τιτανικῶν διακόσμων ἡγεμόνος καὶ πρὸ τῶν ἄλλων | [49 Pasqu.] δημιουργῶν ὁ Ζεύς, τὸ ἑνιαῖον κράτος τῆς ὅλης δημιουργικῆς σειρᾶς κληρωσάμενος καὶ τά τε ἀφανῆ πάντα καὶ τὰ ἐμφανῆ παράγων καὶ ὑφιστάς, νοερὸς μὲν αὐτὸς ὑπάρχων κατὰ τὴν τάξιν, τὰ δ' εἴδη τῶν ὄντων καὶ τὰ γένη προάγων εἰς τὴν τῶν αἰσθητῶν διακόσμησιν, καὶ τῶν μὲν ὑπὲρ ἑαυτὸν θεῶν πεπληρωμένος, τοῖς δ' ἐγκοσμίοις πᾶσιν ἀφ' ἑαυτοῦ τὴν εἰς τὸ εἶναι πρόοδον παρέχων. διὸ δὴ καὶ Ὀ. δημιουργοῦντα μὲν αὐτὸν τὴν οὐρανίαν πᾶσαν γενεὰν παραδίδωσιν καὶ ἥλιον ποιοῦντα καὶ σελήνην καὶ τοὺς ἄλλους ἀστρώιους θεούς, δημιουργοῦντα δὲ τὰ ὑπὸ σελήνην στοιχεῖα καὶ διακρίνοντα τοῖς εἴδεσιν ἀτάκτως ἔχοντα πρότερον, σειρὰς δ' ὑφιστάντα θεῶν περὶ ὅλον τὸν κόσμον εἰς αὐτὸν ἀνηρτημένας καὶ διαθεσμοθετοῦντα πᾶσι τοῖς ἐγκοσμίοις θεοῖς τὰς κατ' ἀξίαν διανομὰς τῆς ἐν τῶι παντὶ προνοίας. καὶ Ὅμηρος δ' ἑπόμενος Ὀρφεῖ πατέρα μὲν αὐτὸν ἀνυμνεῖ κοινῆι θεῶν τε καὶ ἀνθρώπων καὶ ἡγεμόνα καὶ βασιλέα καὶ ὕπατον κρειόντων . . . Cf. Procl. in Tim. 35 a (II 145, 4 Diehl) ἔτι δέ, ἵνα καὶ ταῦτα συνάιδοντα ταῖς Ὀρφικαῖς παραδόσεσι λέγωμεν· οὐ γὰρ πάσης τάξεως νοητῆς ἢ νοερᾶς καὶ ἐκεῖνος κατηγορεῖ τὸ ἀμέριστον, ἀλλ' εἶναί τινα καὶ τοῦδε τοῦ ὀνόματος κρείττω, καθάπερ ἄλλων ὀνομάτων ἄλλα· καὶ γὰρ τὸ βασιλεὺς καὶ τὸ πατὴρ οὐ πάσαις ἐφαρμόζει τάξεσι.

His Procli locis adde Simplic. in Aristot. de Caelo I 3 p. 270 a 12 (93, 11 Heiberg) διὰ τοῦτο τὰς θεογονίας ἡμῖν οἱ θεῖοι ἄνδρες παραδεδώκασι θεῶν μὲν πλῆθος τὸ ἐν τῶι ἑνὶ μένον καί, ὡς ἂν εἴποι τις, κατὰ πολλαπλασιασμὸν ἐκείνου προϊόν, γένεσιν δὲ ὑμνοῦντες αὐτοῦ, καθ' ὅσον ἀπὸ τοῦ ἑνὸς ὑφέστηκεν, ὥσπερ καὶ ἀριθμῶν γένεσιν τὸν ἀπὸ τῆς μονάδος θεωροῦμεν προποδισμόν (Lob. I 467); Damasc. De princ. 311 (II 177, 10 Rue.) qui citat vs. 1 (Ζεὺς πρ. γ., Ζ. δ' ὕστατος ἀρχικέραυνος), vs. 3 (Ζ. ἀ. γ., Ζ. δ' ἄμβροτος ἔπλετο νύμφη), vs. 4 coniunctum cum vs. 16, vs. 6 et pergit καὶ τάδε περὶ ἄλλου οὐδενὸς ἀπεφήνατο τῶν θεῶν ὁ θεολόγος, κατὰ δὲ αὖ τὴν θεοπαράδοτον σοφίαν, τῆς μὲν διπλόης αὐτοῦ σύμβολον τῆς τε πρὸς τὰ αὐτὰ ἕκαστα καὶ τῆς πρὸς τὰ ἄλλα τῶι νῶι μὲν κατέχειν τὰ νοητά, αἴσθησιν δ' ἐπάγειν κόσμοις.

Cf. praeter ea quae e Neoplatonicorum farragine contuli Porphyrii et Eusebii explicationes huius hymni locis supra allatis.

Herm. VI vs. 9 p. 457; Lob. I 521. 523 ss. 530; G. F. Schoemann Opusc. acad. II 19; Schuster 35 ss.; Jac. Freudenthal *Ueber die Theologie des Xenophanes Breslau* 1886, 29. 48; Kern De Theogon. 35; Th. Gomperz Griech. Denker I³ 75; F. Duemmler *Arch. Gesch. Philos.* VII 1894, 147 = *Kl. Schr.* II 155; Gruppe *Suppl.* 705; Holwerda 326; Maaß *Orpheus* 276 n. 64 (ad vs. 15); Zeller *Zeitschr. wiss. Theol.* XLII 1899, 238 = *Kl. Schr.* II 157 (cf. p. 235 = II 154); Boll *Aus der Offenbarung Johannis Στοιχεῖα* I 43 (ad vs. 14 ss.).

Hymni in Iovem iam a Platone et auctore libri *Περὶ κόσμου* adhibiti (fr. 21 et 21 a) forma amplior et recentior, cui simile fr. 169. Horum versuum celeberrimi erant priores, qui saepissime laudantur. Quae fr. 21 a collegi, facile augeri possunt, cf. praeter ea quae ex Neoplatonicis congesta sunt, Plutarch. De def. oracul. 48 p. 436 d *οἱ μὲν σφόδρα παλαιοὶ θεολόγοι καὶ ποιηταὶ τῆι κρείττονι μόνηι τὸν νοῦν προσέχειν εἵλοντο, τοῦτο δὴ τὸ κοινὸν ἐπιφθεγγόμενοι πᾶσι πράγμασι· Ζεὺς ἀρχή, Ζεὺς μέσσα, Διὸς δ' ἐκ πάντα πέλονται* (v. fr. 21 a n. 6); Achill. Tat. Comment. in Arati Phaenom. fragm. 81, 29 Maaß *διὸ καὶ ὁ Θεόκριτος* (XVII 1) *'ἐκ Διὸς ἀρχώμε⟨σ⟩θα' φησὶ 'καὶ ἐς Δία λήγετε Μοῦσαι', ὁ δὲ Ὀ. πάντα καιρὸν ἀνατίθησι Διὶ λέγων· 'Ζεὺς ἀρχή, Ζεὺς μέσ⟨σ⟩α, Διὸς δ' ἐκ πάντα τέτυκται'. ὅθεν ἀκολούθως καὶ τῶι ἔθει τῶι παλαιῶι καὶ τῆι ὑποκειμένηι ὑποθέσει ἀπὸ Διὸς πεποίηται τὴν ἀρχήν.* Tzetz. Schol. Lycophr. p. 3, 29 Scheer (Lob. I 356) *γράφει δὲ ὁ Ὀ. χωρὶς τῶν ἀστρολογικῶν καὶ ἐπωιδικῶν καὶ μαγικῶν καὶ τῶν ἑτέρων καὶ ὕμνους εἰς Δία καὶ τοὺς λοιποὺς οὕτως* (vs. 1. 2) *Ζεὺς πρῶτος . . . τέτυκται.*

E Christianorum horreis exhibeo Synesii imitationem Hymn. II 63 *σὺ πατήρ, σὺ δ' ἐσσὶ μάτηρ· σὺ δὲ ἄρρην, σὺ δὲ θῆλυς· σὺ δὲ φωνά, σὺ δὲ σιγά, φύσεως φύσις γονῶσα, σὺ δ' ἄναξ, αἰῶνος αἰών, τὸ μὲν εἰ θέμις βοᾶσαι. μέγα χαῖρε, ῥίζα κόσμου, μέγα χαῖρε, κέντρον ὄντων, μονὰς ἀμβρότων ἀριθμῶν προανουσίων ἀνάκτων* et III 180 *ἓν καὶ πάντα, ἓν δι' ἁπάντων ἕν τε πρὸ πάντων σπέρμα τὸ πάντων, ῥίζα καὶ ὅρπαξ, φύσις ἐν νοεροῖς θῆλυ καὶ ἄρρεν* (Norden *Agnostos Theos* 229 v. etiam fr. 30; Geffcken *Ausgang des griech.-roem. Heidentums* 317 n. 216) et Didym. Alexandr. De Trinit. II 5 p. 140 (Migne 39, 494) *ὡς καὶ παρὰ τοῖς ἔξω λέγεται· εἷς θεὸς αὐτοπάτωρ, ἐξ οὗ τάδε πάντα γένοντο* et ibidem III 2 p. 322 (Migne 39, 788) (sc. *οἱ Ἕλληνες·*)

εἷς θεός ἐστιν ἄναξ παννπέρτατος, αὐτὸς ἁπάντων καὶ γενέτης πάμπρωτος ἔφυ καὶ ῥίζα καὶ ἀρχή et paulo post p. 323 (Migne 789) αὐτὸς πάντα φέρει θεὸς ἄμβροτος, αὐτὸς ἑαυτοῦ καὶ γενέτης καὶ ῥίζα πέλει καὶ τέρμα καὶ υἱός et c. 21 p. 402 (Migne 913) πάντα θεοῦ μεγάλοιο νόου ὑπὸ νεύματι κεῖται ἀρχὴ πηγή τε ζωῆς καὶ ὑπείροχον εὖχος καὶ κράτος ἠδὲ βίη καὶ ἰσχύος ἄφθιτος ἀλκὴ καὶ δύναμις κρατερὴ καὶ ἀμφιέλικτος ἀνάγκη (Lob. I 444). Quibus addimus (cf. Synes.) Clem. Alex. Quis dives salvetur 37, 2 (III 184, 1 Staeh.) καὶ τὸ μὲν ἄρρητον αὐτοῦ πατήρ, τὸ δὲ εἰς ἡμᾶς συμπαθὲς γέγονε μήτηρ et Euseb. De Laud. Constantini I p. 198, 33 Heikel ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν ὁρωμένοις τε καὶ ἀφανέσιν ἐπιπορευόμενος τοῦ θεοῦ λόγος (v. Plat. Leg. IV 716 a fr. 21).

Orphicam poesin hi quoque sapiunt Tiberiani *versus Platonis de Graeco in Latinum translati* qui ex nonnullis codd. editi sunt post M. Hauptium a Rieseo Anthol. Latin. II 46 p. 490, e quibus exhibeo praeter vs. 7. 8 maxime vs. 21—25

tu genus omne deum, tu rerum causa vigorque,
tu natura omnis, deus innumerabilis unus,
tu sexu plenus toto, tibi nascitur olim
hic deus, hic mundus, domus hic hominumque deumque,
lucens, augustae stellatus flore iuventae.

169. (124) Aristocritus Manich. in Theos. Tubing. 50 p. 109, 23 Bur. ὅτι ὁ Συριανὸς ἐν τοῖς ἑαυτοῦ πονήμασιν (test. 238) ἀναφέρει χρησμὸν τοιοῦτον·

| 110 Bur. ἓν κράτος, εἷς δαίμων γενέτης[1] μέγας, ἀρχὸς ἁπάντων,
ἓν δὲ δέμας βασίλειον, ἐν ὧι τάδε πάντα κυκλοῦται,[2]
πῦρ καὶ ὕδωρ καὶ γαῖα καὶ αἰθήρ, νύξ τε καὶ ἦμαρ
καὶ Μῆτις, πρώτη γένετις,[3] καὶ Ἔρως πολυτερπής.
πάντα γὰρ ἐν Ζηνὸς μεγάλωι[4] τάδε σώματι[5] κεῖται,
πάντα μόνος δὲ νοεῖ πάντων προνοεῖ τε[6] θεουδῶς·
πάντηι[7] δὲ Ζηνὸς καὶ[8] ἐν ὄμμασι[9] πατρὸς ἄνακτος
ναίουσ' ἀθάνατοί τε θεοὶ θνητοί τε ἄνθρωποι,
θῆρές τ' οἰωνοί θ' ὁπόσα πνείει τε καὶ ἕρπει.
οὐδὲ ἕ που λήθουσιν[10] ἐφήμερα φῦλ' ἀνθρώπων,
ὅσσ' ἀδίκως ῥέζουσί περ, οὐδ' εἰν οὔρεσι θῆρες
ἄγριοι, τετράποδες, λασιότριχες, ὀμβριμόθυμοι.[11]

Vs. 1—5 = fr. 168, 6—10. 1 γένετο fr. 168 vs. 6. 2 κυκλεῖται ibidem vs. 7. 3 γενέτωρ ibid. vs. 9. 4 ἐν μεγάλωι Ζηνὸς ibid. n. 8 Eus.

5 σώματι ibid. vs. 10; σώματα T(ub.). 6 προνοεῖ τε Bur.; προνοεῖται T. Vs. 7. 8 v. infra Procl. in Parmen. IV. 7 αὕτη Procl. 8 Ζηνὸς καὶ ibid., Ζηνός κεν T. 9 ἐν ὄμματι Eschenb. Epigen. 78 e Procli cod. Augustano. 10 ἐπουλήθουσιν T (Bur.), ἐπου λήθουσιν T (Weinr.). 11 ὀμβριμόθυμε e. g. Εὐχὴ πρὸς Μουσ. 10 cf. Orac. Sibyll. I 104 p. 11 Geffck. v. Bur.

Citat vs. 7. 8 Procl. in Plat. Parmen. IV 959, 21 Cous.[2] καὶ οὐκ ἂν θαυμασαίμεθα τῶν Ὀρφικῶν ἀκούοντες ἐπῶν, ἐν οἷς φησιν ὁ θεολόγος· αὕτη δὲ Ζηνὸς καὶ . . . ἄνθρωποι,

ὅσσα τ' ἔην γεγαῶτα καὶ ὕστερον ὁππόσ' ἔμελλεν (fr. 167 b vs. 6)

πάντων γάρ ἐστι πλήρης τῶν νοητῶν καὶ πάντων ἔχει τὰς διῃρημένας αἰτίας, ὥστε καὶ ἀνθρώπους καὶ τἆλλα πάντα γεννᾶι κατὰ τὰς αὐτῶν ἰδιότητας, οὐ καθόσον ἕκαστον θεῖόν ἐστιν ὥσπερ ὁ πρὸ αὐτοῦ πατὴρ ὁ νοητός.

Herm. XXXV; Lob. I 526.

170. (71) Procl. in Plat. Tim. 29 a. b (I 336, 6 Diehl) πάλαι γὰρ ὁ θεολόγος ἔν τε τῶι Φάνητι τὴν δημιουργικὴν αἰτίαν ἀνύμνησεν· ἐκεῖ γὰρ ἦν τε καὶ προῆν, ὥσπερ ἔφη καὶ αὐτός·

Βρόμιός τε μέγας καὶ Ζεὺς ὁ πανόπτης,

ἵνα δὴ τῆς διττῆς δημιουργίας ἔχηι τὰς οἱονεὶ πηγάς· καὶ ἐν τῶι Διὶ τὴν παραδειγματικήν· Μῆτις γὰρ αὖ καὶ οὗτός ἐστιν, ὥς φησι· καὶ Μῆτις . . . πολυτερπής (fr. 168 vs. 9), αὐτὸς δὲ ὁ Διόνυσος καὶ Φάνης καὶ Ἠρικεπαῖος συνεχῶς ὀνομάζεται. Idem in I. Alcibiad. 109 e p. 509, 9 Cous.[2] κάλλιον δὲ συνάπτειν ἀμφοτέρους τοὺς λόγους· ἐν γὰρ τῶι Διὶ ὁ Ἔρως ἐστί. καὶ γὰρ Μῆτίς ἐστι πρώτως (l. πρῶτος) γενέτωρ καὶ Ἔρως πολυτερπής, καὶ ὁ Ἔρως πρόεισιν ἐκ τοῦ Διὸς καὶ συνυπέστη τῶι Διὶ πρώτως ἐν τοῖς νοητοῖς· ἐκεῖ γὰρ ὁ Ζεὺς ὁ πανόπτης ἐστὶ καὶ ἁβρὸς Ἔρως (fr. 83), ὥς Ὀ. φησιν. συγγενῶς οὖν ἔχουσι πρὸς ἀλλήλους, μᾶλλον δὲ ἥνωνται ἀλλήλοις καὶ φίλιος αὐτῶν ἑκάτερός ἐστι.

Herm. VIII; Lob. I 495.

171. Gregor. Nazianz. Or. XXXI 16 (Migne 36, 149) οἵ τε παρ' Ἑλλήνων σεβόμενοι θεοί τε καὶ δαίμονες, ὡς αὐτοὶ λέγουσιν, οὐδὲν ἡμῶν δέονται κατηγόρων, ἀλλὰ τοῖς σφῶν αὐτῶν ἁλίσκονται θεολόγοις, ὡς μὲν ἐμπαθεῖς, ὡς δὲ στασιώδεις, ὅσων | [152 Migne] δὲ κακῶν γέμοντες καὶ μεταβολῶν· καὶ οὐ πρὸς ἀλλήλους μόνον, ἀλλὰ καὶ πρὸς τὰς πρώτας αἰτίας ἀντιθέτως ἔχοντες· οὓς δὴ καὶ Ὠκεανοὺς καὶ Τηθύας καὶ Φάνητας

καὶ οὐκ οἶδα οὕστινας ὀνομάζουσι· καὶ τελευταῖόν τινα θεὸν μισότεκνον διὰ φιλαρχίαν, πάντας καταπίνοντα τοὺς ἄλλους ἐξ ἀπληστίας, ἵνα γένηται πάντων ἀνδρῶν τε θεῶν τε πατὴρ (fr. 168 p. 205) *δυστυχῶς ἐσθιομένων καὶ ἐμουμένων.* Cf. Abel fr. 66 n. 1.

Lob. I 468; Kern De Theogon. 44; Gruppe *Suppl.* 695.

172. (273) Procl. Theol. Plat. VI 12 p. 376, 21 *πρῶτον δὴ τοῦτο κατανοήσωμεν, ὅπως καὶ αὐτὸς* (sc. Plato) *ὥσπερ Ὀ. τὸν ἥλιον εἰς ταὐτόν πως ἄγει τῶι Ἀπόλλωνι καὶ ὡς τὴν κοινωνίαν πρεσβεύει τούτων τῶν θεῶν. ἐκεῖνος μὲν γὰρ διαρρήδην λέγει καὶ διὰ πάσης, ὡς εἰπεῖν, τῆς ποιήσεως.*

Lob. I 614; Kern *Herm.* XXIV 1889, 501 et *Orph.* 7 n. 2. Hymn. VIII *Ἡλίου* et XXXIV *Ἀπόλλωνος.*

Platonis verba Leg. XII 945 e *κατ' ἐνιαυτὸν ἕκαστον μετὰ τροπὰς ἡλίου τὰς ἐκ θέρους εἰς χειμῶνα συνιέναι χρεὼν πᾶσαν τὴν πόλιν εἰς Ἡλίου κοινὸν καὶ Ἀπόλλωνος τέμενος* ad Orphicorum doctrinam de Apolline—Sole refert Wilamowitz *Platon* [1] I 416 n. 3. Cautius iudicat Lob. l. l. *Solque ipse permiscetur cum Apolline, nisi suum nobis somnium narrat Proculus.* De Apolline Orphicorum cf. etiam Serv. ad. Verg. Aen. III 98 fr. 4 et fr. 194.

173. (310) Fulgentius Mitologiar. III 9 p. 74, 8 Helm ~ Myth. Vat. III 10, 7 (Raschke De Alberico myth. 103) *nunc ergo huius misticae fabulae* (sc. Apollinis et Marsyae) *interiorem cerebrum inquiramus. a musicis haec reperta est fabula, ut Orfeus in teogonia scribit; musici enim duos artis suae posuerunt ordines, tertium vero quasi ex necessitate adicientes, ut Ermes Trismegistus ait, id est: adomenon, psallomenon, aulumenon, hoc est: aut cantantium aut citharidiantium aut tibizantium.*

Reitzenstein *Poimandres* 210.

174. (132) Procl. in Plat. Tim. 24 d (I 166, 21 Diehl) *διὸ καὶ ὁ Ὀ. περὶ αὐτῆς* (sc. *Ἀθηνᾶς*) *τικτομένης φησίν, ὅτι ἄρα αὐτὴν ὁ Ζεὺς ἀπεγέννησεν ἐκ τῆς κεφαλῆς·*

ὅπλοις λαμπομένην χαλκήϊον ἄνθος ἰδέσθαι.

Herm. XXIX vs. 3; Lob. I 540.

175. (136) Procl. in Plat. Tim. 24 d (I 170, 3 Diehl) *οἰκεῖον γὰρ τὸ τῆς ἀρετῆς γένος πρὸς τὴν μεγίστην ταύτην θεόν, ὡς καὶ αὐτὴν ἀρετὴν οὖσαν· ἐν γὰρ τῶι δημιουργῶι μένουσα σοφία καὶ νόησίς ἐστιν ἄτρεπτος, καὶ ἐν τοῖς ἡγεμονικοῖς θεοῖς ἐκφαίνει τὴν τῆς ἀρετῆς δύναμιν,*

Ἀρετῆς τ' ὄνομ'[1] *ἐσθλὸν*
κλῄιζεται,[2]

φησὶν Ὀ. Cf. eundem in Plat. Tim. 25 b (I 185, 3 Diehl) *καὶ γὰρ ἄλλη θεολογία τις, οὐχ ἡ Ὀρφικὴ μόνον, Ἀρετὴν αὐτὴν* (sc. Minervam) *ἀπεκάλεσε.*

1 *τε οὔνομ'* codd.; em. Lob. 2 *κλη$\ddot{\iota}$ζεται* C.

Herm. XXIX ad vs. 4; Lob. I 541; Kern *Orpheus* 50.

De *Ἀρετῆς* cultu v. Deubner ap. Rosch. III 2, 2128.

176. (131) Procl. in Plat. Tim. 24 d (I 169, 1 Diehl) *λέγει γοῦν καὶ ὁ θεολόγος, ὅτι παρήγαγεν αὐτὴν* (sc. Minervam) *ὁ πατήρ·*

ὄφρ' αὐτῶι μεγάλων ἔργων κράντειρα[1] *πέλοιτο.*[2]

1 *κρήτειρα* C, *κρ$^{άν}_{η}$τειρα* M. 2 *γένοιτο* Lob.

Herm. XXIX vs. 4; Lob. I 540.

Cf. fr. 177.

177. (133) Procl. in Plat. Rempubl. I 102, 11 Kr. de Minerva

δεινὴ γὰρ Κρονίδαο νόου κράντειρα τέτυκται

φησὶν Ὀ.

Herm. XXIX vs. 5; Lob. I 540.

Cf. fr. 176.

178. (135) Procl. in Plat. Crat. 389 b. c (21, 13 Pasqu.) *εἰ δέ τις αὐτὰς τὰς ποιητικὰς καὶ γονίμους δυνάμεις τῶν θεῶν, ἃς εἰς τὸ πᾶν προάγουσι, τέχνας προσαγορεύοι δημιουργικὰς καὶ νοερὰς καὶ γεννητικὰς καὶ τελεσιουργούς, οὐκ ἂν οὐδ' ἡμεῖς ἀποδοκιμάσαιμεν τὴν τοιαύτην προσηγορίαν, ἐπεὶ καὶ τοὺς θεολόγους εὑρίσκομεν διὰ τούτων τὰς θείας ποιήσεις ἐνδεικνυμένους, καὶ τοὺς μὲν Κύκλωπας ἁπάσης τεχνικῆς ποιήσεως αἰτίους λέγοντας, οἳ καὶ τὸν Δία καὶ τὴν Ἀθηνᾶν καὶ τὸν Ἥφαιστον ἐδίδαξαν* (fr. 179 vs. 3), *τὴν δ' Ἀθηνᾶν τῶν τ' ἄλλων τεχνῶν καὶ διαφερόντως τῆς ὑφαντικῆς προστατεῖν, τὸν δ' Ἥφαιστον ἄλλης ἰδίως ἔφορον τέχνης, αὐτὴν δὲ τὴν ὑφαντικὴν ἀρχομένην μὲν ἀπὸ τῆς δεσποίνης Ἀθηνᾶς —*

ἥδε γὰρ ἀθανάτων προφερεστάτη[1] *ἐστὶν ἁπασέων*
ἱστὸν ἐποίχεσθαι[2] *ταλασήιά τ' ἔργα πινύσσειν —*

| 22 Pasqu. *φησὶν Ὀ., προϊοῦσαν δ' εἰς τὴν ζωιογόνον τῆς Κόρης σειρὰν — καὶ γὰρ αὕτη καὶ πᾶς αὐτῆς ὁ χορὸς ἄνω μενούσης ὑφαίνειν λέγονται τὸν διακόσμον τῆς ζωιῆς* (v. fr. 192) *—, μετεχομένην δὲ ὑπὸ πάντων τῶν ἐν κόσμωι θεῶν — καὶ γὰρ ὁ εἷς*

δημιουργὸς τοῖς νέοις δημιουργοῖς προσυφαίνειν τῶι ἀθανάτωι παρακελεύεται (Plat. Tim. 41 d) *τὸ θνητὸν εἶδος τῆς ζωῆς —, περατουμένην δ' εἰς τοὺς τῆς γενέσεως προστάτας θεούς, ὧν ἐστιν καὶ ἡ παρ' Ὁμήρωι Κίρκη πᾶσαν ὑφαίνουσα τὴν ἐν τῶι τετραστοίχωι ζωὴν καὶ ἅμα ταῖς ὠιδαῖς ἐναρμόνιον ποιοῦσα τὸν ὑπὸ σελήνην τόπον. ἐν ταύταις οὖν ταῖς ὑφαντικαῖς καὶ ἡ Κίρκη*[3] *ὑπὸ τῶν θεολόγων παραλαμβάνεται, χρυσῆ μέντοι, καθάπερ φασίν, ἐνδεικνύμενοι τὴν νοερὰν αὐτῆς καὶ ἄχραντον οὐσίαν καὶ ἄυλον καὶ ἀμιγῆ πρὸς τὴν γένεσιν, καὶ τὸ ἔργον αὐτῆς διακρίνειν τὰ ἑστῶτα τῶν κινουμένων καὶ χωρίζειν κατὰ τὴν ἑτερότητα τὴν θείαν.* Cf. eundem in Parmenid. 130 c p. 829, 9 Cous.[2] *θαυμαστὸν δὲ οὐδὲν καὶ τὸ εἶναί τινας ἐν δαίμοσιν αἰτίας, οἳ καὶ ἔφοροι λέγονται τῶν τεχνῶν οἱ μὲν ἄλλων οἱ δὲ ἄλλων ὑπάρχειν, καὶ ἀνθρώποις δεδωρῆσθαι ταύτας, καὶ ἐν θεοῖς συμβολικῶς εἶναι, οἷον χαλκείας εἶναι μέν τις δαίμων Ἥφαιστος λεγέσθω προστάτης καὶ τὸ εἶδος ἔχων, αὐτὸς δὲ ὁ μέγας Ἥφαιστος συμβολικῶς ἂν λέγοιτο χαλκεύειν τὸν οὐρανόν* (fr. 180)· *καὶ ὑφαντικῆς ὡσαύτως Ἀθηναϊκή τις δαιμονὶς ἔφορος, αὐτῆς τῆς Ἀθηνᾶς ἄλλως καὶ δημιουργικῶς ὑφαίνειν τὸν διάκοσμον τῶν νοερῶν εἰδῶν ὑμνουμένης* v. etiam in Tim. 24 d (I 168, 30 Diehl): *Ἐργάνη δὲ ὡς τῶν δημιουργι-* | [169 Diehl] *κῶν ἔργων προστάτις.*

1 *προσφερεστάτη* P, *προφανεστάτη* C Procl. Tim. v. n. 2 2 *ἱστὸν ἐποίχεσθαι* Procl. in Tim. 23 d (I 135, 9 Diehl), qui citat *ἥδε . . . ἁπασῶν — ἱστὸν ἐποίχεσθαι*, cf. Herwerd. *Herm.* V 1871, 141, *ὑφήνασθαι* Cratyli codd. v. fr. 193. 3 De Circe ap. Orphea nil notum; haud scio an vitium lateat et *Κόρη* (v. frr. 192. 193) intellegendum sit.

Herm. XXIX vs. 1; Lob. I 541.

Hesiod. Theogon. 79 *Καλλιόπη θ'* · *ἣ δὲ προφερεστάτη ἐστὶν ἁπασέων.* Orphei *Εὐχ. πρὸς Μουσ.* 2 *εὐχήν, ἥ δή τοι προφερεστέρη ἐστὶν ἁπασέων.* Hom. Il. A 31 *ἱστὸν ἐποιχομένην,* Od. κ 222 (de Circe) *ἱστὸν ἐποιχομένης.*

179. (92) Procl. in Plat. Tim. 29 a (I 327, 23 Diehl) *ὡς γάρ φησιν ὁ θεολόγος, οἱ πρῶτοι τεκτονόχειρες τῶι Διὶ τὰς δημιουργικὰς δυνάμεις ἔδοσαν πάσης τῆς ἐγκοσμίου ποιήσεως·*

οἳ Ζηνὶ βροντήν τε πόρον[1] *τεῦξάν τε κεραυνόν,*
πρῶτοι τεκτονόχειρες, ἴδ'[2] *Ἥφαιστον καὶ Ἀθήνην*
δαίδαλα[3] *πάντ' ἐδίδαξαν, ὅσ' οὐρανὸς ἐντὸς ἐέργει.*

1 *δόσαν* Damasc. De princ. 256 (II 125, 5 Rue.). Cf. Hesiod. infra. 2 *ἴδ'* codd., *οἳ* priores Hermiam (cf. infra) secuti. 3 *δαίδαλα* om. Hermias.

Hermias in Plat. Phaedr. 247 c p. 149, 9 Couvr. *διὰ μὲν*[1] *τοῦ 'ἀχρώματος'*[2] *ἐδήλωσεν* (sc. *ὁ Πλάτων*), *ὅτι ὑπὲρ τὴν Οὐρανοῦ βασιλείαν ἐστὶν ὁ τῶν Νυκτῶν τόπος· διὰ δὲ τοῦ 'ἀσχημάτιστος'*,[3] *ὅτι καὶ ὑπὲρ τὴν τῶν Κυκλώπων τάξιν· ἐν γὰρ πρώτοις τούτοις τὸ σχῆμα ἐκφαίνεσθαι ἡ θεολογία φησὶ καὶ πρώτας ἀρχὰς καὶ αἰτίας τῶν πανταχοῦ σχημάτων τούτους εἶναι τοὺς θεοὺς Κύκλωπας·*[4] *διὸ καὶ τεκτονόχειρας αὐτοὺς ἡ θεολογία καλεῖ·*[5] *αὕτη γὰρ τριάς ἐστι τελεσιουργικὴ τῶν σχημάτων· κυκλοτερὴς ὀφθαλμὸς ἕεις*[6] *ἐνέκειτο μετώπωι* (Hesiod. Theogon. 145) *καὶ ἐν Παρμενίδηι* (137 e) *δὲ ἐὰν λέγηι ὁ Πλάτων 'εὐθὺ καὶ περιφερὲς', ταύτην τὴν τάξιν αἰνίττεται. οὗτοι δὲ καὶ* [*τὴν*][7] *Ἀθηνᾶν καὶ Ἥφαιστον διδάσκουσι τὰ ποικίλα τῶν σχημάτων εἴδη, ὡς πρῶτοι αἴτιοι τῶν σχημάτων· πρῶτοι τεκτονόχειρες οἳ Ἥφαιστον καὶ Ἀθήνην πάντ' ἐδίδαξαν. ἐὰν οὖν ἀκούωμεν καὶ τὸν Ἥφαιστον καὶ τὴν Ἀθηνᾶν αἰτίους τῶν σχημάτων, οὐ θαυμασόμεθα. ὁ μὲν γὰρ Ἥφαιστος τοῦ ἐν τοῖς σώμασι καὶ τοῦ ἐγκοσμίου παντὸς σχήματος αἴτιος· ἡ δὲ Ἀθηνᾶ τοῦ ψυχικοῦ τε καὶ* | 150 Couvr. *νοεροῦ· οἱ δὲ Κύκλωπες τοῦ θείου καὶ τοῦ πανταχοῦ δηλονότι· καὶ ὑπὲρ τὴν τῶν Κυκλώπων τάξιν ἐστὶν ὁ ὑπερουράνιος τόπος.*

1 *μὲν* ⟨*οὖν*⟩ Couvr. 2 *ἀχρωμάτου* codd. 3 *ἀσχηματίστου* codd. 4 *Κύκλωπας* del. Couvr. 5 *καλεῖ* codd. praeter *φησὶν* M. 6 *εἷς* A. 7 *τὴν* del. Ab.

Herm. VIII vs. 43 p. 468; Lob. I 504; Schoemann Opusc. acad. II 17.

Cf. fr. 178.

Hom. Od. ζ 232 *ἀνὴρ ἴδρις ὃν Ἥφαιστος δέδαεν καὶ Παλλὰς Ἀθήνη.* Hom. Hymn. XX 2 de Vulcano *ὃς μετ' Ἀθηναίης γλαυκώπιδος ἀγλαὰ ἔργα ἀνθρώπους ἐδίδαξεν ἐπὶ χθονός.* Hesiod. Theogon. 141 de Cyclopibus *οἳ Ζηνὶ βροντήν τε δόσαν τεῦξάν τε κεραυνόν.* Ad vs. 3 cf. Hom. Il. Ω 544 *ὅσσον Λέσβος ἄνω, Μάκαρος ἕδος, ἐντὸς ἐέργει.*

180. (211) Syrian. in Aristot. Metaphys. B 2 p. 997 b 34 (26, 23 ss. Kr.) *ὅτι μέντοι τὰς ἀνάλογον* (sc. *ἁπασῶν τῶν τεχνῶν αἰτίας*) *καὶ ἐν θεοῖς ἔστιν ἐπινοεῖν, δηλοῦσι καὶ οἱ θεολόγοι Κύκλωπας καὶ Ἥφαιστον χαλκέας καὶ οἰκοδόμους οὐκ ὀκνοῦντες καλεῖν, οὐδὲ Ἀθηνᾶι καὶ Κόρηι τὴν ὑφαντικὴν ἀποκληροῦν.* Procl. in Plat. Tim. 23 d. e (I 143, 7 Diehl) *διὰ ταῦτα γὰρ καὶ ὑπὸ τῶν θεολόγων* [sc. *ὁ Ἥφαιστος*] *λέγεται χαλκεύειν, ὡς στερεῶν καὶ ἀντιτύπων ἐργάτης, καὶ διότι χάλ-*

κεος ὁ οὐρανὸς ὡς μίμημα ὢν τοῦ νοητοῦ καὶ ὁ τοῦ οὐρανοῦ ποιητὴς χαλκεύς. Idem paulo antea (I 142, 18 Diehl) ἄνωθεν οὖν ἡμεῖς ἀπὸ τῶν θεολόγων τὰς περὶ αὐτοῦ [sc. Ἡφαίστου] πίστεις ἐπενέγκωμεν ταῖς ἡμετέραις παραδόσεσιν. ὅτι μὲν οὖν τῆς δημιουργικῆς ἐστι σειρᾶς, ἀλλ' οὐχὶ τῆς ζωιογονικῆς ἢ συνοχικῆς ἢ ἄλλης τινός, δηλοῦσιν οἱ θεολόγοι χαλκεύοντά τε αὐτὸν καὶ κινοῦντα τὰς φύσας καὶ ὅλως ἐργοτεχνίτην παραδιδόντες. Idem in Parmenid. 130 c p. 829, 16 Cous.[2] αὐτὸς δὲ ὁ μέγας Ἥφαιστος συμβολικῶς ἂν λέγοιτο χαλκεύειν τὸν οὐρανόν, v. in Tim. 36 d (II 281, 20 s. Diehl).

181. Procl. in Plat. Tim. 40 a (III 118, 30 Diehl) διὰ γὰρ τοῦτο καὶ οἱ θεολόγοι τὴν Εὐνομίαν ἐπέστησαν τῆι ἀπλανεῖ, τὸ ἐν αὐτῆι πλῆθος διακρίνουσαν καὶ ἕκαστον ἐπὶ τῆς οἰκείας διατη | [119 Diehl] ροῦσαν ἀεὶ τάξεως. διὰ τοῦτο δὲ ἄρα καὶ τὸν Ἥφαιστον ὑμνοῦντες τοῦ οὐρανοῦ ποιητὴν συνάπτουσιν αὐτῶι τὴν Ἀγλαΐαν ὡς ἀγλαΐζοντι πάντα τὸν οὐρανὸν διὰ τῆς τῶν ἄστρων ποικιλίας. καὶ πάλιν τῶι μὲν πλανωμένωι τὴν ⟨μὲν⟩ Δίκην ἐφιστᾶσι τῶν Ὡρῶν ὡς ὀφείλουσαν τὴν ἀνωμαλίαν κατὰ λόγον εἰς ὁμαλότητα περιάγειν, τὴν δὲ Θάλειαν τῶν Χαρίτων ὡς τὰς ζωὰς αὐτῶν ἀειθαλεῖς ἀποτελοῦσαν, τῶι δὲ ὑπὸ σελήνην τὴν μὲν Εἰρήνην ὡς τὸν πόλεμον τῶν στοιχείων ἐξιωμένην, τὴν δὲ Εὐφροσύνην (v. fr. 200) τῶν Χαρίτων ὡς ἑκάστοις ἐνδιδοῦσαν ῥαιστώνην τῆς κατὰ φύσιν ἐνεργείας.

Cf. Hesiod. Theogon. 901—909; Orph. Hymn. XLIII (vs. 2 Εὐνομίη τε Δίκη τε καὶ Εἰρήνη πολύολβε), LX (vs. 2. 3 θυγατέρες Ζηνός τε καὶ Εὐνομίης (Εὐρυνόμης Schrader) βαθυκόλπου, Ἀγλαΐη Θαλίη τε καὶ Εὐφροσύνη πολύολβε).

182. (140) Procl. in Plat. Tim. 29 a (I 333, 2 Diehl) διὰ δὴ ταῦτα καὶ οἱ θεολόγοι τῶι Ἡφαίστωι τὴν Ἀφροδίτην (fr. 184) συζεύξαντες οὕτως αὐτὸν χαλκεύειν εἰρήκασι τὸ πᾶν (fr. 180), καὶ αὖ ἐξ Ἡφαίστου καὶ Ἀγλαΐας Εὔκλειαν καὶ Εὐθένειαν[1] ἀπογεννῶσι καὶ Εὐφήμην καὶ Φιλοφροσύνην,[2] αἳ καὶ αὐταὶ τὸ σωματοειδὲς τῶι κάλλει διαπρέπον ἀποτελοῦσι.

1 *Εὐθένειαν* codd.] *Εὐσθένειαν* vulgo. 2 *Εὐφροσύνη* fr. 181 (et 200).

Lob. I 543; Kern *Orpheus* 50.

Ad *Εὐθένειαν* v. anaglyphum notissimum in Thyreatide repertum, quod *Εὐθηνίαν* et *Ἐπίκτησιν* et *Τελετήν* repraesentat (Roscher *Lex.* III 2, 2124 fig. 12 = IG IV 676); B. Keil *Ber. Saechs. Ges. Wiss.* 1916, 38 n. 1.

183. (140) Procl. in Plat. Cratyl. 406 c p. 110, 23 Pasqu. *τὴν δὲ δευτέραν Ἀφροδίτην παράγει μὲν ὁ Ζεὺς ἐκ τῶν ἑαυτοῦ γεννητικῶν δυνάμεων, συμπαράγει δ' αὐτῶι καὶ ἡ Διώνη· πρόεισι δ' ἡ θεὸς ἐκ τοῦ ἀφροῦ κατὰ τὸν αὐτὸν τῆι πρεσβυτέραι τρόπον· λέγει δ' οὕτως καὶ περὶ ταύτης ὁ αὐτὸς θεολόγος* (v. fr. 127)·

τὸν δὲ πόθος πλέον εἷλ', ἀπὸ δ' ἔκθορε πατρὶ μεγίστωι[1]
αἰδοίων ἀφροῖο γονή, ὑπέδεκτο δὲ πόντος
σπέρμα Διὸς μεγάλου· περιτελλομένου δ' ἐνιαυτοῦ
ὥραις καλλιφύτοις τέκ' ἐγερσιγέλωτ' Ἀφροδίτην
ἀφρογενῆ.

1 *μεγίστωι* Werf.; *μέγιστοι* A, *μεγίστη* cett.

Lob. I 542.

184. (139) Procl. in Plat. Tim. 32 c (II 54, 19 Diehl) *εἰ δὲ καὶ πρὸ τούτων τὴν ὑπερκόσμιον αἰτίαν τῆς φιλίας ἐθέλοις σκοπεῖν, εὑρήσεις καὶ παρὰ τοῖς θεολόγοις αὐτὴν ὑμνημένην· τὴν γὰρ Ἀφροδίτην παρήγαγεν ὁ δημιουργός, ἵνα κάλλος ἐπιλάμπηι* ⟨*καὶ* add. Diehl⟩ *τάξιν καὶ ἁρμονίαν καὶ κοινωνίαν πᾶσι τοῖς ἐγκοσμίοις, καὶ τὸν Ἔρωτα ὀπαδὸν αὐτῆς, ἑνοποιὸν ὄντα τῶν ὅλων. ἔχει δὲ καὶ αὐτὸς ἐν ἑαυτῶι τὴν τοῦ Ἔρωτος αἰτίαν· ἔστι γὰρ καὶ Μῆτις . . . πολυτερπής* fr. 168 vs. 9.

185. (134) Procl. in Plat. Cratyl. 406 d p. 112, 14 Pasqu. *νῦν οὖν ὁ Σωκράτης τὴν μὲν φρουρητικὴν διὰ τοῦ τῆς Παλλάδος ἀνυμνεῖ ὀνόματος, τὴν δὲ τελεσιουργὸν διὰ τοῦ τῆς Ἀθηνᾶς. τὴν οὖν ἔνρυθμον χορείαν διὰ τῆς κινήσεως ὑποφαίνει, ἧς καὶ μεταδέδωκεν πρωτίστηι μὲν τῆι Κουρητικῆι τάξει, δευτέρως δὲ καὶ τοῖς ἄλλοις θεοῖς· ἔστιν γὰρ ἡ θεὸς κατὰ ταύτην τὴν δύναμιν ἡγεμὼν τῶν Κουρήτων, ὥς φησιν Ὀ.*

Lob. I 541; Poerner De Curet. et Corybant. 373.

186. (133) Procl. in Plat. Rempubl. I 138, 12 Kr. *καὶ γὰρ οἱ πρώτιστοι Κούρητες τά τε ἄλλα τῆι τάξει τῆς Ἀθηνᾶς ἀνεῖνται καὶ περιεστέφθαι λέγονται τῶι θαλλῶι τῆς ἐλάας, ὥς φησιν Ὀ.* Idem in Tim. 42 d (III 310, 25 Diehl) *ἢ καὶ ὅτι σύνεστιν αὐτοῖς Κουρητικὴ θεότης, τῆι μὲν νοήσει τὸ ἄχραντον ἐπιλάμπουσα, τῆι δὲ κινήσει τὸ ἀκαμπές, ἀμείλικτον δὲ ὅλοις αὐτοῖς χορηγοῦσα δύναμιν, δι' ἣν ἑαυτῶν ὄντες τὰ ὅλα ποδηγετοῦσιν.*

Herm. XXIX ad vs. 5; Lob. I 541; Poerner De Curet. et Corybant. 373.

187. (137) Procl. in Plat. Cratyl. 404 b p. 106, 10 Pasqu. *ἐπεὶ ἥ γε Ἄρτεμις ἥ ἐν αὐτῆι καὶ ἡ Ἀθηνᾶ τὴν παρθενίαν ἀεὶ τὴν αὐτὴν διασώιζουσι· καὶ γὰρ ἡ μὲν κατὰ τὸ μόνιμον αὐτῆς, ἡ δὲ κατὰ τὸ ἐπιστρεπτικὸν χαρακτηρίζεται· τὸ δὲ γεννητικὸν μέσην ἐν αὐτῆι τάξιν ἔλαχεν. ἐπιθυμεῖν δ' αὐτὴν τῆς παρθενίας φασίν, ἐπειδὴ τὸ εἶδος αὐτῆς ἐν τῆι ζωιογόνωι περιέχεται πηγῆι, καὶ νοεῖ τὴν πηγαίαν ἀρετὴν καὶ ὑφίστησι τὴν ἀρχικὴν καὶ ἀναγωγόν, καὶ τὴν ἔνυλον ἀτιμάζει πᾶσαν μεῖξιν, καίτοι ἐφορῶσα τοὺς καρποὺς τῆς τοιαύτης ἐνύλου μείξεως·*

ἀτελής ⟨τε⟩ γάμων καὶ ἄπειρος ἐοῦσα
παιδογόνου λοχίης πάσης ἀνὰ πείρατα λύει,

φησὶν Ὀ.· καὶ ἔοικεν τὰς μὲν γενέσεις καὶ τὰς προόδους τῶν πραγμάτων ἐκτρέπεσθαι, τὰς δὲ τελειότητας ἐπιφέρειν αὐτοῖς, καὶ τὰς μὲν ψυχὰς διὰ τῆς κατ' ἀρετὴν ζωῆς τελεσιουργεῖν, τοῖς δὲ θνητοῖς ζώιοις τὴν εἰς τὸ εἶδος ἀποκατάστασιν χορηγεῖν.

Lob. I 545; Holwerda 329.

Ad vs. 2 cf. Hymn. XXXVI 4. 8 et Wernicke *RE*² II 1347. 1393.

188. (138. 201) Procl. in Plat. Cratyl. 406 b p. 106, 25 Pasqu. *ὅτι δὲ πολλὴ τῆς Ἀρτέμιδος καὶ ἡ πρὸς τὴν ἐγκόσμιον Ἑκάτην ἕνωσις καὶ ἡ πρὸς τὴν Κόρην, φανερὸν τοῖς καὶ ὀλίγα τῶι Ὀρφεῖ παραβεβληκόσιν, ἐξ ὧν δῆλον, ὅτι καὶ ἡ Λητὼ περιέχεται*[1] *ἐν τῆι Δήμητρι τῆι καὶ τὴν Κόρην ὑποστη-* | 107 Pasqu. *σάσηι*[2] *τῶι Διὶ καὶ τὴν ἐγκόσμιον Ἑκάτην, ἐπεὶ καὶ τὴν Ἄρτεμιν Ἑκάτην Ὀ. κέκληκεν·*

ἡ δ' ἄρα δῖ' Ἑκάτη παιδὸς μέλη[3] *αὖθι λιποῦσα*
Λητοῦς εὐπλοκάμοιο κόρη προσεβήσατ'[4] *Ὄλυμπον·*

ὥστ' οὐδὲν θαυμαστόν, εἰ καὶ τὴν ἐν τῆι Κόρηι Ἄρτεμιν Ἑκάτην ἐν ἄλλοις κεκλήκαμεν.

1 *περιέχεται* Lob., *περιέχουσα* codd. 2 *συνυποστησάσηι* Lob. 3 *μέλη* codd.; *μέλε'* Koechly Opusc. philolog. I 237. 4 *προσεβήσετ'* Herwerd. *Herm.* V 1871, 145.

Procl. ibidem 404 b p. 94, 24 Pasqu. *προσαγορεύεται δὲ καὶ Κόρη διὰ τὴν καθαρότητα τῆς οὐσίας καὶ τὴν ἄχραντον ἐν ταῖς ἀπογεννήσεσιν ὑπεροχήν. ἔχει δὲ πρώτην τε καὶ μέσην καὶ τελευταίαν ἡγεμονίαν, καὶ κατὰ μὲν τὴν ἀκρότητα ἑαυτῆς Ἄρτεμις καλεῖται παρ' Ὀρφεῖ, κατὰ δὲ τὸ μέσον κέντρον Περσεφόνη, κατὰ δὲ τὸ πέρας τῆς διακοσμήσεως Ἀθηνᾶ.* Procl. ibidem 406 b p. 105, 18 Pasqu. *ὅτι τῆς δεσποίνης ἡμῶν Ἀρτέμιδος τρεῖς ὁ Πλάτων παραδίδωσιν ἰδιότητας, τήν τε ἄχραντον καὶ τὴν*

κόσμιον καὶ τὴν ἀναγωγόν· καὶ διὰ μὲν τὴν πρώτην παρθενίας ἐρᾶν λέγεται ἡ θεός, διὰ δὲ τὴν δευτέραν, καθ' ἣν τελεσιουργός, [ὡς][1] *ἀρετῆς ἔφορος εἶναι λέγεται, διὰ δὲ τὴν τρίτην, καθ' ἣν*[2] *μισῆσαι λέγεται τὰς γενεσιουργοὺς ὁρμάς. καὶ μάλιστα τῶν τριῶν ἡ πρώτη ἐφαρμόζει τῆι τῆς θεοῦ*[3] *προόδωι, καθ' ἣν ἐν τῆι ζωιογόνωι τῶν ἀρχῶν τριάδι τὴν ὕπαρξιν ἔλαχεν, εἴτε Ἑκατικὴ προσαγορευομένη θεότης, ὡς οἱ θεουργοί φασιν, εἴτε Ἄρτεμις, ὡς Ὀρφεύς. ἐκεῖ γὰρ ἱδρυμένη πεπλήρωται μὲν ἀχράντων δυνάμεων ἀπὸ τῶν ἀμειλίκτων θεῶν, εἰς δὲ τὴν τῆς ἀρετῆς βλέπει πηγὴν* | 106 Pasqu. *καὶ τὴν παρθενίαν αὐτῆς ἀσπάζεται· καὶ γὰρ ἐκείνη τὸ παρθένον οὐ προΐησιν, ὥς φησι τὸ λόγιον* (Kroll De orac. Chald. 28)· *νοοῦσα δ' ἐκείνην ὑφίστησιν καὶ τὴν ἀρχικὴν ἀρετήν, καὶ ἐξῄρηται πάσης κοινωνίας καὶ συζεύξεως καὶ τῆς κατὰ τὴν γένεσιν προόδου.* Cf. etiam in Plat. Tim. 40 b (III 131, 18 Diehl) *εἰ δὲ καὶ μερικαὶ ψυχαὶ περὶ αὐτοὺς ἐσπάρησαν, ἄλλαι μὲν περὶ ἥλιον, ἄλλαι δὲ περὶ σελήνην, ἄλλαι δὲ περὶ ἕκαστον τῶν λοιπῶν, καὶ πρὸ τῶν ψυχῶν δαίμονες συμπληροῦσι τὰς ἀγέλας ὧν εἰσιν ἡγεμόνες, δῆλον, ὅτι καλῶς εἴρηται κόσμον ἑκάστην εἶναι τῶν σφαιρῶν, καὶ τῶν θεολόγων ἡμᾶς ταῦτα διδασκόντων, ὁπόταν περὶ ἑκάστου θεοὺς ἐν αὐτοῖς εἶναι πρὸ τῶν δαιμόνων ἄλλους ὑπὸ τὴν ἄλλου τελοῦντας ἡγεμονίαν* * * *, *οἷον καὶ περὶ τῆς δεσποίνης ἡμῶν τῆς σελήνης, ὅτι καὶ ἡ Ἑκάτη θεαί τινές εἰσιν ἐν αὐτῆι καὶ ἡ Ἄρτεμις, καὶ περὶ τοῦ βασιλέως Ἡλίου καὶ τῶν ἐκεῖ θεῶν, τὸν ἐκεῖ Διόνυσον ὑμνοῦντες· 'Ἠελίοιο πάρεδρος ἐπισκοπέων πόλον ἁγνόν'* (Kroll De orac. chald. 9), *τὸν Δία τὸν ἐκεῖ, τὸν Ὄσιριν, τὸν Πᾶνα τὸν ἡλιακόν, τοὺς* | 132 Diehl *ἄλλους, ὧν αἱ βίβλοι πλήρεις εἰσὶ τῶν θεολόγων καὶ τῶν θεουργῶν· ἐξ ὧν ἁπάντων δῆλον, ὅπως ἀληθὲς καὶ τῶν πλανωμένων ἕκαστον ἀγελάρχην εἶναι πολλῶν θεῶν συμπληρούντων αὐτοῦ τὴν ἰδίαν περιφοράν.*

1 *ὡς* del. Pasqu. 2 post *καθ' ἣν* lacunam statuit Pasqu., qui ⟨*ἐπιστρεπτική*⟩ inserendum suadet; addit autem *possis tamen καθ' ἣν delere.* 3 *τῆς θεοῦ* Boisson.] *τοῦ θ.* codd.

Lob. I 543; Holwerda 329.

189. (107) Procl. in Plat. Cratyl. 404 b p. 92, 14 Pasqu. *ἡ δὲ Δημήτηρ πρώτη καὶ τὰς διττὰς τροφὰς διεῖλεν ἐν τοῖς θεοῖς, ὥς φησιν Ὀρφεύς·*

μήσατο γὰρ προπόλους ⟨*τε*⟩[1] *καὶ ἀμφιπόλους καὶ ὀπαδούς,*[2]
μήσατο δ' ἀμβροσίην καὶ ἐρυθροῦ νέκταρος ἀρδμόν,[3]
μήσατο δ' ἀγλαὰ ἔργα[4] *μελισσάων ἐριβόμβων.*

1 suppl. Duentz. 2 *ὀπηδούς* Lob. 3 *ἀρδμόν* Koechly Opusc. phil. I 237, qui dubitanter *ἔργον* etiam proponit collato fr. 154 (Lob. I 516); *ἄρθρον* codd., *ἄνθος* vel *εἶδαρ* Lob. 4 *δῶρα* Lob.

Lob. I 538.

190. (185) Procl. in Plat. Tim. 31 b (I 457, 14 Diehl) *τὸ μὲν 'μονογενὲς' τὴν μοναδικὴν αἰτίαν ἀπεικονίζεται καὶ τὴν* ⟨*τῶν* add. Diehl⟩ *ὅλων ἐπικρατοῦσαν οὐσίαν ἐνδείκνυται· καὶ γὰρ ὁ θεολόγος οὕτως τὴν Κόρην μουνογένειαν εἴωθε προσαγορεύειν, ὡς τῶν ἐγκοσμίων ἁπάντων ἡγεμονικῶς προϊσταμένην καὶ τῶν μονογενῶν ζώιων αἰτίαν· τὰς γὰρ μὴ μονογενεῖς ἡ μετ' αὐτὴν ὑφίστησιν θεός* (sc. *Δημήτηρ*), *ἀλόγους οὔσας. μονογενῆ δ' οὖν καλεῖ καὶ ἐκεῖνος διὰ ταῦτα τὴν Κόρην, καίτοι καὶ ἄλλην θεότητα* (sc. *Δία καὶ Πλούτωνα*) *παραγαγὼν ἀπὸ τῶν αὐτῶν αἰτίων τῆι Κόρηι.*

Herm. XXXIV p. 492; Lob. I 545.

Hymn. XXIX in Proserpinam vs. 2 *μουνογένεια*; v. etiam Hesiod. Theogon. 426 *μουνογενής* de Hecate, quod imitatus est Apollon. Argonaut. III 847. 1035.

191. (210) Procl. Theolog. Platon. VI 13 p. 382, 10 *ἐπεὶ καὶ περιεστάναι λέγονται* (sc. *οἱ Κούρητες*) *τὸν τῶν ὅλων δημιουργὸν καὶ περιχορεύειν ἀπὸ τῆς Ῥέας ἀναφανέντες. ἐν μὲν οὖν τοῖς νοεροῖς θεοῖς ἡ Κουρητικὴ τάξις ἡ πρωτίστη τὴν ὑπόστασιν ἔλαχεν. ἀνάλογον δὴ τοῖς ἐκεῖ Κούρησιν ἡ τῶν Κορυβάντων προβαίνουσα τῆι Κόρηι καὶ φρουροῦσα πανταχόθεν αὐτήν, ὥς φησιν ἡ θεολογία. διὸ καὶ τὴν ἐπωνυμίαν ἔλαχον ταύτην.*

Iulian. Or. V p. 168 b *δορυφοροῦσι γὰρ αὐτὸν* (sc. *Ἄττιν*) *παρὰ τῆς Μητρὸς δοθέντες οἱ Κορύβαντες αἱ τρεῖς ἀρχικαὶ τῶν μετὰ θεοὺς κρεισσόνων γενῶν ὑποστάσεις* v. Kroll De orac. Chald. 37.

192. (211) Porphyr. De antro nymphar. 14 p. 66, 13 Nauck[2] *καὶ χιτών γε τὸ σῶμα τῆι ψυχῆι ὃ ἠμφίεσται, θαῦμα τῶι ὄντι ἰδέσθαι, εἴτε πρὸς τὴν σύστασιν ἀποβλέποις*[1] *εἴτε πρὸς τὴν πρὸς τοῦτο σύνδεσιν τῆς ψυχῆς.*[2] *οὕτω καὶ παρὰ τῶι Ὀρφεῖ ἡ Κόρη, ἥπερ ἐστὶ παντὸς τοῦ σπειρομένου ἔφορος, ἱστουργοῦσα παραδέδοται,*[3] *τῶν παλαιῶν καὶ τὸν οὐρανὸν πέπλον*[4] *εἰρηκότων οἷον θεῶν οὐρανίων περίβλημα.*

1 *ἀποβλέποις* Psell., *ἀποβλ*ξ M, *ἀποβλέπει* cett. 2 *πρὸς τοῦτο σύνδεσιν τῆς ψυχῆς* M, *σύνδεσιν τῆς ψυχῆς τὴν πρὸς τοῦτο* Psell., *σύνδεσιν τοῦτο συνάγει τῆς ψυχῆς* cett. 3 *παραδέδοται* M; *παραδίδοται* cett. 4 *πέπλον* codd. v. Lob. I 380, *βηλὸν* Nauck.

Procl. in Tim. 41 b. c (III 223, 3 Diehl) *καὶ διὰ ταῦτα ἄρα Ὀ. τὴν τῶν μεριστῶν ζωιοποιὸν αἰτίαν ἄνω μένουσαν καὶ ὑφαίνουσαν τὸν διάκοσμον τῶν οὐρανίων νύμφην τε εἶναί φησιν ὡς ἄχραντον καὶ ταῦτα*[1] *τῶι Διὶ συναφθεῖσαν*[2] *καὶ μένειν ἐν οἰκείοις ἤθεσι, προελθοῦσαν δὲ ἀπὸ τῶν ἑαυτῆς οἴκων ἀτελεῖς* (v. fr. 193) *τε καταλείπειν τοὺς ἱστοὺς καὶ ἁρπάζεσθαι καὶ ἀναρπασθεῖσαν γαμεῖσθαι καὶ γαμηθεῖσαν γεννᾶν* (frr. 195. 196), *ἵνα ψυχώσηι καὶ τὰ ἐπείσακτον ἔχοντα ζωήν· τὸ γὰρ ἀτελές, οἶμαι, τῶν ἱστῶν ἐνδείκνυται κἀκεῖνο τὸ μέχρι τῶν ἀϊδίων ζώιων ἀτελὲς εἶναι τὸ πᾶν. διὸ καὶ ὁ Πλάτων παρακελεύεσθαί φησι* (41 d) *τὸν ἕνα δημιουργὸν τοῖς πολλοῖς 'προσυφαίνειν τὰ θνητὰ τοῖς ἀθανάτοις' ἀναμιμνήσκων πως ἡμᾶς, ὅτι τῆς τοῦ παντὸς ὑφαντικῆς ζωῆς τελείωσίς ἐστιν ἡ προσθήκη τῶν θνητῶν, καὶ τῆς Ὀρφικῆς θεομυθίας καὶ τῶν ἀτελῶν ἱστῶν ἐξηγητικὰς ἐννοίας παρεχόμενος. ὁ μὲν οὖν θεῖος ἀριθμὸς ὅρον οἰκεῖον ἔσχε καὶ πέρας καὶ ἔστι τέλος.*

1 aut *ἄχρ. καὶ ⟨κατὰ⟩ ταῦτα* aut *ἄχρ. κ. ταύτηι* cum Krollio scribi iubet Diehl. 2 *συνοφθεῖσαν* Holwerda 363.

Idem 23 d (I 134, 26 Diehl) *μᾶλλον δὲ ἔσχατον μὲν ὁ πέπλος, τὸ τῆς ὑφαντικῆς ἔργον, εἴδωλον φέρων τοῦ κοσμικοῦ πολέμου καὶ τῆς δημιουργικῆς ἀπὸ τῆς θεοῦ τάξεως τῆς εἰς τὸ πᾶν προϊούσης, ὃν ἡ θεὸς ὑφαίνει μετὰ τοῦ πατρός.* Vide etiam in Cratyl. 387 c, 22, 2 Pasqu. (fr. 178) *καὶ γὰρ αὐτὴ* (sc. *Κόρη*) *καὶ πᾶς αὐτῆς ὁ χορὸς ἄνω μενούσης ὑφαίνειν λέγονται τὸν διάκοσμον τῆς ζωῆς* et Syrian. in Aristot. Metaph. B 2 (26, 25 Kr.) fr. 180. Damasc. De princ. 339 (II 200, 14 Rue.; Add. 387) *πρὸς μὲν τοίνυν τὸ πρῶτον ἐροῦμεν ὅτι τῶν θεολόγων οἱ μὲν ἀπὸ τῆς θείας ὁρμώμενοι παραδόσεως 'ἀρχικὴν' καλοῦσι ταύτην τὴν διακόσμησιν, ὁ δὲ μέγας Ἰάμβλιχος 'ἡγεμονικὴν' αὐτὴν ἀνευφημεῖ . . . ἤδη δὲ οἱ νεώτεροι* (sc. *θεολόγοι*) *καὶ 'ἀφομοιωτικὴν' αὐτὴν* (sc. *τὴν διακόσμησιν*) *κεκλήκασιν, ἴσως μὲν ἀπὸ τῆς παρ' Ὀρφεῖ Κορικῆς ὑπερκοσμίου πεπλοποιΐας ὁρμηθέντες — ἐν ἧι τὰ μιμήματα τῶν νοερῶν εἰδῶν ἐνυφαίνεται —, σαφῶς δὲ καὶ ἀπὸ τῶν λογίων* v. etiam fr. 196.

Lob. I 380. 550; Kern De Theogon. 96; Diels *Sitz.-Ber. Akad. Berlin* 1897, 147; Marie Gothein *Archiv Religionsw.* IX 1906, 339; Eisler *Weltenmantel und Himmelszelt* I 117 n. 1.

Pherecyd. Syr. fr. 2 (Diels II³ 202, 23) *κἀπειδὴ τρίτη ἡμέρη γίγνεται τῶι γάμωι, τότε Ζὰς ποιεῖ φᾶρος μέγα τε καὶ καλὸν καὶ ἐν αὐτῶι ποικίλλει Γῆν καὶ Ὠγηνὸν καὶ τὰ Ὠγηνοῦ δώ-*

ματα . . . ἡ δέ μι⟨ν ἀμείβε⟩ται δεξαμ⟨ένη εὖ τὸ φᾶ⟩ρος . . . Cf. Bacchi-Solis *πέπλον φοινίκεον πυρὶ εἴκελον* infra s. *ΒΑΚΧΙΚΑ*.

193. (211) Tzetz. Exeges. in Iliad. 26, 18 Herm. (*Ὀρφέως·*)

ἱστὸν ἐποιχομένην ἀτελῆ πόνον ἀνθεμόεσσαν [1]

1 *ἀνθεμόεντα* forsitan recte Mullach et Herwerd. *Herm.* V 1871, 138 collato Il. Χ 440 *ἀλλ' ἥ γ' ἱστὸν ὕφαινε μυχῶι δόμου ὑψηλοῖο δίπλακα πορφυρέην, ἐν δὲ θρόνα ποικίλ' ἔπασσεν.*

Herm. p. 511 n. 33; Lob. I 550.

Versus compositus ex Il. *Α* 31 *ἱστὸν ἐποιχομένην* et *Δ* 26 (cf. 57) *πῶς ἐθέλεις ἅλιον θεῖναι πόνον ἠδ' ἀτέλεστον.* Ad *ἀτελῆ* cf. fr. 192.

194. (274) Procl. in Plat. Cratyl. 404 e p. 96, 13 Pasqu. *πολλὴ γάρ ἐστιν ἡ κοινωνία τῶν δύο τούτων σειρῶν, τῆς Κορικῆς λέγω καὶ τῆς Ἀπολλωνιακῆς· ἡ μὲν γὰρ ἑνάς ἐστιν τῆς μέσης τριάδος τῶν ἀρχῶν καὶ ζωιογονικὰς προβέβληται δυνάμεις ἀφ' ἑαυτῆς· ὁ δὲ τὰς ἡλιακὰς ἀρχὰς εἰς μίαν ἕνωσιν ἐπιστρέφει, κατέχων τὴν τρίπτερον ἀρχήν, ὡς τὸ λόγιόν φησι* (Kroll De orac. Chald. 36). *προσεχῆ δὲ τὴν ὑπόστασιν ἔλαχον αἱ ἡλιακαὶ ἀρχαὶ μετὰ τὰς ζωιογονικάς· διὸ καὶ παρ' Ὀρφεῖ ἡ Δημήτηρ ἐγχειρίζουσα τῆι Κόρηι τὴν βασιλείαν φησίν·*

αὐτὰρ Ἀπόλλωνος θαλερὸν λέχος εἰσαναβᾶσα
τέξεαι ἀγλαὰ τέκνα πυρὶ φλεγέθοντα [1] *προσώποις.*

τοῦτο δὲ πῶς ἂν γένοιτο μὴ πολλῆς οὔσης τῆς κοινωνίας τῶνδε τῶν θεῶν;

1 *πυρὶ φλεγέθοντα* ABF, *πυριφλεγέθοντα* P.

Ad hos versus explicandos affert R. Foerster (v. Abel p. 261 n. 1) Procl. in Plat. Tim. 40 b. c (III 140, 19 Diehl) *πάντων γὰρ τῶν ἐν οὐρανῶι θεῶν πρόοδοι γεγόνασιν εἰς τὴν γῆν καὶ ἀποπερατώσεις, καὶ ἔστιν ἐν αὐτῆι πάντα χθονίως, ὅσα ἐν οὐρανῶι οὐρανίως* [*εἰκότως*]·[1] *καὶ γὰρ ἡ νοερὰ γῆ πάσας ὑποδέχεται τὰς πατρικὰς τοῦ οὐρανοῦ δυνάμεις καὶ ἔχει πάντα γεννητικῶς. οὕτως οὖν καὶ Διόνυσον χθόνιον ἐροῦμεν καὶ Ἀπόλλωνα χθόνιον, ὃς καὶ ὕδατα μαντικὰ πολλαχοῦ τῆς γῆς ἀναδίδωσι καὶ στόμια προφητεύοντα τὸ μέλλον. ἄλλους δὲ τόπους αὐτῆς καθαρτικοὺς ἢ κριτικοὺς ἢ ἰατικοὺς*[2] *ἀποτελοῦσιν αἱ εἰς αὐτὴν καθήκουσαι παιώνιαι καὶ κριτικαὶ*[3] *δυνάμεις.*

1 *εἰκότως* del. Diehl. 2 *ἰατρικοὺς* D vulgo. 3 *κριτικαὶ* ⟨*καὶ καθαρτικαὶ*⟩ dubitanter Diehl. An *κλητικαὶ* et paulo supra *κλητικοὺς*? Hiller de Gaertringen.

Lob. I 544; Schuster 72 n. 4; Foerster *Raub u. Rückkehr der Persephone* 43 n. 2; Holwerda 367; Maaß *Orpheus* 187 n. 26.

Ad vs. 1 cf. Hesiod. Theogon. 939 *ἱερὸν λέχος εἰσαναβᾶσα*, ad vs. 2 Hymn. LXX 6 de Furiis Proserpinae filiabus *κυανόχρωτοι ἄνασσαι, ἀπαστράπτουσαι ἀπ' ὄσσων δεινὴν ἀνταυγῆ φάεος σαρκοφθόρον αἴγλην.*

195. (186. 210) Procl. in Plat. Cratyl. 402 d p. 85, 18 Pasqu. *ὅθεν καὶ ὁ θεολόγος τοὺς μὲν ἄκρους* (sc. Iovem et Plutonem) *μετὰ τῆς Κόρης φησὶ τά τε πρῶτα καὶ τὰ ἔσχατα δημιουργεῖν, τὸν δὲ μέσον* (sc. Neptunum) *καὶ ἄνευ ἐκείνης, ἀπὸ τοῦ σφετέρου κλήρου τὴν γεννητικὴν αἰτίαν συντάξαντα· διὸ καὶ φασὶν τὴν Κόρην ὑπὸ μὲν τοῦ Διὸς βιάζεσθαι, ὑπὸ δὲ τοῦ Πλούτωνος ἁρπάζεσθαι* (v. fr. 192). Procl. Theolog. Platon. VI 11 p. 371, 11 *καὶ γὰρ ἡ τῶν θεολόγων φήμη τῶν τὰς ἁγιωτάτας ἡμῖν ἐν Ἐλευσῖνι τελετὰς* (v. test. nr. 102 et fr. 23) *παραδεδωκότων ἄνω μὲν αὐτὴν* (sc. *τὴν Κόρην*) *ἐν τοῖς μητρὸς οἴκοις μένειν φησίν, οὓς ἡ μήτηρ αὐτῆι* (Platt *Journ. Philol.* Lond. XXVI 1899, 231; *αὕτη* ed. Porti) *κατεσκεύασεν ἐν ἀβάτοις ἐξῃρημένους τοῦ παντός, κάτω δὲ* (*κατὰ δὲ* cod. Gottorp.; em. Portus) *μετὰ Πλούτωνος τῶν χθονίων ἐπάρχειν καὶ τοὺς τῆς γῆς μυχοὺς ἐπιτροπεύειν καὶ ζωὴν ἐπορέγειν τοῖς ἐσχάτοις τοῦ παντὸς καὶ ψυχῆς μεταδιδόναι τοῖς παρ' ἑαυτῶν ἀψύχοις καὶ νεκροῖς. οὗ δὴ καὶ θαυμάσειε ἄν, ὅπως ἡ Κόρη Διὶ μὲν καὶ Πλούτωνι σύνεστι, τῶι μὲν — ὥς φασιν οἱ μῦθοι — βιασαμένωι, τῶι δὲ ἁρπάσαντι τὴν θεόν.*

Gruppe *Griech. Mythol.* II 1169 n. 7; 1523 n. 4; Poerner De Curetibus et Corybantibus 371.

Hymn. XXIX *Φερσεφόνης* vs. 14 *ἁρπαγιμαῖα λέχη μετοπωρινὰ νυμφευθεῖσα* v. fr. 196.

196. Procl. in Rempubl. II 62, 6 Kr. *τὴν δὲ μετοπωρινὴν* (sc. *τῶν ὡρῶν*) *Ἀφροδίτης· ἐν ταύτηι γὰρ ἡ καταβολὴ γίνεται τῶν σπερμάτων εἰς γῆν, τοῦτο δὲ Ἀφροδίτης ἔργον τὰ γόνιμα μιγνύναι καὶ εἰς κοινωνίαν ἄγειν τὴν τῆς γενέσεως αἰτίαν — καὶ διὰ ταῦτα ἄρα καὶ ὁ μῦθος τὴν Κόρην ἁρπασθῆναί φησιν ἐν τῆι ὥραι ταύτηι* (v. Hymn. XXIX 14 fr. 195), *τῆς ζωιογονίας*[1] *τῶν μερικῶν πάντων προϊσταμένην, προσθεὶς ὅτι*[2] *καὶ ἐν τῆι ἱστοποιίαι* (v. frr. 192. 193) *τὸν σκορπίον ὑφαίνουσα, τὸν τὰ μέσα τῆς ὥρας εἰληχότα ταύτης, ὑπομείνειεν*[3] *τὴν ἁρπαγήν.*

1 *τὴν* ante *τῆς ζωιογονίας* inser. Schoell. 2 *ὅτι* cod., *διότι* Usen. ex *δὲ* a manu tertia inserto. 3 *ὑπέμεινεν* '*m*³ *fort. recte*' Kr.

197. (218) Procl. in Plat. Cratyl. 406 b p. 106, 5 Pasqu. *ὅθεν δὴ καὶ ἡ Κόρη κατὰ μὲν τὴν Ἄρτεμιν τὴν ἐν ἑαυτῆι καὶ τὴν Ἀθηνᾶν παρθένος λέγεται μένειν, κατὰ δὲ τὴν τῆς Περσεφόνης γόνιμον δύναμιν καὶ προσιέναι καὶ συνάπτεσθαι τῶι τρίτωι δημιουργῶι καὶ τίκτειν, ὥς φησιν Ὀρφεύς·*

ἐννέα θυγατέρας γλαυκώπιδας ἀνθεσιουργούς·

ἐπεὶ ἥ γε Ἄρτεμις ἡ ἐν αὐτῆι καὶ ἡ Ἀθηνᾶ τὴν παρθενίαν ἀεὶ τὴν αὐτὴν διασώιζουσι . . . idem ad 404 d p. 95, 10 Pasqu. *διὸ καὶ Περσεφόνη καλεῖται μάλιστα τῶι Πλούτωνι συνοῦσα καὶ μετ' αὐτοῦ διακοσμοῦσα τὰ τελευταῖα τοῦ παντός, καὶ κατὰ μὲν τὰ ἄκρα παρθένος εἶναι λέγεται καὶ ἄχραντος μένειν, κατὰ δὲ τὸ μέσον ζεύγνυσθαι τῶι Ἅιδηι καὶ συναπογεννᾶν τὰς ἐν τοῖς ὑποχθονίοις Εὐμενίδας.*

Lob. I 544; Schuster 73 n. 4; Holwerda 329; Maaß *Orph.* 187 n. 26; Malten *Arch. Religionsw.* XII 1908, 422.

Hymn. LXIX 8 de Furiis *Ἀΐδεω* (*ἀΐδιοι* Platt *Journ. Philol.* Lond. XXVI 1899, 229) *χθόνιαι, φοβεραὶ κόραι, αἰολόμορφοι* et LXX 2. 3 de Eumenidibus *ἁγναὶ θυγατέρες μεγάλοιο Διὸς χθονίοιο Φερσεφόνης τ' ἐρατῆς κούρης καλλιπλοκάμοιο* v. etiam XXIX 6 de Proserpina *Εὐμενίδων γενέτειρα.*

198. (187) Procl. Theolog. Plat. VI 11 p. 370, *διττῆς δὲ οὔσης τῆς Κορικῆς τάξεως, καὶ τῆς μὲν ὑπὲρ* | [371] *τὸν κόσμον προφαινομένης, ὅθι* (*ὅτε* cod. Gotorp.; em. Port.) *δὴ καὶ συντάττεται τῶι Διΐ, καὶ μετ' ἐκείνου τὸν ἕνα δημιουργὸν ὑφίστησι τῶν μεριστῶν* (sc. *Διόνυσον*), *τῆς δὲ ἐν τῶι κόσμωι δευτέρας, ἣ δὴ* (*οὐ δὴ* cod. G.) *καὶ ὑπὸ τοῦ Πλούτω⟨νος⟩ ἁρπάζεσθαι λέγεται, καὶ ψυχοῦν τὰ ἔσχατα τοῦ παντός, ὧν ὁ Πλούτων ἐπετρόπευεν, ἀμφοτέρας ὁ Πλάτων ἡμῖν τελέως ἐξέφηνε, τοτὲ μὲν τῆι Δήμητρι τὴν Κόρην συνάπτων, τοτὲ δὲ τῶι Πλούτωνι καὶ σύζυγον αὐτὴν ἀποφαίνων τοῦδε τοῦ θεοῦ.*

Lob. I 549.

199. (207) Procl. in Plat. Tim. 34 b (II 105, 28 Diehl) *ὁ δέ γε ἡμέτερος καθηγεμὼν* (sc. Iamblichus) *προσφυέστερον τοῖς τοῦ Πλάτωνος ῥήμασιν ἐποιεῖτο τὴν ἐξήγησιν· τῆς γὰρ τοῦ παντὸς ψυχῆς ἐχούσης μέν τι καὶ ὑπερκόσμιον καὶ ἐξηιρημένον τοῦ παντός, καθὸ συνῆπται πρὸς τὸν νοῦν, ὃ δὴ κεφαλὴν αὐτῆς ὅ τε Πλάτων ἐν τῷ Φαίδρωι* (248 a) | [106 Diehl] *καὶ ὁ Ὀ. ἐν τοῖς περὶ τῆς Ἵπτας* (PQ] *Ἵππας* vulgo) *λόγοις* (v. p. 141) *προσωνόμασεν . . .* Procl. in Plat. Tim. 30 b (I 407, 22 Diehl) *ὁ δὲ*

Ὀ. τρόπον ἕτερον· ἀλλ' εἴ με δεῖ τοὐμὸν εἰπεῖν, διὰ τούτων καὶ ἡ τοῦ θεολόγου διάνοια γίγνεται καταφανής. ἡ μὲν γὰρ Ἵπτα[1] τοῦ παντὸς οὖσα ψυχὴ καὶ οὕτω κεκλημένη παρὰ τῶι θεολόγωι τάχα μὲν ὅτι καὶ ἐν ἀκμαιοτάταις κινήσεσιν αἱ νοήσεις αὐτῆς οὐσίωνται, τάχα δὲ καὶ διὰ τὴν ὀξυτάτην τοῦ παντὸς φοράν, ἧς ἐστιν αἰτία, λίκνον[2] ἐπὶ τῆς κεφαλῆς θεμένη (cf. in Tim. 35 b [II 198, 9 Diehl] ἐπὶ τῆς κεφαλῆς φέρουσαν τὸν θεόν et II 222, 20 τὴν ἑαυτῆς κεφαλὴν ἐνιδρύσασα) καὶ δράκοντι αὐτὸ περιστέψασα[3] τὸν κραδιαῖον[4] ὑποδέχεται Διόνυσον· τῶι γὰρ ἑαυ | 408 Diehl τῆς θειοτάτωι γίγνεται τῆς νοερᾶς οὐσίας ὑποδοχὴ καὶ δέχεται τὸν ἐγκόσμιον νοῦν. ὃ δὲ ἀπὸ τοῦ μηροῦ τοῦ Διὸς πρόεισιν εἰς αὐτήν — ἦν γὰρ ἐκεῖ συνηνωμένος — καὶ προελθὼν καὶ μεθεκτὸς αὐτῆς γεγονὼς ἐπὶ τὸ νοητὸν αὐτὴν ἀνάγει καὶ τὴν ἑαυτοῦ[5] πηγήν· ἐπείγεται γὰρ πρὸς τὴν μητέρα τῶν θεῶν καὶ τὴν Ἴδην (cf. fr. 105), ἀφ' ἧς πᾶσα[6] τῶν ψυχῶν ἡ σειρά. διὸ καὶ συλλαμβάνειν ἡ Ἵπτα[7] λέγεται τίκτοντι τῶι Διί· ὡς γὰρ εἴρηται πρότερον (30 b), νοῦν ἄνευ ψυχῆς ἀδύνατον παραγενέσθαι τωι, τοῦτο δὲ ὅμοιον τῶι παρ' Ὀρφεῖ·

γλυκερὸν δὲ[8] τέκος Διὸς ἐξεκαλεῖτο,

τοῦτο δὲ ἦν ὁ κοσμικὸς νοῦς Δίϊος ὤν, κατὰ τὸν ἐν τῶι Διὶ μείναντα προελθών.

1 ἶπτα MP; Ἵππα vulg. 2 λίκιον M; λύκιον N. 3 περιστρέψασα MP. 4 τὸ κραδιαῖον vulgo, quod Gesner *e ficulneis foliis plexum* vertit; τὸ κράδιον coni. Lob. *craticulam sive vannum qua recens nati excipiebantur* interpretatus cf. Procl. hymn. I 6 de Sole κόσμου κραδιαῖον ἔχων ἐριφεγγέα κύκλον. τὸ ποδιαῖον N. 5 ἑαυτοῦ Lob.] ἑαυτῆς codd. 6 πᾶσα vulgo; παρὰ MNP. 7 ἶπτα M. 8 δὲ post γλυκερὸν om. C.

Herm. XXIV. XLIII; Lob. I 582; Luebbert De Pindaro theologiae Orphicae censore Index Bonnens. 1888/1889 p. XX; Holwerda 364; Kern *Genethliakon für Robert* 90.

Hymn. XLVIII Σαβαζίου (Quandt De Baccho ab Alexandri aetate in Asia minore culto. Diss. Hal. XXI 1912, 257)·

κλῦθι, πάτερ, Κρόνου υἱέ, Σαβάζιε, κύδιμε δαῖμον,
ὃς Βάκχον Διόνυσον, ἐρίβρομον, εἰραφιώτην
μηρῶι ἐγκατέραψας, ὅπως τετελεσμένος ἔλθηι[1]
Τμῶλον ἐς ἠγάθεον παρά θ' Ἵπταν[2] καλλιπάρηιον.
ἀλλά, μάκαρ, Φρυγίης μεδέων, βασιλεύτατε πάντων,
εὐμενέων ἐπαρωγὸς ἐπέλθοις μυστιπόλοισιν.

1 *ἔλθῃ* Laur. 32, 45 et cett. codd.; *ἔλθοι* Herm. 2 *παρ' ἴπτ*[σ] *καλλϊπάρηον* Laur. 32, 45 cf. Kern *Herm.* XLIX 1914, 480; *παρ' ἵππαν* cett. codd.; *παρά θ' Ἵππαν* Herm.

Hymn. XLIX *Ἵπτας*[1] (Quandt 258)

Ἵπταν[2] *κικλήσκω, Βάκχου τροφόν, εὐάδα κούρην,*
μυστιπόλον, τελεταῖσιν[3] *ἀγαλλομένην Σάβου ἁγνοῦ*
νυκτερίοις τε[4] *χοροῖσιν ἐριβρεμέταο Ἰάκχου.*[5]
κλῦθί μου εὐχομένου, χθονία μήτηρ,[6] *βασίλεια,*
εἴτε σύ γ' ἐν Φρυγίηι κατέχεις Ἴδης ὄρος ἁγνὸν
ἢ Τμῶλος τέρπει σε, καλὸν Λυδοῖσι θόασμα·
ἔρχεο πρὸς τελετὰς ἱερῶι γήθουσα προσώπωι.

1 *Ἵπτας* Laur. 32, 45 v. supra ad XLVIII vs. 4; *ἵππας* vulgo. 2 *ἵππαν* vulgo. 3 *τελετῇσιν* Herm. 4 *νυκτερίοισι* codd., Herm.; corr. Schenkl. 5 *χοροῖσι πυριβρεμέτοις ἰάχοισι* codd.; corr. Herm. 6 *μῆτερ* Abel.

Nutricis Bacchi nomen genuinum restituit Ios. Keil e duobus titulis dedicatoriis in Matrem Hiptam in Maeonia repertis *Eranos zur Grazer Philologenversammlung* 1909, 102 (Keil et de Premerstein *Denkschr. Akad. Wien Phil.-hist. Kl.* LIV 1911, 85 n. 169) *Με⟨λ⟩τίνη Μητρᾶ Μητρὶ Ἵπτᾳ εὐχήν* et 96 n. 188 *Μητρὶ Ἵπτᾳ καὶ Διεὶ Σα⟨βαζίῳ⟩*); v. Kern *Genethl.* 90.

200. (184) Procl. in Plat. Rempubl. I 18, 12 Kr. *οὕτω καὶ τοῦ Θρᾳκὸς θεολόγου μετὰ τῶν πολλῶν τῆς Σελήνης ὀνομάτων καὶ τὴν Βενδῖν εἰς τὴν θεὸν ἀναπέμψαντος·*

Πλουτώνη τε καὶ Εὐφροσύνη Βενδῖς τε κραταιά.[1]

1 *κραταιή* Lob.

Lob. I 545; Usener *Goetternam.* 36.
Εὐφροσύνη v. etiam fr. 181.

201. Damasc. De princ. 352 (II 214, 4 Rue.) *αὐτίκα πρὸς τὸ πρῶτον ἔχωμεν καὶ παρὰ τοῖς θεολόγοις, ὅτι εἰσὶν θεοὶ ἐν ὑπερτέραι μὲν τάξει τὴν λῆξιν ἱδρυσάμενοι, τοῦ δὲ ἑξῆς διακόσμου προϊστάμενοι κατ' ἰδιότητα· οἷον ὁ Ἄττις ἐν τῆι σεληναίαι καθήμενος λήξει δημιουργεῖ τὸ γενητόν. οὕτως ἔχοντα καὶ τὸν Ἄδωνιν εὑρίσκομεν ἐν ἀπορρήτοις, οὕτω πολλοὺς θεοὺς παρ' Ὀρφεῖ τε καὶ τοῖς θεουργοῖς.*

Εὐχὴ πρὸς Μουσαῖον 40

Μητέρα τ' ἀθανάτων, Ἄττιν καὶ Μῆνα κικλήσκω
Οὐρανίαν τε θεάν, σὺν δ' ἄμβροτον ἁγνὸν Ἄδωνιν.

Cf. Hymn. ap. Hippolyt. Ref. omn. haeres. V 9, 8 p. 99, 12 Wendl. (Wilamowitz *Herm.* XXXVII 1902, 329; *Griech. Verskunst* 371)

χαῖρε ⟨ὦ⟩ τὸ κατ-
ηφὲς ἄκουσμα[1] *Ῥέας Ἄττι· σὲ κα-*
λοῦσι μὲν Ἀσσύριοι τριπόθητον Ἄ-
δωνιν, ὅλη[2] *δ' Αἴγυπτος Ὄσιριν, ἐπ-*
ουράνιον μηνὸς κέρας Ἑλλη-
νὶς[3] *σοφία κτλ.*

1 *ἄκρισμα* Herm. Opusc. VIII 374. 2 *καλεῖ* Roeper. 3 *Ἑλληνὶς σ.* i. e. Orpheus (Reitzenstein *Poimandres* 100 n. 3) Diels; *Ἕλληνος σ.* Wilamowitz, *ἕλληνες σοφίαν* P.

202. (272) Procl. in Plat. Tim. 33 a (II 63, 29 Diehl) *διὸ καὶ οἱ θεολόγοι τὴν μὲν εἰς Ἀσκληπιὸν ἀναφέρουσιν ὑγείαν, τὴν ἰατικὴν*[1] *πᾶσαν τοῦ*[2] *παρὰ φύσιν εἴτε ἀεὶ τὸ παρὰ φύσιν ἀναστέλλουσαν εἴτε ποτέ, τὴν δὲ πρὸ*[3] *Ἀσκληπιοῦ γεννῶσι τῆι δημιουργίαι συνυφεστῶσαν* | [64 Diehl] *τῶν πραγμάτων, ἣν παράγουσιν ἀπὸ Πειθοῦς καὶ Ἔρωτος, διότι τὸ πᾶν ἐκ νοῦ καὶ ἀνάγκης ἐστίν . . .*

1 *ἰατρικὴν* Q. 2 *τοῦ* MP, *τὴν* Q. 3 *πρὸς* M.

Lob. I 593 n. III; Holwerda 304.

203. (163) Olympiodor. in Plat. Phileb. 39 a ed. Stallb. 267 *ὅτι εἰσὶ μνῆμαι τοσαίδε· πρώτη μὲν ἡ κατὰ αἴσθησιν· τηρεῖ γάρ πως καὶ ἡ αἴσθησις· δευτέρα δὲ ἡ κατὰ φαντασίαν. τρίτη ἡ κατὰ δόξαν· εἶτα ἡ κατὰ διάνοιαν·* | [268 Stallb.] *εἶτα ἡ κατὰ νοῦν ἐν τοῖς νοεροῖς ἐν τοῖς θείοις· εἶτα ἡ θεὸς αὐτή, ἀφ' ἧς πᾶσα ἡ ἰδιότης ἐπιγίγνεται· εἴτε ἡ παρὰ τῶι Ὀρφεῖ Μνημώ,*[1] (cf. fr. 114 vs. 4) *εἴτε καὶ ἄλλη τις οὖσα τυγχάνει.*

1 *Μνημώ* ex cod. Hermanni, *μνήμη* Stallb.

Herm. 510 n. 27; Lob. I 733; Kern *Arch. Gesch. Philos.* II 1889, 393; Stoll et Tuempel ap. Rosch. II 3075.

204. (277. 309) Simplic. in Aristotel. Phys. II 4 p. 196 b 5 (I 333, 15 Diels) *ἐν Δελφοῖς δὲ καὶ προκατῆρχεν ἐν ταῖς ἐρωτήσεσιν 'ὦ Τύχη καὶ Λοξία, τῶιδέ τινι θεμιστεύεις'; καὶ παρ' Ὀρφεῖ δὲ μνήμης τετύχηκεν* (sc. *ἡ Τύχη*). Cf. Ioa. Diacon. ad Hesiod. Theog. 411 (Flach p. 330) *εὑρίσκω δὲ τὸν αὐτὸν Ὀρφέα καὶ τὴν Τύχην Ἄρτεμιν προσαγορεύοντα, ἀλλὰ καὶ τὴν Σελήνην Ἑκάτην* (sequitur Hymn. I vs. 1) *καὶ μυρία παρ' Ὀρφεῖ τὰ μεταληπτικῶς ἔχοντα τῶν ὀνομάτων εὑρήσεις.*

Lob. I 595.

Νῖκαι ἠδὲ Τύχαι in lamella aurea fr. 47 vs. 3. 4; Hymn. in Fortunam LXXII cf. Dieterich *Nekyia*² X et 87 n. 4; Diels *Festschr. Th. Gomperz* 1902, 13.

205. (191. 206) Procl. Tim. 41 d (III 241, 5 Diehl) *τελευτᾶι δὴ καλῶς ἡ δημιουργία τῶν νέων θεῶν κατὰ τὴν τοῦ πατρὸς βούλησιν εἰς τὴν παλιγγενεσίαν . . . . . . ἐν τοῖς νέοις ἄρα θεοῖς καὶ τὴν ἐξ ἀρχῆς δημιουργίαν τῶν θνητῶν καὶ τὴν τῆς παλιγγενεσίας αἰτίαν ὁ δημιουργὸς ἐνέθηκεν, ὥσπερ ἁπάντων τῶν ἐγκοσμίων ἐν τῆι μονάδι τῶν νέων θεῶν, ἣν καὶ αὐτὴν νέον θεὸν προσηγόρευσεν Ὀ. ὁρᾶις οὖν, ὅπως καὶ ἑνοποιοὺς αὐτοῖς καὶ ⟨ἐκ⟩θεωτικὰς δυνάμεις ἐνδέδωκε θεοὺς θεῶν ἀποκαλέσας, καὶ συνεκτικὰς καὶ μονίμους διὰ τῆς τοῦ λυτοῦ καὶ ἀλύτου μεσότητος καὶ γνωστικὰς διὰ τῆς μαθήσεως καὶ τελειωτικὰς διὰ τοῦ τελειοῦν τὸν κόσμον ταῖς προσθήκαις τῶν θνητῶν καὶ δημιουργικὰς διὰ τῆς δημιουργικῆς ⟨καὶ⟩ κινητικὰς καὶ ἀφομοιωτικὰς διὰ τῆς μιμήσεως τοῦ πατρός, καὶ πάλιν, εἰ βούλει λέγειν, Ἡφαιστιακὰς μὲν διὰ τῆς κατὰ φύσιν ἐνεργείας, Ἀθηναϊκὰς δὲ διὰ τῆς τοῦ προσυφαίνειν τῶι ἀθανάτωι τὸ θνητὸν παρακελεύσεως, Δημητριακὰς δὲ καὶ Κορικὰς διὰ τοῦ γεννᾶν καὶ τρέφειν, Τιτανικὰς δὲ διὰ τοῦ θνητὰ καὶ ἐπίκηρα παράγειν, Διονυσιακὰς δὲ διὰ τῆς παλιγγενεσίας· ἃ γὰρ γεννῶσι, φθίνοντα δέχονται πάλιν εἰς τὰς ὁλότητας αὐτῶν ἀναπέμποντες καὶ ἕκαστα τοῖς οἰκείοις διανέμοντες καὶ ἐκ τούτων ἄλλα πάλιν λαμβάνοντες καὶ συντιθέντες εἰς ἄλλον γενέσεις· πάντα γὰρ* | 242 Diehl *αὐτοῖς ὑπόκειται τὰ στοιχεῖα πρὸς τὰς γεννήσεις τῶν θνητῶν ζώιων καὶ τὸν κύκλον ἀεὶ πληροῦσιν ἀπαύστως τῶν γενέσεων καὶ φθίσεων. δέχονται οὖν φθίνοντα, ὅσα ἔδοσαν γιγνομένοις καὶ προστιθέασι τοῖς ὅλοις ὅσα ἀφαιροῦσι τῶν ὅλων, καὶ τοῦτο ἀπέραντον ἔχει τὴν ἀμοιβὴν διὰ τὴν ἀεικινησίαν τῶν δημιουργούντων τὰ θνητὰ θεῶν πάντων, οἷς ἐπέτρεψε τὴν δημιουργίαν ὁ πατήρ.*

206. (188) Clem. Alex. Strom. VI 2, 26, 1 (II 442, 8 Staeh.) *εὕροις δ' ἂν καὶ Ὅμηρον τὸν μέγαν ποιητὴν ἐκεῖνα τὰ ἔπη* (Il. *P* 53)·

οἷον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης

καὶ τὰ ἑξῆς κατὰ λέξιν μετενηνοχότα παρ' Ὀρφέως ἐκ τοῦ Διονύσου ἀφανισμοῦ. ἔν τε τῆι Θεογονίαι ἐπὶ τοῦ Κρόνου fr. 149.

Herm. XVIII p. 478; Lob. I 554; Schuster 49; Gruppe *Griech. Culte u. Mythen* 637; Susemihl Ind. XI; Stemplinger *Plagiat in der griech. Lit.* 67.

Versus Homerici qui *P* 53 sequuntur: *χώρωι ἐν οἰοπόλωι, ὅθ' ἅλις ἀναβέβροχεν ὕδωρ, καλὸν τηλεθάον· τὸ δέ τε πνοιαὶ δονέουσιν παντοίων ἀνέμων, καί τε βρύει ἄνθεϊ λευκῶι.*

207. (191) Procl. in Plat. Tim. 42 d (III 310, 30 Diehl) *τὸν γὰρ Διόνυσον οἱ θεολόγοι ταύτηι τῆι προσηγορίαι κεκλήκασιν, ὃ δέ ἐστι πάσης τῆς δευτέρας δημιουργίας μονάς· ὁ γὰρ Ζεὺς βασιλέα* (fr. 208) *τίθησι αὐτὸν* | [311 Diehl] *ἁπάντων τῶν ἐγκοσμίων θεῶν καὶ πρωτίστας αὐτῶι νέμει τιμάς·*

καίπερ ἐόντι νέωι καὶ νηπίωι εἰλαπιναστῆι.

διὰ δὴ τοῦτο καὶ τὸν Ἥλιον νέον θεὸν (v. fr. 205) *εἰώθασι καλεῖν — καὶ 'νέος ἐφ' ἡμέρηι ἥλιος', φησὶν Ἡράκλειτος* (Diels I³ 78 fr. 6) —, *ὡς Διονυσιακῆς μετέχοντα δυνάμεως.* Idem in Parmenid. 127 b p. 686, 36 Cous.[2] *καὶ γὰρ αὐτὸν τὸν Δία καὶ τὸν Διόνυσον παῖδας καὶ νέους ἡ θεολογία καλεῖ· καίπερ ὄντε νέω φησὶν ὁ Ὀρ*|[687 Cous.]*φεύς· καὶ ὅλως τὸ νοερὸν παρὰ τὸ νοητὸν καὶ παρὰ τὸ πατρικὸν παραβάλλοντες οὕτω καλοῦσιν.* De Procli fraude v. Kern *Orpheus* 56 n. 3.

Lob. I 553.

Cf. de Baccho ap. Ioann. Diacon. ad Hesiod. Theogon. 943 (v. infra s. *ΚΡΑΤΗΡ Ο ΜΙΚΡΟΤΕΡΟΣ*) *ταυρογενὴς Διόνυσος ἐυφροσύνην πόρε θνητοῖς ἡδίστην πάσηισί τ' ἐπ' εἰλαπίνηισι πάρεστι.*

208. (190) Procl. in Plat. Cratyl. 396 b p. 55, 5 Pasqu. *καὶ ὁ Διόνυσος* ⟨*ὁ* add. Kroll⟩ *τελευταῖος θεῶν βασιλεὺς παρὰ τοῦ Διός· ὁ γὰρ πατὴρ ἱδρύει τε αὐτὸν ἐν τῶι βασιλείωι θρόνωι καὶ ἐγχειρίζει τὸ σκῆπτρον καὶ βασιλέα ποιεῖ τῶν ἐγκοσμίων ἁπάντων θεῶν·*

κλῦτε, θεοί· τόνδ' ὕμμιν ἐγὼ βασιλῆα τίθημι[1]

λέγει πρὸς τοὺς νέους θεοὺς (v. frr. 205. 207) *ὁ Ζεύς.* Olympiodor. Phaedon. *B δ'* p. 85, 9 Norv. *ὅτι τὰ μὲν περὶ μονάδος καὶ τριάδος ἀληθῶς εἴρηται, Τιτᾶνας δὲ τῶι Διονύσωι ἐπιβουλεύοντας ἄλλης εἶναι φήσομεν ἰδιότητος· οὐδεὶς γὰρ ἀριθμὸς ἐναντιοῦται τῆι οἰκείαι μονάδι οὐδὲ ἀναιρεῖ αὐτήν, ἢ οὕτω γε καὶ ἑαυτόν. ἀλλὰ καὶ ὁ Ζεὺς οὐ πρὸς τοὺς Τιτᾶνας λέγει, ἀλλὰ πρὸς τοὺς ἄλλους θεούς· κλῦτε — — βασιλῆα δίδωμι. ἐπεὶ καὶ ὁ Διόνυσος*

ἐν μὲν τῶι θρόνωι τοῦ Διὸς ἀμέριστος . . . . :
εἰς τοὺς Τιτᾶνας μερι . . . . ραχῶς μεταμορφοῦται.[2]

1 *δίδωμι* Olympiodor. 2 Textum lacunosum Norvinii editionem secutus dedi.

Lob. I 552.

209. (195) Plotin. Ennead. IV 3 (II 24, 14 Volkm.) *ἀνθρώπων δὲ ψυχαὶ εἴδωλα αὐτῶν ἰδοῦσαι οἷον Διονύσου ἐν κατόπτρωι ἐκεῖ ἐγένοντο ἄνωθεν ὁρμηθεῖσαι, οὐκ ἀποτμηθεῖσαι οὐδ' αὗται τῆς ἑαυτῶν ἀρχῆς τε καὶ νοῦ.* Olympiodor. Phaedon. *B ρκη'* p. 111, 14 Norv. *ὅτι τὰ ὅμοια μυθεύεται καὶ ἐν τῶι παραδείγματι. ὁ γὰρ Διόνυσος, ὅτε τὸ εἴδωλον ἐνέθηκε τῶι ἐσόπτρωι, τούτωι ἐφέσπετο, καὶ οὕτως εἰς τὸ πᾶν ἐμερίσθη. ὁ δὲ Ἀπόλλων συναγείρει τε αὐτὸν καὶ ἀνάγει καθαρτικὸς ὢν θεὸς καὶ τοῦ Διονύσου σωτὴρ ὡς ἀληθῶς, καὶ διὰ τοῦτο Διονυσοδότης* (v. Pausan. I 31, 4 de sacris Phlyensibus O. Jessen *RE*[2] V 1007) *ἀνυμνεῖται* (v. fr. 211); Procl. in Plat. Tim. 23 d. e (I 142, 24 Diehl) *ὅτι δὲ τῶν αἰσθητῶν δημιουργός, ἀλλ' οὐ τῶν ψυχικῶν ἢ τῶν νοερῶν ἔργων, καὶ τοῦτο οἱ αὐτοὶ* (sc. *θεολόγοι*) *δηλοῦσιν· ἡ γὰρ τοῦ ἐσόπτρου κατασκευὴ καὶ ἡ χαλκεία* (fr. 180) *καὶ ἡ χωλεία καὶ πάντα τὰ τοιαῦτα σύμβολα τῆς περὶ τὸ αἰσθητὸν αὐτοῦ ποιήσεώς ἐστι. καὶ μὴν καὶ ὅτι πάντων τῶν αἰσθητῶν ἐστι ποιητής, ἐκ τῶν αὐτῶν φανερόν, οἵ φασιν αὐτὸν ἄνωθεν ἀπὸ τοῦ Ὀλύμπου φέρεσθαι μέχρι γῆς, καὶ οἳ τὰς ὑποδοχὰς* | [143 Diehl] *πάσας τῶν ἐγκοσμίων θεῶν Ἡφαιστοτεύκτους ποιοῦσιν,* ibidem 33 b (II 80, 19 Diehl) *πάλαι δὲ καὶ τοῖς θεολόγοις τὸ ἔσοπτρον ἐπιτηδειότητος παρείληπται σύμβολον πρὸς τὴν νοερὰν ἀποπλήρωσιν τοῦ παντός· διὸ καὶ τὸν Ἥφαιστον ἔσοπτρόν φασι ποιῆσαι τῶι Διονύσωι, εἰς ὃ ἐμβλέψας ὁ θεὸς καὶ εἴδωλον ἑαυτοῦ θεασάμενος προῆλθεν εἰς ὅλην τὴν μεριστὴν δημιουργίαν,* 29 a. b (I 336, 29 Diehl) *καθάπερ οὖν Ὀ. εἴδωλα πλάττει τοῦ Διονύσου τὰ τὴν γένεσιν ἐπιτροπεύοντα καὶ τὸ εἶδος* | [337 Diehl] *ὅλον ὑποδεξάμενα τοῦ παραδείγματος, οὕτως καὶ ὁ φιλόσοφος* (sc. *Πλάτων*) *εἰκόνα τὸν κόσμον τοῦ νοητοῦ προσεῖπεν, ὡς ἐοικότα τῶι σφετέρωι παραδείγματι,* in Rempubl. I 94, 5 Kr. *ὥσπερ δὴ καὶ Ὀ. τοῖς Διονυσιακοῖς εἰδώλοις τὰς συνθέσεις καὶ τὰς διαιρέσεις καὶ τοὺς θρήνους προσῆψεν ἀπὸ τῶν προνοουμένων ἅπαντα ταῦτα ἐκείνοις ἀναθείς.* Ad *θρήνους* cf. eundem ibidem I 125, 20 Kr. *ἐπεὶ καὶ Κόρης καὶ Δήμητρος καὶ αὐτῆς τῆς μεγίστης θεᾶς* (an *Νυκτός?*)

ἱερούς τινας ἐν ἀπορρήτοις θρήνους αἱ τελεταὶ παραδεδώκασιν. *ἔσοπτρος* iam in libello rituali fr. 31 vs. 30 v. etiam fr. 34. Cf. etiam *δίοπτραι* Kroll De or. chald. 23.

Lob. I 555; Rohde *Psyche* II[6] 117 n. 1; 415 (de loco Plotini); J. Kroll *Lehren d. Herm. Trismeg.* 116.

Nonnus Dionys. VI 169 (v. fr. 210 p. 231)

οὐδὲ Διὸς θρόνον εἶχεν ἐπὶ χρόνον· ἀλλά ἑ γύψωι
κερδαλέηι χρισθέντες ἐπίκλοπα κύκλα προσώπου
δαίμονος ἀστόργοιο χόλωι βαρυμήνιος Ἥρης
Ταρταρίηι Τιτῆνες ἐδηλήσαντο μαχαίρηι
ἀντιτύπωι νόθον εἶδος ὀπιπεύοντα κατόπτρωι.

210. (198. 199) Procl. in Plat. Tim. 35 a (II 145, 18 Diehl) *ἀλλὰ τὰ μὲν ἄλλα δημιουργήματα αὐτοῦ πάντα μεμερίσθαι φησὶν* (sc. *Ὀ.*) *ὑπὸ τῶν διαιρετικῶν θεῶν, μόνην δὲ τὴν καρδίαν ἀμέριστον εἶναι προνοίαι τῆς Ἀθηνᾶς· ἐπειδὴ γὰρ ὑφίστησι μὲν καὶ νοῦς καὶ ψυχὰς καὶ σώματα, ἀλλὰ ψυχαὶ μὲν καὶ σώματα δέχονται πολλὴν τὴν πρὸς ἑαυτὰ διαίρεσιν καὶ τὸν μερισμόν, νοῦς δὲ ἡνωμένος μένει καὶ ἀδιαίρετος ἐν ἑνὶ τὰ πάντα ὢν καὶ μιᾶι νοήσει τὰ ὅλα*[1] *τὰ νοητὰ περιέχων, μόνην τὴν νοερὰν οὐσίαν καὶ τὸν νοερὸν ἀριθμὸν ἀπολελεῖφθαί φησιν ὑπὸ τῆς Ἀθηνᾶς σεσωσμένον·*

a *μούνην*[2] *γὰρ κραδίην νοερὴν λίπον,*[3]

φησίν, ἄντικρυς νοερὰν αὐτὴν προσαγορεύων. εἰ τοίνυν ἡ | [146 Diehl] *ἀμέριστος καρδία νοερά ἐστι, νοῦς ἂν εἴη δηλαδὴ καὶ νοερὸς ἀριθμός, οὐ μέντοι πᾶς νοῦς, ἀλλ' ὁ ἐγκόσμιος· οὗτος γάρ ἐστιν ἡ καρδία ἡ ἀμέριστος, ἐπειδὴ καὶ τούτου δημιουργὸς ἦν ὁ μεριζόμενος θεός. τὸν μὲν δὴ νοῦν ἀμέριστον οὐσίαν τοῦ Διονύσου καλεῖ, τὸ δὲ γόνιμον αὐτοῦ τὴν μεριστὴν αὐτὴν*[4] *περὶ τὸ σῶμα ζωὴν φυσικὴν οὖσαν καὶ σπερμάτων οἰστικήν, ἣν καὶ τὴν Ἄρτεμιν* (v. fr. 188) *φησι τὴν πάσης προεστῶσαν τῆς ἐν τῆι φύσει γεννήσεως καὶ μαιευομένην τοὺς φυσικοὺς λόγους ἄνωθεν διατείνειν ἄχρι τῶν ὑποχθονίων, δυναμοῦσαν αὐτῆς τὴν γόνιμον δύναμιν, τὸ δὲ λοιπὸν τοῦ θεοῦ σῶμα πᾶν τὴν ψυχικὴν σύστασιν, εἰς ἑπτὰ καὶ τοῦτο διῃρημένον·*

b *ἑπτὰ δὲ πάντα μέλη κούρου διεμοιρήσαντο,*

φησὶν ὁ θεολόγος περὶ τῶν Τιτάνων, καθάπερ καὶ ὁ Τίμαιος εἰς ἑπτὰ διαιρεῖ μοίρας αὐτήν. καὶ τάχα ἂν τὸ διὰ παντὸς τοῦ κόσμου τεταμένην εἶναι τὴν ψυχὴν τοῦ Τιτανικοῦ μερισμοῦ τοὺς Ὀρφικοὺς ἀναμιμνήσκοι, δι' ὃν οὐ μόνον ἡ ψυχὴ περι-

καλύπτει τὸ πᾶν, ἀλλὰ καὶ τέταται δι' αὐτοῦ παντός. εἰκότως δὴ οὖν καὶ ὁ Πλάτων ἀμέριστον οὐσίαν ἀπεκάλεσε τὴν προσεχῶς ὑπὲρ ψυχὴν καὶ ὡς συντόμως εἰπεῖν τὸν μεθεκτὸν ἀπὸ ψυχῆς νοῦν, τοῖς Ὀρφικοῖς ἑπόμενος μύθοις καὶ οἷον ἐξηγητὴς τῶν ἐν ἀπορρήτοις λεγομένων εἶναι βουλόμενος.

1 τὰ ὅλα MQ; πάντα P. 2 μόνην Q. 3 λίπον Lob.; λεῖπον codd. 4 αὐτοῦ dubitanter Kroll; αἰτίαν Holwerda.

Idem in 35 b (II 197, 24 Diehl) *καὶ γὰρ ὁ ἀριθμὸς κοινός ἐστιν ἀμφοτέροις ἡ ἑβδομάς, ἐπεὶ καὶ τὸν Διόνυσον οἱ θεολόγοι μεριζόμενον εἰς ἑπτὰ μερισθῆναι λέγουσιν· ἑπτὰ . . . διεμοιρήσαντο καὶ τῶι Ἀπόλλωνι τὴν ἑπτάδα ἀνεῖσαν, ὡς συνέχοντι πάσας τὰς συμφωνίας· ἐν γὰρ μονάδι καὶ δυάδι καὶ τετράδι πρῶτον τὸ δὶς διὰ πασῶν, ἐξ ὧν ἡ ἑβδομάς,* in Parmenid. 130 b p. 808, 25 Cous.[2] *διὸ καὶ οἱ θεολόγοι τὸν μὲν νοῦν ἐν τοῖς σπαραγμοῖς τοῖς Διονυσιακοῖς ἀμέριστον προνοίαι τῆς Ἀθηνᾶς σώιζεσθαι λέγουσι, τὴν δὲ ψυχὴν μερίζεσθαι πρώτως, καὶ ἡ εἰς ἑπτὰ γοῦν τομὴ ταύτης ἐστὶ πρώτης· οἰκεῖον οὖν αὐτῆι καὶ τὸ εἶδος τῆς διαιρετικῆς καὶ τὸ θεωρεῖν μεταβατικῶς,* in Cratyl. 406 b. c p. 109, 19 *καὶ ἐν τῆι διασπαράξει τῶν Τιτάνων μόνη ἡ καρδία ἀδιαίρετος μεῖναι λέγεται, τουτέστιν ἡ ἀμερὴς* (Boiss.] *ἀμερὶς* codd., *ἀμέρισ⟨τος⟩* dubitanter Pasqu.) *τοῦ νοῦ οὐσία,* in I. Alcibiad. 344, 31 Cous.[2] *ἀνάγκη τοίνυν κατὰ τὴν τῶν ἄκρων ἀναλογίαν καὶ τὸν Ἀλκιβιάδην ἐν ψυχῆι λογικῆι τάττειν, ἧς ἐξήρτηται μὲν ἔτι τὰ πάθη καὶ αἱ ἄλογοι δυνάμεις, οἷον ἐπιβουλεύουσαι τῆι λογικῆι ζωῆι καὶ Τιτανικῶς αὐτὴν ἐπιχειροῦσαι σπαράττειν· ὑπερίδρυται δὲ ὁ νοῦς Ἀθηναϊκῶς ἀνέχων αὐτὴν ἀπὸ τῆς ῥοπῆς καὶ τῆς εἰς τὸ ἔνυλον φορᾶς. Ἀθηναϊκὸν γὰρ τὸ σώιζειν ἀμέριστον τὴν ζωήν, ἐξ οὗπερ Σώτειρα ἐπεκλήθη Παλλὰς Ἀθήνη· Τιτανικὸν* | [345 Cous.] *δὲ τὸ μερίζειν αὐτὴν καὶ προκαλεῖσθαι περὶ* (*πρὸς* Lob. I 560) *τὴν γένεσιν,* in Tim. prooem. E (III 169, 3 Diehl) fr. 107 p. 171 infra. Damasc. De princ. 94 (I 236, 1 Rue.) *ὁ γὰρ Ζεύς, φέρε εἰπεῖν, τοὺς πολλοὺς ἀφ' ἑαυτοῦ παραγαγὼν κατὰ μέρη θεούς, ἐπὶ τούτωι τῶι ὁλοτελεῖ μερισμῶι τὴν μεριστὴν ὁλότητα παρήγαγεν, καὶ τοὺς ὑπὸ ταύτηι πολλοὺς τεταγμένους θεούς; ἢ οὐχὶ καὶ τοὺς Τιτᾶνας ὁ Ζεὺς ἐγέννησεν ἐν τῶι οἰκείωι διακόσμωι κατὰ τὴν Ὀρφικὴν παράδοσιν; οὕτω δὴ καὶ ὁ Κρόνος ἐπὶ πολλῆι γενεᾶι τῆι πρότερον, ἐπ' ἐσχάτωι παράγει τὸν ὅλον Δία* (*διὰ* codd.; corr. Kopp) *τῆς ἑτέρας ἐξάρχοντα βασιλείας· τὰ δὲ ὅμοια καὶ τὸν Οὐρανὸν ὑφιστῶντα παραδίδωσι μετὰ τοὺς ὅλους Οὐρανίδας τὸν Κρόνον*

ἔσχατον cf. Lob. I 614 n. *o* (fr. 278 Abel). Cf. etiam Nonn. Abbas in orat. II contra Iulian. 35 (Migne 36, 1053) *Περὶ θεῶν διεσπασμένων· Περσεφόνη γεννᾶι τὸν Ζαγραῖον Διόνυσον, ἐκ τοῦ Διὸς συλλαβοῦσα αὐτόν. τοῦτον γεννηθέντα οἱ Τιτᾶνες —δαιμονίων* (an *δαιμόνων?*) *τάξεις αὗται—φθονήσαντες τῶι Διονύσωι ὡς ἐκ Διὸς ἔχοντι τὴν γέννησιν, διασπαράσσουσιν αὐτόν· ἄλλοι δὲ λέγουσιν, ὅτι καθ' ὑπόθεσιν τῆς Ἥρας διεσπάσθη ὑπὸ τῶν Τιτάνων ὁ Διόνυσος.*

Herm. VIII vs. 46 p. 469; Lob. I 557. 710 ss.; C. O. Mueller *Prolegomena* 390; Mayer *Gigant. u. Titan.* 236; Gruppe *Griech. Culte u. Mythen* I 638. 651. 660; Rohde *Psyche* II⁶ 116; Holwerda 365; Gruppe *Griech. Mythol.* II 970; Maaß *Orpheus* 92; S. Reinach *Rev. Archéol.* 1899 II 210—217 (= *Cultes, Mythes et Religions* II 58—65); ibidem 1902 II 242—279 (= II 85—122); Diels *Festschr. Th. Gomperz* 12; Weniger *Arch. Religionsw.* X 1907, 61.

Veterrima de Zagreo testimonia sunt haecce: Alcmaeonis fr. 3 p. 77 Ki. *πότνια Γῆ Ζαγρεῦ τε θεῶν πανυπέρτατε πάντων* (Wilamowitz *Hom. Unters.* 214 n. 13), Aeschyl. Sisyph. TGF fr. 228 p. 74 Nauck² *Ζαγρεῖ τε νῦν με καὶ πολυξένωι . . . χαίρειν,* Euripid. Cret. TGF fr. 472 p. 505 Nauck² vs. 9 *ἁγνὸν δὲ βίον τείνων ἐξ οὗ Διὸς Ἰδαίου μύστης γενόμην, καὶ νυκτιπόλου Ζαγρέως βούτης* (*βούτας* Diels *Deutsche Litt.-Ztg.* 1889, 1081; *βούτης* Wilamowitz *Berl. Klassikertexte* V 2, 77 n. 1; *βροντὰς* Porph.) *τάς τ' ὠμοφάγους δαῖτας τελέσας μητρί τ' ὀρείαι δᾶιδας ἀνασχὼν † καὶ* (*μετὰ* Wilamowitz l. l.) *Κουρήτων βάκχος ἐκλήθην ὁσιωθείς* cf. Wilamowitz, qui Euripidem Epimenide usum esse censet, *Hippolytos* p. 224 n. 1; Kern *Herm.* LI 1916, 563; Latte De saltationibus Graecor. = *RVV* XIII 1913, 53; Callimachi fr. 171 de Proserpina *υἷα Διώνυσον Ζαγρέα γειναμένη.*

Mythi de Baccho a Titanibus perempto nulla extat memoria antiquior quam Onomacriti fr. IV (test. nr. 194), cui accedunt, quae Orphicis vetustioribus (v. frr. 34—36) ascripsi. Exscribo hic Schol. ad Lycophr. 208 p. 98, 5 Scheer *ἐτιμᾶτο δὲ καὶ Διόνυσος ἐν Δελφοῖς σὺν Ἀπόλλωνι οὑτωσί· οἱ Τιτᾶνες τὰ Διονύσου μέλη σπαράξαντες Ἀπόλλωνι* (Et. Gen.) *ἀδελφῶι ὄντι αὐτοῦ παρέθεντο ἐμβαλόντες λέβητι,*[1] *ὁ δὲ παρὰ τῶι τρίποδι ἀπέθετο*[2] (Etym. M. 255, 14) *ὥς φησι Καλλίμαχος* (fr. 374) *καὶ Εὐφορίων* (fr. 12 Scheidw.) *λέγων· 'ἂν*[3] *πυρὶ Βάκχον*[4] *δῖον*[5]

ὑπερφίαλοι[6] *ἐβάλοντο'.*[7] Cf. etiam Diodor. V 75, 4 *τοῦτον δὲ τὸν θεὸν* (sc. *Διόνυσον*) *γεγονέναι φασὶν ἐκ Διὸς καὶ Φερσεφόνης κατὰ τὴν Κρήτην* (cf. Eurip. l. l.), *ὃν Ὀ. κατὰ τὰς τελετὰς παρέδωκε διασπώμενον ὑπὸ τῶν Τιτάνων.* Plutarch. De esu carn. I 996 c *τὰ γὰρ δὴ περὶ τὸν Διόνυσον μεμυθευμένα πάθη τοῦ διαμελισμοῦ καὶ τὰ Τιτάνων ἐπ' αὐτὸν τολμήματα, κολάσεις τε τούτων καὶ κεραυνώσεις γευσαμένων τοῦ φόνου, ᾐνιγμένος ἐστὶ μῦθος εἰς τὴν παλιγγενεσίαν. τὸ γὰρ ἐν ἡμῖν ἄλογον καὶ ἄτακτον καὶ βίαιον οὐ θεῖον ἀλλὰ δαιμονικὸν οἱ παλαιοὶ Τιτᾶνας ὠνόμασαν, καὶ τοῦτ' ἔστι κολαζομένου καὶ δίκην διδόντος.* Lucian. *Περὶ ὀρχήσεως* 39 de saltationum mimicarum argumentis *Δευκαλίωνα . . ., εἶτα Ἰάκχου σπαραγμὸν* (cf. *Ὀρφέως σπαραγμόν* (test. nr. 256) *καὶ Ἥρας δόλον καὶ Σεμέλης κατάφλεξιν καὶ Διονύσου ἀμφοτέρας τὰς γονὰς καὶ ὅσα περὶ Ἀθηνᾶς καὶ ὅσα περὶ Ἡφαίστου κτλ.*

1 *εἰσ λέβητα* T 2 *παρέθετο* T. 3 *ἀν* a γ 1; *ἐν* γ 2; *ἐμ* b. 4 *βάκχαν* α γ 1; *βάκχοις* an *βάκχας* b; *βάχχ* γ 2; *Βακχέα* Lob. I 558 n. c.; *Βάκχον* Scheidw. 5 *δίαν* α γ 1; *δῖαν* γ 2; *δῖον* b. 6 *ὑπὲρ φιάλην* codd.; *ὑπὲρ φιάλης* Lob.; *ὑπερφίαλοι* C. O. Mueller. 7 *ἐβάλοντο* a; *ἐβάλλοντο* b γ[1]; *ἐμβάλλοντες* γ 2.

Haec omnia quae ex Etymologicis etc. de Zagreo tradita sunt, Apollodorea esse videntur; cf. Wilamowitz *Hom. Unters.* l. l.

Argon. 24 *Ζαγρῆος περίφημον ἄμυξιν* tantum e coniectura Lobeckii legitur v. test. nr. 224 p. 67; sed fabula Zagrei attingitur vs. 429 (fr. 29 p. 100). Etiam in Hymnis Zagrei nomen nusquam apparet; at spectat ad eius ortum XXIX 7 (in Proserpinam) *ἣν Ζεὺς ἀρρήτοισι γοναῖς τεκνώσατο κούρην.* De Hymno XXXVII in Titanes v. fr. 220. Ad Procl. (v. infra) vs. 12 cf. Hymn. XIX 15 *σμαραγεῖ δὲ κεραυνὸς αἰθέρος ἐν γυάλοισι.* Orphicorum *Ἱεροῖς λόγοις* usus est haud dubie Nonnus VI 155—228; X 293—297; XXIV 44—48 (*ἀρχεγόνου γὰρ ἐκ κραδίης ἀνέτελλες ἀειδομένου Διονύσου* cf. fr. 21 a vs. 9 et 168 vs. 32); XLVIII 25—30. Lob. I 552. Procl. Hymn. VII in Minerv. vs. 11 p. 151 Ludw. (Lob. I 561 cf. Wilamowitz *Sitzungsber. Akad. Berlin* 1907, 273)

ἣ κραδίην ἐσάωσας ἀμιστύλλευτον[1] *ἄνακτος*
αἰθέρος ἐν γυάλοισι μεριζομένου ποτὲ Βάκχου
Τιτήνων ὑπὸ χερσί — πόρες δέ ἑ[2] *πατρὶ φέρουσα,*
ὄφρα νέος βουλῇσιν ὑπ'[3] *ἀρρήτοισι τοκῆος*
ἐκ Σεμέλης περὶ[4] *κόσμον ἀνηβήσῃ*[5] *Διόνυσος.*[6]

1 *ἀμυστίλλευτον* Wakefield] *ἀμυστύλλευτον* vel *ἀμιστύλευτον* vel *ἀμυστίλευτον* codd.; *ἀμυστιλύτον* Taylor. 2 *δὲ ἓ* BDG; *δέ οἱ* C cf. Herm. *Orph.* 774. 3 *ὑπ'* codd. praeter *ἀπ'* H. 4 *παρὰ* i. e. *praeter ordinem naturae* Wakef. 5 *ἀνηβῆσαι* idem. 6 *διόννσσος* DH, pc. B[2].

De Orphei fabula e Zagrei mytho orta cf. test. nrr. 113 ss.

211. (193. 207) Olympiodor. in Plat. Phaedon. 67 c p. 43, 14 Norv. *πῶς δὲ ἄρα οὐ τὰ Ὀρφικὰ ἐκεῖνα παρῳδεῖ νῦν ὁ Πλάτων, ὅτι ὁ Διόνυσος σπαράττεται μὲν ὑπὸ τῶν Τιτάνων, ἑνοῦται δὲ ὑπὸ τοῦ Ἀπόλλωνος; διὸ συναγείρεσθαι καὶ ἀθροίζεσθαι, τουτέστιν ἀπὸ τῆς Τιτανικῆς ζωῆς ἐπὶ τὴν ἑνοειδῆ. καὶ ἡ Κόρη δὲ κατάγεται μὲν εἰς Ἅιδου, ἀνάγεται δὲ πάλιν καὶ οἰκεῖ, ἔνθα πάλαι ἦν, ὑπὸ τῆς Δήμητρος.* Procl. Tim. 35 b (II 198, 2 Diehl) *ἥκει μὲν οὖν τῆι ψυχῆι καὶ ἀπὸ τῶν ὑπερτέρων αἰτίων οὗτος ὁ ἀριθμός* (sc. *ἡ ἑπτάς*), *ὥσπερ καὶ ἡ τριάς, αὕτη μὲν ἀπὸ τῶν νοητῶν, ἐκεῖνος δὲ ἀπὸ τῶν νοερῶν, ἥκει δὲ καὶ ἀπὸ τούτων τῶν θεῶν, ἵνα τὸν μὲν εἰς ἑπτὰ μοίρας μερισμὸν ἔχηι σύνθημα τῆς Διονυσιακῆς σειρᾶς καὶ τοῦ μυθευομένου σπαραγμοῦ — καὶ γὰρ ἔδει νοῦ μετέχουσαν αὐτὴν Διονυσιακοῦ καί, ὥς Ὀ. φησιν, ἐπὶ τῆς κεφαλῆς φέρουσαν* (sc. Hiptam fr. 199) *τὸν θεὸν διηιρῆσθαι κατ' ἐκεῖνον —, τὴν δὲ ἐν ταύταις ταῖς μοίραις ἁρμονίαν ἔχηι τῆς Ἀπολλωνιακῆς τάξεως σύμβολον· καὶ γὰρ ἐν ἐκείνοις ὁ συνάγων καὶ ἐνίζων τὰ μερισθέντα τοῦ Διονύσου μέλη κατὰ τὴν βούλησιν τοῦ πατρὸς οὗτός ἐστιν ὁ θεός.* In Plat. I. Alcib. 103 a p. 391, 9 Cous.[2] *καί μοι δοκεῖ, καθάπερ Ὀ. ἐφίστησι τῶι βασιλεῖ Διονύσωι τὴν μονάδα τὴν Ἀπολλωνιακήν, ἀποτρέπουσαν αὐτὸν τῆς εἰς τὸ Τιτανικὸν πλῆθος προόδου καὶ τῆς ἐξαναστάσεως τοῦ βασιλείου θρόνου, καὶ φρουροῦσαν αὐτὸν ἄχραντον ἐν τῆι ἑνώσει.*

Herm. 508 n. 17; Lob. I 553.

212. Olympiodor. in Plat. Phaed. *B ιδ'* p. 88, 5 Norv. *ὅτι τοῦ μὲν μυστικοῦ*[1] *λόγου μονὰς ἡγεῖται ἡ τοῦ νέου θεοῦ, τῆς δὲ φιλοσόφου ἀποδείξεως, ἅτε ἀνελιττούσης τὸν ἀπόρρητον λόγον, τὸ πλῆθος τῶν θεῶν, οὓς*[2] *ἀντιστρόφως ὁ Πλάτων νέους καλεῖ, τὸν δὲ βασιλέα αὐτῶν ποιεῖ τὸν Ἥλιον, ὃς πολλὴν ἔχει πρὸς τὸν Διόνυσον κοινωνίαν διὰ μέσου τοῦ Ἀπόλλωνος κατ' Ὀρφέα* (v. fr. 172). *κάλλιον δὲ τὸν Ἥλιον ὡς μὲν Δία βασιλέα ποιεῖν, ὡς δὲ Διόνυσον περὶ τὸν κόσμον διηιρημένον, ὡς δὲ Ἀπόλλωνα μέσον, συνάγοντα μὲν τὴν Διονυσιακὴν διαίρεσιν, τῶι δὲ Διὶ παριστάμενον.* Cf. etiam infra s. *ΒΑΚΧΙΚΑ.*

1 *μυστικοῦ* M; *μυθικοῦ* dubitanter Norv. 2 *ὅτι* M, -*ι* in ras.

213. (206. 208) Serv. in Verg. Georg. I 166 p. 171, 10 cf. Myth. Vat. II 92 (Keseling Diss. Hal. 1908, 23) *'mystica' autem 'Iacchi' ideo ait,* (sc. Varro) *quod Liberi patris sacra ad purgationem animae pertinebant, et sic homines eius mysteriis purgabantur, sicut vannis frumenta purgantur. hinc est quod dicitur Osiridis membra a Typhone dilaniati Isis cribro superposuisse: nam idem est Liber pater*[1] *— in cuius mysteriis vannus est, quia, ut diximus, animas purgat, unde et Liber ab eo, quod liberet, dictus est —, quem O. a Gigantibus dicit esse discerptum.* Mythogr. Vat. III 12, 5 (Raschke De Alberico mythol. 124) *ut autem paulo altius ordiri*[2] *videamur, habet fabula, Gigantes Bacchum inebriatum invenisse, et discerpto eo per membra, frusta sepelisse,*[3] *et eum paulo post vivum et integrum resurrexisse. quod figmentum discipuli Orphei*[4] *interpretati leguntur, nihil aliud Bacchum quam animam mundi intelligendum*[5] *asserentes; quae ut ferunt philosophi quamvis quasi*[6] *membratim per mundi corpora dividatur, semper tamen se redintegrare*[7] *videtur, corporibus emergens*[8] *et se formans,*[9] *dum semper una eademque perseverans nullam*[10] *simplicitatis suae patitur sectionem. hanc etiam fabulam in sacris*[11] *eius*[12] *repraesentasse leguntur.* Cf. etiam infra s. *ΒΑΚΧΙΚΑ* et *ΙΕΡΟΣ ΛΟΓΟΣ* [*ΑΙΓΥΠΤΙΟΣ*].

1 *nam hiacus idem est liber pater* P; *nam iacchus et liber pater idem est* R. 2 *evehi* M. 3 *sepelivisse* N. 4 om. M. 5 *intelligentes* N. 6 om. M. 7 *redintegrari* LN. 8 *emergens e corporibus* LN; *de corporibus* M. 9 *se* om. L; *reformans* LN. 10 *nullam* om. N. 11 *in sacris fabulam* L. 12 *eius* om. MN.

Lob. I 584 (cf. etiam II 1133 de Hygini fab. 150); M. Mayer *Gigant. u. Titan.* 150.

214. (200) Fabula de Zagrei morte mutata et amplificata: Himer. Or. IX 4 p. 560 Wernsd. p. 66 Duebn. *ἐθέλω δὲ ὑμῖν, ὦ φίλοι, διήγημά τι πρὸς τὸ συμβὰν ὑπαινίξασθαι.*[1] *ἦν νέος ἔτι Διόνυσος καὶ κατὰ τοῦ θεοῦ τὸ τῶν Τελχίνων γένος ἐφύετο· ηὐξάνετο Βάκχος καὶ Τιτᾶνες πάντες διερρήγνυντο φθόνωι· τέλος δέ, μὴ στέγειν δυνάμενοι, διασπάσαι τοῦτον ἠθέλησαν, τέχνας δ' ἐμελέτων καὶ φάρμακα καὶ κέντρα διαβολῆς καὶ φύσεως μαγγανεύματα. ἐμίσουν δὲ ὡς οἶμαι τὸν Σειληνὸν καὶ τὸν Σάτυρον καὶ γόητας τούτους ἐφθέγξαντο, ὅτι τῶι Βάκχωι ἠρέσκοντο. τί οὖν ἐπὶ τούτοις Διόνυσος; ἔκειτο μὲν οἶμαι*[2] *πληγεὶς*[3] *καὶ τὴν πληγὴν καιρίαν ἐστέναζεν· ἄμπελος δ' ἦν κατηφὴς καὶ σκυθρωπὸς οἶνος καὶ βότρυς ὥσπερ δακρύων καὶ*

Βάκχος οὐκέτι σφυρὸν εἰς[4] τὴν κίνησιν εἶχεν εὐάρμοστον. ἀλλ' οὐ διὰ τέλους τὸ δάκρυον οὐδὲ[5] πολεμίων τὸ τρόπαιον. ὁ γὰρ Ζεὺς ἐποπτεύων ἑώρα πάντα καὶ τὸν Διόνυσον ἐγείρας, ὡς λόγος, Τιτᾶνας ἐποίει παρὰ τῶν μύθων ἐλαύνεσθαι.

1 Lob.] *αἰνίξασθαι* R, *ἀπαινίξασθαι* Wernsd. 2 *τί οὖν ἐπὶ τούτοις, Διόνυσος ἔκειτο μὲν οἴμοι πληγεὶς* Lob. 3 *πλαγεὶς* Wernsd. 4 Reiske] *εἰσφορὰ* R, *εἰς σφυρὰ* Wernsd. 5 *οὐδὲ* Dieterich; *οὔτε* Wernsd.

Iul. Firmic. Matern. De err. profan. relig. 6 p. 15, 2 Ziegler. *sed adhuc supersunt aliae superstitiones, quarum secreta pandenda sunt: Liberi et Liberae quae omnia sacris sensibus vestris specialiter intimanda sunt, ut et in istis profanis religionibus sciatis mortes esse hominum consecratas. Liber itaque Iovis fuit filius, regis scilicet Cretici* (v. fr. 156). *hic cum fuisset adultera matre progenitus, nutriebatur apud patrem studiosius quam decebat. uxor Iovis cui Iunoni fuit nomen, novercalis animi furore commota ad necem infantis omnifariam parabat insidias. proficiscens peregre pater quia indignationes tacitas sciebat uxoris, ne quid ab irata muliere dolo fieret, idoneis sicut sibi videbatur custodibus tutelam credidit filii. tunc Iuno opportunum insidiarum nancta tempus, et ex hoc fortius inflammata, quia proficiscens pater et sellam regni puero tradiderat et sceptrum, custodes primum regalibus praemiis muneribusque corrupit, deinde satellites suos qui Titanes vocabantur, in interioribus regiae locat partibus, et crepundiis ac speculo adfabre facto animos ita pueriles inlexit, ut desertis regiis sedibus ad insidiarum locum puerilis animi desiderio duceretur. illic interceptus trucidatur, et ut nullum possit necis inveniri vestigium, particulatim[1] membra concisa satellitum sibi dividit turba. tunc ut huic facinori aliud facinus adderetur, quia vehementer tyranni crudelitas timebatur, decocta variis generibus pueri membra consumunt, ut humani* | 16 Ziegl. *cadaveris inauditis usque in illum diem epulis vescerentur. cor divisum sibi soror servat, — cui Minerva fuit nomen —, quia[2] et ipsa sceleris fuit particeps, et ut manifestum delationis esset indicium, et ut haberet unde furentis patris impetum mitigaret. reverso Iovi filia ordinem facinoris exponit. tunc pater funesta calamitate cladis et acerbi luctus atrocitate commotus*

Titanas quidem vario genere excruciatos necat, nec praetermissum est in ultione filii aut tormentum aliquod aut poena, sed per omnia poenarum genera bacchatus necem qualiscumque filii vindicavit, affectu quidem patris sed tyrannica potestate. tunc quia diutius pater ferre lugentis animi tormenta non poterat, et quia dolor ex orbitate veniens nullis solaciis mitigabatur, imaginem eius ex gypso plastico opere perfecit et cor pueri[3] *ex quo facinus fuerat sorore deferente detectum, in ea parte plastes*[4] *conlocat qua pectoris fuerant liniamenta formata. post haec pro tumulo exstruit templum, et paedagogum pueri constituit sacerdotem. huic Silenus fuit nomen. Cretenses ut furentis tyranni saevitiam mitigarent, festos funeris dies statuunt, et annuum sacrum trieterica consecratione conponunt, omnia per ordinem facientes quae puer moriens aut fecit aut passus est. vivum laniant dentibus taurum, crudeles epulas annuis commemorationibus excitantes, et per secreta silvarum clamoribus dissonis eiulantes fingunt animi furentis* | [17 Ziegl.] *insaniam, ut illud facinus non per fraudem factum, sed per insaniam crederetur. praefertur cista in qua cor soror latenter absconderat, tibiarum cantu et cymbalorum tinnitu crepundia, quibus puer deceptus fuerat mentiuntur. sic in honorem tyranni a serviente plebe deus factus est qui habere non potuit sepulturam.*

1 *particulatim* P vulgo; *articulatim* Wakefield. 2 *quae* Bursian. 3 *cor pueri* Bursian; *corpori* P. 4 *plastes* vel *plasti* Bursian; *plaste* P.

Lob. I 569; ad Himerii locum cf. Dieterich De hymnis Orph. 8 = *Kl. Schr.* 74 (cf. test. nr. 210).

215. (205) Procl. in Plat. Tim. 24 e (I 173, 1 Diehl) *καὶ γὰρ οἱ θεολόγοι μετὰ τὸν τοῦ Διονύσου διασπασμόν, ὃς δηλοῖ τὴν ἐκ τῆς ἀμερίστου δημιουργίας μεριστὴν πρόοδον εἰς τὸ πᾶν ὑπὸ* (del. dubitanter Kroll) *τοῦ Διός, τοὺς μὲν ἄλλους Τιτᾶνας ἄλλας λήξεις διακεκληρῶσθαί φασι, τὸν δὲ Ἄτλαντα ἐν τοῖς πρὸς ἑσπέραν τόποις ἱδρῦσθαι ἀνέχοντα τὸν οὐρανόν·*

Ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης,
πείρασιν ἐν γαίης.

Cf. Simplic. in Aristot. De Caelo 284 a 14 p. 375, 12 Heib. *εἰ δὲ μῦθος ὄντως ἐστὶ θεῖόν τι κρύπτων ἐν ἑαυτῶι καὶ σοφόν, λεγέσθω ὅτι Ἄτλας εἷς μέν ἐστι καὶ αὐτὸς τῶν περὶ τὸν Διόνυσον Τιτάνων, διὰ δὲ τὸ μὴ τελέως ἐξαμαρτεῖν εἰς αὐτόν, τουτέστι μὴ κατὰ τὴν Τιτανικὴν μόνην διάκρισιν ἐνεργῆσαι περὶ τὴν Διονυσιακὴν δημιουργίαν, ἀλλ' ἀποκλίνειν πως καὶ πρὸς τὴν Δΐιον συνοχὴν κατ' ἄμφω τὰς ἰδιότητας ἐνεργεῖ κτλ.*

Herm. XXXV vs. 1; Lob. I 564. 711; Schoemann Opusc. academ. II 17; Mayer *Gigant. u. Titan.* 236.

Hesiod. Theogon. 517, qui eadem verba habet; cf. etiam arcae Cypseli epigramma *Ἄτλας οὐρανὸν οὗτος ἔχει, τὰ δὲ μᾶλα μεθήσει* ap. Pausan. V 18, 4 (Robert *Herm.* XXIII 1888, 440 n. 3; *Heldens.* II 494 n. 4; Preger n. 186, 4 p. 144).

Aliae *ταρταρώσεις* supra frr. 121 ss.; Atlantis frater Prometheus fr. 143.

216. (202—204) Procl. in Plat. Cratyl. 406 c p. 108, 13 Pasqu. *ὅτι τὸν δεσπότην ἡμῶν Διόνυσον οἱ θεολόγοι πολλάκις καὶ ἀπὸ τῶν τελευταίων αὐτοῦ δώρων Οἶνον καλοῦσιν, οἷον Ὀ.·*

a *Οἴνου δ' ἀντὶ μιῆς τριπλῆν μετὰ ῥίζαν ἔθεντο·*

καὶ πάλιν·

b *Οἴνου πάντα μέλη κόσμωι λαβὲ καί μοι ἔνεικε·*

καὶ αὖθις·

c *Οἴνωι ἀγαιομένη κούρωι Διός.*

Idem in 406 c p. 109, 9 Pasqu. *ἐπειδὴ τοίνυν ἡ μεριστὴ δημιουργία πᾶσα τῆς Διονυσιακῆς ἐξήρτηται μονάδος, διαιροῦσα τοὺς μὲν μεθεκτοὺς ἐν τῶι κόσμωι νόας ἀπὸ τοῦ ὅλου νοῦ, τὰς δὲ πολλὰς ψυχὰς ἀπὸ τῆς μιᾶς, τὰ δ' εἴδη τὰ αἰσθητὰ πάντα ἀπὸ τῶν οἰκείων ὁλοτήτων, διὰ δὴ τοῦτο καὶ αὐτὸν τὸν θεὸν Οἶνον προ⟨σ⟩ειρήκασιν*[1] *οἱ θεολόγοι αὐτόν τε καὶ πάντα τὰ δημιουργήματα αὐτοῦ· πάντα γὰρ ἔκγονα τοῦ νοῦ, καὶ τὰ μὲν πορρώτερον τὰ δὲ ἐγγύτερον μετέχει τῆς μεριστῆς τοῦ νοῦ διανομῆς. ἀναλόγως οὖν ἐν τοῖς οὖσιν ὁ οἶνος ἐγγινόμενος ἐνεργεῖ, ἐν μὲν τῶι σώματι εἰδωλικῶς κατὰ οἴησιν καὶ φαντασίαν ψευδῆ, ἐν δὲ τοῖς νοεροῖς τὸ κατὰ νοῦν*[2] *ἐνεργεῖν καὶ δημιουργεῖν, ἐπεὶ καὶ ἐν τῆι διασπαράξει τῶν Τιτάνων μόνη ἡ καρδία ἀδιαίρετος μεῖναι λέγεται, τουτέστιν ἡ ἀμερὴς*[3] *τοῦ νοῦ οὐσία.*

1 *προ⟨σ⟩ειρήκασιν* Pasqu., *προειρήκασιν* codd. 2 *τῶι κατὰ νοῦν* Croenert. 3 *ἀμερὴς* Boisson.; *ἀμερὶς* codd.; an *ἀμέρισ⟨τος⟩*? Pasqu.

Lob. I 563; Gruppe *Griech. Culte u. Myth.* I 647.

Hesych. *Οἶνος· Διόνυσος* Usener *Rhein. Mus. N. F.* LIII 1898, 375 = *Kl. Schr.* IV 303; O. Hoefer ap. Rosch. III 799.

217. (p. 216) Procl. Tim. 41 d (III 250, 17 Diehl) *ἐπεὶ καὶ ἄλλοι παραδέδονται κρατῆρες ὑπό τε Ὀρφέως καὶ Πλάτωνος· Πλάτων τε γὰρ ἐν Φιλήβωι* (61 b. c) *τὸν μὲν Ἡφαίστειον κρατῆρα παραδίδωσι, τὸν δὲ Διονυσιακόν, καὶ Ὀ. οἶδε μὲν καὶ τὸν τοῦ Διονύσου κρατῆρα, πολλοὺς δὲ καὶ ἄλλους ἱδρύει περὶ τὴν Ἡλιακὴν τράπεζαν.*

Lob. I 376. 731; Kern *Arch. Gesch. Philos.* II 1889, 393; Gruppe *Suppl.* 698.

De poematibus *Κρατῆρες* v. infra s. *ΚΡΑΤΗΡΕΣ*; de Solis mensa Herod. III 17; Pausan. VI 26, 2 (Gruppe l. l. 700). Cf. etiam Pherecyd. Diels II³ 205 n. 12 (Diog. Laert. I 119) *Φ. ἔλεγέ τε ὅτι οἱ θεοὶ τὴν τράπεζαν θυωρὸν καλοῦσιν.*

218. (192. 299) Procl. Tim. 42 e (III 316, 3 Diehl) *ὃ γὰρ εἶπε περὶ τῆς μονάδος τῶν νέων θεῶν ὁ Ὀρφεύς·*

κραῖνε μὲν οὖν Ζεὺς πάντα πατήρ, Βάκχος δ' ἐπέκραινε,

τοῦτο καὶ περὶ τῶν νέων θεῶν ῥητέον, ὅτι δὴ τὴν δημιουργίαν ἐπιτελοῦσι τοῦ πατρός, ἣν ἐκεῖνος αὐτῶι τῶι νοεῖν ὑπέστησεν, ὥσπερ δή φησι καὶ τὸ λόγιον (Kroll De or. chald. 46); *'ταῦτα πατὴρ ἐνόησε, βροτὸς δέ οἱ ἐψύχωτο'.* Damasc. De princ. 245 (II 117, 2 Rue., Add. 386) *καὶ δὴ καὶ ὁ Διόνυσος ἐπικραίνει τὰ τοῦ Διὸς ἔργα, φησὶν Ὀ., ὁλοποιοῦ τοῦ Διὸς ὄντος· ἀλλὰ καὶ ἡ ἀρχὴ καὶ τὸ μέσον καὶ τὸ τέλος μέρη ἄττα· ἀλλ' ἤδη ἕστηκεν ἀπ' ἀλλήλων· τὰ δὲ ἁπλῶς μέρη συννεύει μάλιστα πρὸς τὸ ὅλον,* ibidem 160 (II 44, 3 Rue.) *ἕνωσις μὲν δημιουργικὴ ὁ μονοειδὴς εἷς δημιουργός· ὁλότης δέ, ὁ ἤδη μὲν τὰ μέρη προφαίνων, οὔπω δὲ μεριζόμενος, οἷος ὁ Σαβάζιος, ὁ δὲ Διόνυσος, τὸ ἄπειρον ἤδη μεριζόμενον πλῆθος. διὸ καὶ ὁ Διόνυσος καὶ ὁ Ζεὺς καὶ οἱ τελετάρχαι ἀναλογοῦσιν τῶι Φάνητι κατὰ τὸ ἄπειρον πλῆθος.*

Herm. XXVI; Lob. I 553; Kern De Theogon. 47; *Herm.* XXIII 1888, 485 n. XIII.

219. (252) Clem. Alex. Strom. V 8, 46, 3 (II 357, 10 Staeh.) *ναὶ μὴν ἡ στοιχειωτικὴ τῶν παίδων διδασκαλία τὴν τῶν τεττάρων στοιχείων περιείληφεν ἑρμηνείαν. βέδυ μὲν γὰρ τοὺς Φρύγας τὸ ὕδωρ φησὶ καλεῖν, καθὰ καὶ Ὀρφεύς·*

καὶ βέδυ Νυμφάων καταλείβεται ἀγλαὸν ὕδωρ.

ἀλλὰ καὶ ὁ θύτης Δίων ὁμοίως φαίνεται γράφων· ‘καὶ βέδυ λαβὼν κατὰ χειρῶν καταχέου καὶ ἐπὶ τὴν ἱεροσκοπίην τρέπου’. ἔμπαλιν δὲ ὁ κωμικὸς Φιλύλλιος[1] βέδυ τὸν ἀέρα βιόδωρον ὄντα διὰ τούτων γινώσκει (sequitur Kock CAF I 787 fr. 20).

1 Φιλύλλιος Casaubon.; φιλύδεος L.

Herm. fr. XIX vs. 9; Lob. II 836. 883.

Ad *βέδυ* v. P. de Lagarde *Ges. Abhdlgn.* 1866, 285.

220. (85) Olympiodor. in Plat. Phaedon. 61 c p. 2, 21 Norv. *παρὰ τῶι Ὀρφεῖ τέσσαρες βασιλεῖαι παραδίδονται· πρώτη μὲν ἡ τοῦ Οὐρανοῦ, ἣν ὁ Κρόνος διεδέξατο ἐκτεμὼν τὰ αἰδοῖα τοῦ πατρός· μετὰ δὲ τὸν Κρόνον ὁ Ζεὺς ἐβασίλευσε καταταρταρώσας τὸν πατέρα· εἶτα τὸν Δία διεδέξατο ὁ Διόνυσος, ὅν φασι κατ' ἐπιβουλὴν τῆς Ἥρας τοὺς περὶ αὐτὸν Τιτᾶνας σπαράττειν καὶ τῶν σαρκῶν αὐτοῦ ἀπογεύεσθαι. καὶ τούτους ὀργισθεὶς ὁ Ζεὺς ἐκεραύνωσε, καὶ ἐκ τῆς αἰθάλης τῶν ἀτμῶν τῶν ἀναδοθέντων ἐξ αὐτῶν ὕλης γενομένης γενέσθαι τοὺς ἀνθρώπους· οὐ δεῖ οὖν ἐξάγειν ἡμᾶς ἑαυτούς, οὐχ ὅτι, ὡς δοκεῖ λέγειν ἡ λέξις, διότι ἔν τινι δεσμῶι ἐσμεν τῶι σώ|*[3 Norv.] *ματι, τοῦτο γὰρ δῆλόν ἐστι, καὶ οὐκ ἂν τοῦτο ἀπόρρητον ἔλεγεν, ἀλλ' ὅτι οὐ δεῖ ἐξάγειν ἡμᾶς ἑαυτοὺς ὡς τοῦ σώματος ἡμῶν Διονυσιακοῦ ὄντος· μέρος γὰρ αὐτοῦ ἐσμεν, εἴ γε ἐκ τῆς αἰθάλης τῶν Τιτάνων συγκείμεθα γευσαμένων τῶν σαρκῶν τούτου.*

Cf. supra frr. 209 ss. et Hymn. XXXVII *Τιτάνων* vs. 1

Τιτῆνες, Γαίης τε καὶ Οὐρανοῦ ἀγλαὰ τέκνα,
ἡμετέρων πρόγονοι πατέρων, γαίης ὑπένερθεν
οἴκοις Ταρταρίοισι μυχῶι χθονὸς ἐνναίοντες,
ἀρχαὶ καὶ πηγαὶ πάντων θνητῶν πολυμόχθων
εἰναλίων πτηνῶν τε καὶ οἳ χθόνα ναιετάουσιν·
ἐξ ὑμέων γὰρ πᾶσα πέλει γενεὰ[1] *κατὰ κόσμον.*
ὑμᾶς κικλήσκω μῆνιν χαλεπὴν ἀποπέμπειν,
εἴ τις ἀπὸ χθονίων[2] *προγόνων οἴκοις ἐπελάσθη.*[3]

1 γενεὴ Herm. 2 an *ὑποχθονίων?* 3 οἴκοισι πελάσθη Herm.

Lob. 579 ss.; Luebbert De Pindaro theologiae Orphicae censore. Ind. Bonnens. 1888/9 p. VIII; Rohde *Psyche* II[6] 117; Dieterich De hymn. Orph. 6 = *Kl. Schr.* 72; Kroll De orac. Chald. 38 n. 2; Kern *Herm.* LI 1916, 554; *Orpheus* 43.

221. (221) Procl. in Plat. Rempubl. II 85, 1 Kr. *δηλοῖ* (sc. *ὁ Πλάτων*) *δὲ ἐν Φαίδωνι* (62 b; 69 c; 108 a v. fr. 5 et 7) *τό τε*[1] *ἐν ἀπορρήτοις λεγόμενον, ὡς ἔν τινι φρουρᾶι ἐσμεν οἱ ἄνθρωποι, σιγῆι τῆι πρεπούσηι σέβων, καὶ τὰς τελετὰς μαρτυρόμενος τῶν διαφόρων λήξεων τῆς ψυχῆς κεκαθαρμένης τε καὶ ἀκαθάρτου εἰς Ἅιδου ἀπιούσης, καὶ τάς τε σχίσεις*[2] *αὖ καὶ τὰς τριόδους*[3] *ἀπὸ τῶν ὁσίων*[4] *καὶ τῶν πατρίων θεσμῶν* (i. e. Eleusiniorum) *τεκμαιρόμενος, ἃ δὴ τῆς συμβολικῆς ἅπαντα θεωρίας ἐστὶ μεστά, καὶ τῶν παρὰ τοῖς ποιηταῖς θρυλουμένων ἀνόδων τε καὶ καθόδων, τῶν τε Διονυσιακῶν συνθημάτων*[5] *καὶ τῶν Τιτανικῶν ἁμαρτημάτων λεγομένων, καὶ τῶν ἐν Ἅιδου τριόδων καὶ τῆς πλάνης καὶ τῶν τοιούτων ἁπάντων. ὥστ' οὐδ' ἂν αὐτὸς παντελῶς ἀτιμάσειεν τὴν τοιαύτην μυθοποιΐαν, ἀλλ' ὡς πρὸς τὴν παιδευτικὴν τῶν νέων προαίρεσιν ἀλλοτρίαν αὐτὴν ὑπείληφεν· καὶ διὰ ταῦτα τοὺς τῆς θεολογίας τύπους συμμέτρους τοῖς τῶν παιδευτικῶν ἤθεσιν παραδίδωσιν.*

1 *τόν τε* cod. 2 *σχίσεις* Lob. II 1343 e Plat. Phaedon. 108 a, *σχέσεις* (*ε* ex *ι*) cod. 3 *τριόδους* etiam Olympiod. p. 192, 19. 23 Norv. cf. Plat. Gorg. 524 a; *περιόδους* Plat. Phaed. 108 a BTW Stob. 4 *ὁσίων* Plat. ibidem B et *γρ* Wt, *οὐσιῶν* cod. Procli, *θυσιῶν* Lob. et ita Plat. TW Stob. 5 *παθημάτων* Abel Gruppe.

Lob. II 1342; Gruppe *Suppl.* 717; Tannery *Rev. Philolog.* XXV 1901, 315 v. etiam supra fr. 8.

222. (154) Procl. in Plat. Rempubl. II 340, 11 Kr. *ἐπεὶ καὶ τὰ ἄλλα παρ' Ὀρφέως* (sc. *ὁ Πλάτων*) *ἐμυθολόγησεν λαβών, οἷον ὅτι ἐν τῶι Ἀχέροντι καθαίρονται καὶ τυγχάνουσιν εὐμοιρίας τινός·*

οἳ μέν κ' εὐαγέωσιν ὑπ' αὐγὰς ἠελίοιο,
αὖτις ἀποφθίμενοι μαλακώτερον οἶτον ἔχουσιν
ἐν καλῶι λειμῶνι βαθύρροον ἀμφ' Ἀχέροντα,

καὶ ὅτι κολάζονται ἐν τῶι Ταρτάρωι·

οἱ δ' ἄδικα[1] *ῥέξαντες ὑπ' αὐγὰς ἠελίοιο*
ὑβρισταὶ[2] *κατάγονται ὑπὸ πλάκα Κωκυτοῖο*[3]
Τάρταρον ἐς κρυόεντα.

διὰ γὰρ τούτων σαφῶς τὰς Πλατωνικὰς διατάξεις περὶ τῶν ὑπὸ γῆς λήξεων φαίνεται παραλαβών, ὥσπερ καὶ τὰς περὶ τῶν μετεμψυχώσεων. εἰ δὲ ταῦτα ἑπόμενος Ὀρφεῖ διατάττει Πλάτων, ἆρ' οὐ γελοῖόν ἐστιν — ἀφίημι γὰρ θεμιτὸν λέγειν — τὸν τῶν τοιούτων ἡγεμόνα δογμάτων, οἷς ἡ Πλάτωνος φιλοσοφία

διαφέρει τῶν ἄλλων ἁπασῶν, εἰς ἄλογα ζῶια κατάγειν καὶ κύκνου ψυχὴν ποιεῖν (X 620 a test. nr. 139); *οὐ καὶ τὴν περὶ τῶν θείων ὑφήγησιν αὐτὸς ἐν Τιμαίωι* (40 e) *πιστὴν εἶναί φησιν καίπερ ἄνευ τε εἰκότων λόγων*[4] *καὶ ἀποδείξεων λεγο*|[341 Kr.] *μένην, ὡς δι᾽ ἐνθεασμὸν εἰδότος μάλιστα τὰ τῶν θεῶν πατέρων ὄντων, εἴ τις*[5] *ἔστιν τῆς θεογονίας τοῖς Ἕλλησιν πατήρ, ἣν αὐτὸς παραδοῦναι προθέμενος ἐπὶ τοὺς παραδόντας πρώτους ἀνάγει*[6] *τὴν περὶ αὐτῆς ἀλήθειαν.*

1 *τἄδικα δὲ* Preller. 2 *ὑβρισταὶ* Holsten.; *ὑβρι. αἱ* cod., *ὕβριν θ᾽ αἳ* Mai *quod nunquam extitit* Kr.; *ὕβριν θ᾽ οἳ* Abel et Vári *Wien. Stud.* XII 1890, 230. 3 *ὑποπτω-κατωκυτοῖο* cod., corr. Preller cui etiam *πτύχα* non displicuit. 4 *λόγων* del. Usen. in Schoellii edit.; *εἰκοτολογιῶν* Raderm. 5 *εἴ τις* Schoell.; *ἥτισ* cod. 6 *ἀνάγειν* cod.

Preller *Rhein. Mus.* IV 1845, 391 = *Ausgew. Aufs. aus der class. Altertumswiss.* 1864, 363; Kern *Aus der Anomia* 87; Dieterich *Nekyia* 134. 194; Norden *Herm.* XXVIII 1893, 398; *P. Vergilius Maro Aeneis Buch* VI p. 25.

Ad vs. 6 cf. Hesiod. Scut. 255 *Τάρταρον ἐς κρυόενθ᾽.*

223. (224) Procl. in Plat. Rempubl. II 339, 17 Kr. *ὅτι δὲ καὶ ἰδία τῶν ἀλόγων τίς ἐστιν ψύχωσις, ἀλλ᾽ οὐκ ἀπὸ μόνων τῶν ἀνθρωπίνων ψυχῶν, δηλοῖ λέγων ὁ Ὀρφεύς·*

αἱ μὲν δὴ θηρῶν τε καὶ οἰωνῶν πτεροέντων
ψυχαὶ ὅτ᾽ ἀίξωσι,[1] *λίπηι δέ μιν*[2] *ἱερὸς αἰών,*
τῶν οὔ τις ψυχὴν παράγει[3] *δόμον εἰς Ἀίδαο,*
ἀλλ᾽ αὐτοῦ πεπότηται[4] *ἐτώσιον, εἰς ὅ κεν αὐτὴν*[5]
ἄλλο[6] *ἀφαρπάζηι μίγδην ἀνέμοιο πνοῆισιν·*
ὁππότε δ᾽ ἄνθρωπος προλίπηι φάος ἠελίοιο,
ψυχὰς ἀθανάτας κατάγει Κυλλήνιος Ἑρμῆς
γαίης ἐς κευθμῶνα πελώριον·

|[340 Kr.] *δι᾽ ὧν τὰς μὲν ἀνθρωπίνας ψυχὰς βούλεται χωρεῖν εἰς τὸν ὑποχθόνιον τόπον καθάρσεως ἕνεκα καὶ κολάσεως καὶ εἰς τὰ δεσμωτήρια τῆς τείσεως, τὰς δὲ τῶν ἀλόγων αὐτοῦ περὶ τὸν ἀέρα πωτᾶσθαι,*[7] *μέχρις ἂν εἰς ἄλλα σώματα πάλιν ἐνδεθῶσιν. εἰ δ᾽ ἦσαν καὶ αἱ τῶν ἀλόγων ψυχώσεις ἀπὸ ψυχῶν ἀνθρωπίνων μόνων, πάσας ἔδει φάναι τὸν Ἑρμῆν εἰς Ἅιδου κατάγειν ἢ καθαρθησομένας ἢ κολασθησομένας· ὥσπερ καὶ Πλάτων* (Gorg. 523 b) *ποιεῖ καὶ τὰς ἐκ τῶν ἀλόγων, ἀνθρωπίνας δὲ οὔσας ψυχὰς εἰς τὸν ὑπὸ γῆς τόπον ἀπάγων καὶ πάλιν ἐκεῖθεν στέλλων εἰς ἄλλας βίων αἱρέσεις, ἃ δὴ πρότερον ἐπεδείξαμεν.*

1 *αἰίζωσι* cod.; corr. Schoell. 2 *τέ μιν* Preller. 3 *κατάγει* Ab. 4 *πεπότηνται* cod.; corr. Schoell. 5 *εἰσόκ' ἀΰτμὴν* Vári *Wien. Stud.* XII 1890, 230. 6 *ἄλλος* Schoell, *ἄλλοσ'* Vári (*debebat ἀΰτμὴ et id. fort. verum ita, ut servetur πεπότηνται* Kr.). 7 *ποτᾶσθαι* Preller.

Preller *Rhein. Mus.* IV 1845, 390 = *Ausgew. Aufs. aus der class. Altertumsw.* 362; Kern *Aus der Anomia* 87; Dieterich *Abraxas* 65, *Nekyia* 135; Zeller *Zeitschr. wiss. Theol.* XLII 1899, 237. 255 = *Kl. Schr.* II 156. 172.

Ad vs. 6 cf. fr. 32 f vs. 1; ad vs. 8 cf. Hesiod. Theogon. 158 *Γαίης ἐν κευθμῶνι.*

224. (222. 223) Procl. in Plat. Rempubl. II 338, 10 Kr. *ταῦτα καὶ τῆς Ὀρφικῆς ἡμᾶς ἐκδιδασκούσης θεολογίας. ἢ οὐχὶ καὶ Ὀ. τὰ τοιαῦτα σαφῶς παραδίδωσιν, ὅταν μετὰ τὴν τῶν Τιτάνων μυθικὴν δίκην καὶ τὴν ἐξ ἐκείνων γένεσιν τῶν θνητῶν τούτων ζώιων λέγηι*[1] *πρῶτον μέν, ὅτι τοὺς βίους ἀμείβουσιν αἱ ψυχαὶ κατὰ δή τινας περιόδους καὶ εἰσδύονται ἄλλαι εἰς ἄλλα σώματα πολλάκις ἀνθρώπων·*

a *οἱ δ' αὐτοὶ πατέρες τε καὶ υἱέες ἐν μεγάροισιν*
εὔκοσμοί τ' ἄλοχοι καὶ μητέρες ἠδὲ θύγατρες[2]
γίνοντ'[3] *ἀλλήλων μεταμειβομένηισι γενέθλαις.*

ἐν γὰρ τούτοις τὴν ἀπ' ἀνθρωπίνων σωμάτων εἰς ἀνθρώπινα μετοίκισιν[4] *αὐτῶν παραδίδωσιν. . . . . .* | [339, 1 Kr.] *ἔπειθ' ὅτι καὶ εἰς τὰ ἄλλα ζῶια μετάβασίς ἐστι τῶν ψυχῶν τῶν ἀνθρωπίνων,*[5] *καὶ τοῦτο διαρρήδην Ὀ. ἀναδιδάσκει,*[6] *ὁπηνίκα ἂν διορίζηται·*

b *οὕνεκ' ἀμειβομένη ψυχὴ κατὰ κύκλα χρόνοιο*[7]
ἀνθρώπων[8] *ζώιοισι μετέρχεται ἄλλοθεν ἄλλοις·*
ἄλλοτε μέν θ' ἵππος, τότε[9] *γίνεται* — ⏑ ⏑ — ⏓[10]
ἄλλοτε δὲ πρόβατον, τότε δ' ὄρνεον αἰνὸν ἰδέσθαι,
ἄλλοτε δ' αὖ κύνεόν τε δέμας φωνή τε βαρεῖα,
καὶ ψυχρῶν ὀφίων ἕρπει γένος ἐν χθονὶ δίηι.

Olympiodor. in Plat. Phaedon. 70 c p. 58, 8 Norv. *καὶ ὅτι τὸ ζῶν καὶ τὸ τεθνεὸς ἐξ ἀλλήλων, κατασκευάζει ἡ λέξις ἐκ τῆς μαρτυρίας τῶν παλαιῶν ποιητῶν, ἀπὸ Ὀρφέως, φημί, λέγοντος·*

a *οἱ δ' αὐτοὶ πατέρες τε καὶ υἱέες ἐν μεγάροισιν*
ἠδ'[11] *ἄλοχοι σεμναὶ κεδναί τε θύγατρες.*

πανταχοῦ γὰρ ὁ Πλάτων παρωιδεῖ τὰ Ὀρφέως. οὕτω γοῦν καὶ ἀνωτέρω ἔλεγεν· ὁ μὲν οὖν ἐν ἀπορρήτοις περὶ αὐτῶν λεγόμενος, καὶ πάλιν fr. 235.

1 λέγῃ Kr.; λέγει cod. 2 v. Olympiodori lectionem. 3 γίνονται cod. 4 μετοίκησιν Holsten. 5 ἀνθρωπίνων Usen. in R. Schoellii editione p. 116; ἀνθρώπων cod. 6 ἀναδιδάσκων cod.; corr. Preller. 7 χρόνοιο Herwerd.; χρόνοισι (σι in ras.) cod. 8 ἀνθρώπου Usen.; ἀνθρώπων cod. 9 ἵππος, τότε Usen.; ἵππος ὅδε cod.; ἵπποις, ὁ δὲ Preller; ἵππωι τότε Vári *Wien. Stud.* XII 1890, 228. 10 lacunam suppl. Usen. verbis ἀμφικέρως βοῦς. 11 εἰ δ' M.

Preller *Rhein. Mus.* IV 1845, 390 = *Ausgew. Aufs. aus der class. Altertumsw.* 362; Herwerden *Herm.* V 1871, 143; Kern *Arch. Gesch. Philos.* I 1888, 499; Zeller *Zeitschr. wiss. Theol.* XLII 1899, 235 = *Kl. Schr.* II 155.

Ad a vs. 1 ἐν μεγάροισιν cf. Empedocl. fr. 137 vs. 4 (Diels I³ 276, 1) σφάξας ἐν μεγάροισι κακὴν ἀλεγύνατο δαῖτα (pater filium immutatum); ad b vs. 1. 2 Empedocl. fr. 115 vs. 6 (Diels I³ 267, 6) τρίς μιν μυρίας ὥρας ἀπὸ μακάρων ἀλάλησθαι, φυομένους παντοῖα διὰ χρόνου εἴδεα θνητῶν ἀργαλέας βιότοιο μεταλλάσσοντα κελεύθους et vs. 12 ἄλλος δ' ἐξ ἄλλου δέχεται, ad b vs. 3 ss. Empedocl. fr. 117 (Diels I³ 268, 9) ἤδη γάρ ποτ' ἐγὼ γενόμην κοῦρος τε κόρη τε θάμνος τ' οἰωνός τε καὶ ἔξαλος ἔλλοπος ἰχθύς. Orphicus imitari videtur Hesiodi Catalog. fr. 14 vs. 3—6 p. 137 Rz.³ (1913)

ἄλλοτε μὲν γὰρ ἐν ὀρνίθεσσι φάνεσκεν
αἰετός, ἄλλοτε δ' αὖτε πελέσκετο, θαῦμα ἰδέσθαι,
μύρμηξ, ἄλλοτε δ' αὖτε μελισσέων ἀγλαὰ φῦλα,
ἄλλοτε δ' αἰνὸς ὄφις καὶ ἀμείλιχος.

Rzach *Wien. Stud.* XVI 1894, 229.

225. (246) Plutarch. Quaest. symposiac. VIII 4, 2 p. 723 e ὁ δὲ φοῖνιξ μακρόβιον μέν ἐστιν ἐν τοῖς μάλιστα τῶν φυτῶν, ὥς που καὶ τὰ Ὀρφικὰ ταῦτα μεμαρτύρηκε·

ζῶιον δ' ἶσον ἀκροκόμοισιν [1]
φοινίκων ἔρνεσσιν

1 ἶσον ἀβροκόμοισι vel ἶσα μακροκόμοισι Reiske; ζῶν δ' ἶσον φοινίκων ἔρνεσι ἀκροκόμοισι Wytt.; ἔρνεσι φοινίκων ζῶιον δ' ἶσα μακραίωσιν Mullach.

Herm. XL; Lob. I 513; Rohde *Psyche* II⁶ 121 n.

226. (230) Clem. Alex. Strom. VI 2, 17, 1 (II 435, 20 Staeh.) Ὀρφέως δὲ ποιήσαντος·

ἔστιν ὕδωρ ψυχῇ,[1] θάνατος[2] δ' ὑδάτεσ⟨σ⟩ιν[3] ἀμοιβή,
ἐκ δὲ ὕδατος ⟨μὲν⟩[4] γαῖα, τὸ δ' ἐκ γαίας[5] πάλιν ὕδωρ·
ἐκ τοῦ δὴ[6] ψυχὴ ὅλον αἰθέρα[7] ἀλλάσσουσα·

Ἡράκλειτος ἐκ τούτων συνιστάμενος τοὺς λόγους ὧδέ πως γράφει (Diels I³ 85 fr. 36): 'ψυχῇσιν θάνατος ὕδωρ γενέσθαι,

ὕδατι δὲ θάνατος γῆν γενέσθαι, ἐκ γῆς δὲ ὕδωρ γίνεται, ἐξ ὕδατος δὲ ψυχή'.

1 ψυχῆι Sylb.; ψυχή L. 2 ψυχὴ pro θάνατος Hermann Opusc. II 244; ψυχῆι θάνατος, ⟨ψυχὴ⟩ δ' ὑδάτεσσιν [ἀμοιβή] Bywater. 3 ὑδάτεσιν L. 4 ⟨μὲν⟩ add. Herm. 5 γαίης idem. 6 δὲ Heinsius. 7 ὁδὸν αἰθέρος Herm.; ὅλον αἰθέρ' ἀναΐσσουσα Bywater.

Herm. XIX vs. 2; Lob. I 336. II 949; Zeller *Zeitschr. wiss. Theol.* XLII 1899, 237 = *Kl. Schr.* II 157; Diels II³ 163 n. 9; Stemplinger *Plagiat in der griech. Lit.* 63. 73.

Versus Orphicos ad Heracliti exemplum fictos esse (contrarium Clem. Alex. etiam VI 2, 27, 1 [II 443, 10 Staeh.] σιωπῶ δὲ Ἡράκλειτον τὸν Ἐφέσιον, ὃς παρ' Ὀρφέως τὰ πλεῖστα εἴληφεν; Diels *Herakleitos*² 32 v. test. nr. 251) apparet; cf. Onomacriti fr. I (supra p. 55 test. nr. 191).

227. (251) Clem. Alex. Strom. V 8, 45, 4 (II 356, 9 Staeh.) ἀλλὰ καὶ Διονύσιος ὁ Θρᾶιξ ὁ γραμματικὸς ἐν τῶι Περὶ τῆς ἐμφάσεως (fr. 2 M. Schmidt *Phil.* VII 1852, 369 n. 2) περὶ τοῦ τῶν τροχίσκων[1] συμβόλου φησὶ κατὰ λέξιν· "ἐσήμαινον γοῦν οὐ διὰ λέξεως μόνον, ἀλλὰ καὶ διὰ συμβόλων ἔνιοι τὰς πράξεις, διὰ λέξεως μὲν ὡς ἔχει τὰ λεγόμενα Δελφικὰ παραγγέλματα, τὸ 'μηδὲν ἄγαν' καὶ τὸ 'γνῶθι σαυτόν' καὶ τὰ τούτοις ὅμοια, διὰ δὲ συμβόλων ὡς ὅ τε τροχὸς ὁ στρεφόμενος ἐν τοῖς τῶν θεῶν τεμένεσιν εἱλκυσμένος παρὰ Αἰγυπτίων καὶ τὸ τῶν θαλλῶν τῶν διδομένων τοῖς προσκυνοῦσι. φησὶ γὰρ Ὀ. ὁ Θράικιος·

† θαλλῶν δ' ὅσσα[2] βροτοῖσιν ἐπὶ χθονὸς[3] ἔργα μέμηλεν,
οὐδὲν ἔχει μίαν αἶσαν ἐπὶ φρεσίν,[4] ἀλλὰ κυκλεῖται
πάντα πέριξ, στῆναι δὲ καθ' ἓν μέρος οὐ θέμις ἐστίν,
ἀλλ' ἔχει, ὡς ἤρξαντο, δρόμου μέρος ἶσον ἕκαστος.

οἱ θαλλοὶ ἤτοι τῆς πρώτης τροφῆς σύμβολον ὑπάρχουσιν, ἢ ὅπως ἐπιστῶνται οἱ πολλοὶ τοὺς μὲν καρποὺς δι' ὅλου θάλλειν καὶ αὔξεσθαι διαμένοντας ἐπὶ πλεῖστον, σφᾶς δὲ αὐτοὺς ὀλίγον εἰληχέναι τὸν τῆς ζωῆς χρόνον, τούτου χάριν δίδοσθαι τοὺς θαλλοὺς βούλον|[357 Staeh.]ται, ἴσως δὲ καὶ ἵνα ἐπιστῶνται, ὅτι, ὡς οὗτοι [αὖ][5] καίονται,[6] οὕτως καὶ ⟨αὐ⟩τοὺς[7] δεῖ τοῦτον τὸν βίον[8] ταχέως ἐκλιπεῖν[9] καὶ πυρὸς ἔργον γενέσθαι."

1 περὶ τοῦ τῶν τροχίσκων Heys., τοῦ περὶ τ. τρ. L, τοῦ [περὶ τῶν τροχίσκων] Diels *Zeitschr. aegypt. Spr.* XXXVIII 1900, 53. 2 θαλλῶν δ' ἶσα Lobeck, θαλλοῖς δ' ἶσα Mullach; φύλλων δ' οἷα Herwerd. 3 ἐνὶ φρεσὶν Lob. 4 ἐπὶ χθονὸς Lob. 5 αὖ del. Staeh. 6 αὐαίνονται Schwartz. 7 ⟨αὐ⟩τοὺς Staeh.; τοὺς εἰς L. 8 βίον ⟨εἰσιόντας⟩ Sylb.; βίον ⟨ἥκοντας⟩ Lob. 9 ἐκλιπεῖν ⟨δεῖ⟩ Mayor.

Herm. XIX vs. 5; Lob. II 835 s.; Steudener *Zeitschr. Gymnw.* IX 1855, 626 n. VII; Herwerden *Herm.* V 1871, 142.

Versus Orphici a Clemente in Dionysii Thracis verba illati esse videntur.

228. Vettius Valens Anthologiar. liber IX 1 p. 330, 23 Kr. (v. etiam Catalog. cod. astrolog. Graec. V 2, 49) *καθὼς καὶ ὁ θειότατος Ὀ. λέγει·*

a *ψυχὴ δ' ἀνθρώποισιν ἀπ' αἰθέρος ἐρρίζωται.*

καὶ ἄλλως·

b *ἀέρα δ' ἕλκοντες ψυχὴν θείαν δρεπόμεσθα.*[1]

ἄλλως·

c *ψυχὴ δ' ἀθάνατος καὶ ἀγήρως ἐκ Διός ἐστιν.*

ἄλλως·

d *ψυχὴ δ' ἀθάνατος πάντων, τὰ δὲ σώματα θνητά.*

1 *δρεπόμεθα* S.

229. Procl. in Plat. Tim. 42 c. d (III 297, 3 Diehl) *τὴν οὖν πρώτην ἕξιν κατὰ τὴν σχέσιν ἀφεῖσα τὴν πρὸς πᾶσαν τὴν γένεσιν καὶ τὸ ἄλογον τὸ ποιοῦν αὐτὴν γενεσιουργόν, λόγωι μὲν κρατοῦσα τὸ ἄλογον, νοῦν δὲ χορηγοῦσα τῆι δόξηι, πᾶσαν δὲ τὴν ψυχὴν εἰς τὴν εὐδαίμονα περιάγουσα ζωὴν ἀπὸ τῆς περὶ τὴν γένεσιν πλάνης, ἧς καὶ οἱ παρ' Ὀρφεῖ τῶι Διονύσωι καὶ τῆι Κόρηι τελούμενοι τυχεῖν εὔχονται·*

κύκλου τ' ἂν λῆξαι καὶ ἀναπνεύσαι κακότητος.

Praecedunt III 296, 7 verba: *μία σωτηρία τῆς ψυχῆς αὕτη παρὰ τοῦ δημιουργοῦ προτείνεται τοῦ κύκλου τῆς γενέσεως ἀπαλλάττουσα καὶ τῆς πολλῆς πλάνης καὶ τῆς ἀνηνύτου ζωῆς, ἡ πρὸς τὸ νοερὸν εἶδος τῆς ψυχῆς ἀναδρομὴ καὶ ἡ φυγὴ πάντων τῶν ἐκ τῆς γενέσεως ἡμῖν προσπεφυκότων.*

Versus Orphicus sic habebat *κύκλου τε λῆξαι καὶ ἀναπνεῦσαι κακότητος* (Rohde); *κύκλου τ' αὖ λ. κ. ἀναπνεῦσαι κ.* Gale (Lob.).

Lob. II 798. 800; Rohde *Psyche* II⁶ 124 n. 1; 130 n. 3; *N. Heidelb. Jahrb.* VI 1895, 5 = *Kl. Schr.* II 298 (ad Maassii *Orpheus* 96).

230. Simplic. in Aristotel. De caelo II 1, 284 a 14 (377, 12 Heib.) *ἐνδεθῆναι δὲ ὑπὸ τοῦ τὸ κατ' ἀξίαν πᾶσιν ἀφορίζοντος δημιουργοῦ θεοῦ ἐν τῶι τῆς εἱμαρμένης τε καὶ γενέσεως τροχῶι,*

οὗπερ ἀδύνατον ἀπαλλαγῆναι κατὰ τὸν Ὀρφέα μὴ τοὺς θεοὺς ἐκείνους ἱλεωσάμενον

οἷς ἐπέταξεν
ὁ Ζεὺς
κύκλου τ' ἀλλῆξαι[1] *καὶ ἀναψῦξαι*[2] *κακότητος*
τὰς ἀνθρωπίνας ψυχάς.

1 *ἀλλῆξαι* A; *ἀλῦσαι* F; *ἀλλῦσαι* c. 2 *ἀναψῦξαι* Fc, *ἀμψῦξαι* A.

Cf. fr. 229. Utrumque fragmentum ex eodem Orphei carmine haustum esse verisimile est (v. Rohde *Psyche* II[6] 124 n. 1). Ad cyclum cf. etiam Hymn. LVII 7 *ὁπότ' ἂν μοίρης χρόνος εἰσαφίκηται* et Vergil. Aen. VI 745 *perfecto temporis orbe.*

231. Procl. in Plat. Rempubl. II 173, 12 Kr. *καὶ ὁ μὲν Πλάτων διὰ τοιαύτας αἰτίας ἀποδίδωσι τὴν χιλιάδα ταῖς ὑπὸ τῶι Πλούτωνι ψυχαῖς, ὁ δὲ Ὀ. διὰ τριακοσίων αὐτὰς ἐτῶν ἀπὸ τῶν τόπων ἄγει τῶν ὑπὸ γῆς καὶ τῶν ἐκεῖ δικαιωτηρίων αὖθις εἰς γένεσιν, σύνθημα καὶ οὗτος ποιούμενος τὰς τρεῖς ἑκατοντάδας τῆς τελείας περιόδου τῶν ἀνθρωπίνων ψυχῶν*[1] *καθαιρομένων, ἐφ' οἷς ἐβίωσαν ἐπιστρεφόμεναι τὴν γένεσιν.*

1 *ἀνθρωπίνων ψυχῶν* Kr.; *ἀνθρ. βίων* cod.

Dieterich *Nekyia* 116 ss.

232. (208) Olympiodor. in Plat. Phaedon. *B ια'* p. 87, 13 Norv. *ὅτι ὁ Διόνυσος λύσεώς ἐστιν αἴτιος· διὸ καὶ Λυσεὺς ὁ θεός, καὶ ὁ Ὀ. φησιν·*

ἄνθρωποι δὲ τεληέσσας ἑκατόμβας
πέμψουσιν πάσῃισι ἐν ὥραις ἀμφιέτῃισιν[1]
ὄργια τ' ἐκτελέσουσι λύσιν προγόνων ἀθεμίστων
μαιόμενοι· σὺ δὲ τοῖσιν ἔχων κράτος, οὕς κ' ἐθέλῃισθα,
λύσεις ἔκ τε πόνων χαλεπῶν καὶ ἀπείρονος οἴστρου.

1 *ἀμφιέτεσσιν* Lob.

Herm. 509 n. 23; Lob. I 584; Rohde *Psyche* II[6] 128 n. 5; Anrich *Das antike Mysterienwesen in seinem Einflusse auf das Christentum* 119 n. 3; Tannery *Rev. philol.* XXIII 1899, 126. XXV 1901, 314; S. Reinach *Rev. philol.* XXIII 1899, 239 = *Cultes, mythes et réligions* I 312; Kern *Orpheus* 46; Latte *Arch. Religionsw.* XX 1921, 282.

Hymn. LII *Τριετηρικοῦ* vs. 2 *ταυρόκερως, Ληναῖε, πυρόσπορε, Νύσιε* (*νύσσιε* codd.), *Λυσεῦ* (Schneider] *λυσσεῦ* codd.). Conferendus est *Δ. Λύσιος* quem veteres perperam interpretati

sunt vel captivorum liberatorem (Heraclides Ponticus fr. 101 p. 91 Voss) vel *διὰ τὸ λυτρώσασθαι Θηβαίους παρὰ Ναξίων ἄμπελον* (Aristophanes Thebanus) Wentzel *Ἐπικλήσεις* VII 42. Vs. 3 *λύσις προγόνων ἀθεμίστων* ad generis humani vitiositatem insitam, cuius auctores Titanes sunt, referenda est v. frr. 209 ss. 220 ss. Sic etiam *παλαιὸν πένθος* fragmenti Pindarici in Platonis Menone 81 b (133 Schr.) intelligendum est nec non *λύσεις παλαιῶν μηνιμάτων* apud Iamblichum De mysteriis rec. Parthey 3, 10 p. 121, 11. Ad *προγόνων ἀθεμίστων* cf. Hymn. XXXVII vs. 2 (fr. 220) de Titanibus *ἡμετέρων πατέρων πρόγονοι.*

233. (76) Ioann. Malalas Chronogr. IV 91 p. 74 Dind. ~ Georg. Cedren. Histor. compend. I 103 Bekk.; v. etiam Suid. s. *Ὀρφεύς. τὸ δὲ τῶν ἀνθρώ*|[75 Dind.]*πων γένος εἶπεν* (sc. ὁ Ὀ.) *ὑπ' αὐτοῦ τοῦ θεοῦ πλασθέντα ἐκ γῆς καὶ ψυχὴν ὑπ' αὐτοῦ λαβόντα λογικήν, καθὼς Μωσῆς ὁ πάνσοφος ἐξέθετο ταῦτα. ὁ δὲ αὐτὸς Ὀ. ἐν τῆι αὐτοῦ βίβλωι συνέταξεν, ὅτι διὰ τῶν αὐτῶν τριῶν ὀνομάτων, μιᾶς δὲ θεότητος, τὰ πάντα ἐγένετο, καὶ αὐτός ἐστι τὰ πάντα* (v. fr. 167 ss.). *περὶ δὲ τοῦ ταλαιπώρου γένους τῶν ἀνθρώπων ὁ αὐτὸς Ὀ. ἐξέθετο ποιητικῶς στίχους πολλούς, ὧν μέρος εἰσὶν οὗτοι·*

θῆρές τε οἰωνοί τε βροτῶν τ' αἐτώσια[1] *φῦλα,*

ἑρμηνεία· θηρία, ὄρνεά τε, τῶν ἀνθρώπων τὰ καταναλισκόμενα ἔθνη·

ἄχθεα γῆς, εἴδωλα τετυγμένα, μηδαμὰ μηδὲν[2]

ἑρμηνεία· τὸ βάρος τῆς γῆς, εἶδος κατεσκευασμένον, μηδὲ διὰ τί ἐγεννήθησαν μηδὲ διὰ τί ἀποθνήσκουσιν

εἰδότες, οὔτε κακοῖο προσερχομένοιο νοῆσαι

γινώσκοντες. ἑρμηνεία· οὔτε κακοῦ ἐρχομένου κατ' αὐτῶν αἰσθανόμενοι

φράδμονες, οὔτ' ἄποθεν[3] *μάλ' ἀποστρέψαι κακότητος*

ἀσφαλίσασθαι, οὔτε ἀπὸ μακρόθεν πολὺ ἀποστρέψαι ἐκ τοῦ κακοῦ

οὔτ' ἀγαθοῦ παρεόντος ἐπιστρέψαι ⟨*τε*⟩[4] *καὶ ἔρξαι*[5]

|[76 Dind.] *οὔτε ἀγαθοῦ ἐρχομένου ὑποστρέψαι ἐκ τοῦ κακοῦ καὶ κρατῆσαι καλόν·*

ἴδριες,[6] *ἀλλὰ μάτην ἀδαήμονες,*[7] *ἀπρονόητοι.*

ἔμπειροι. ἑρμηνεία· ἀλλ' ὡς ἔτυχεν [*ἅμα* del. Dind.] *ἀμαθεστάτως φέρονται, μηδὲν προεννοούμενοι. καὶ ἄλλους δὲ πολλοὺς στίχους*

ἐξέθετο ὁ αὐτὸς σοφώτατος Ὀρφεύς. ταῦτα δὲ πάντα ἐξέθετο ὁ σοφώτατος Τιμόθεος χρονογράφος (test. nr. 21), *λέγων τὸν αὐτὸν Ὀρφέα πρὸ τοσούτων χρόνων εἰπόντα τριάδα ὁμοούσιον δημιουργῆσαι τὰ πάντα.* Cf. III. *Μαρτύρ. τῆς Ἁγ. Αἰκατερίν.* 11 p. 52 Viteau *ὃν δ' ἔφης* (sc. *ὁ τῶν ῥητόρων ἡγούμενος*) *Ὀρφέα καὶ μάλα τὴν* | [53 Vit.] *ὑμῶν τῶν τούτους* (sc. *τοὺς τῶν Ἑλλήνων μεγάλους θεούς*) *σεβομένων ἐλέγχει παράνοιαν. ἐν ἧι γὰρ βίβλωι τὴν αὐτοῦ θεογονίαν, ὡς ἔφης, καὶ κόσμου κτίσιν ἐξέθετο, ἐν αὐτῆι καὶ περὶ τῆς ὑμῶν οὕτω καθυπεσήμανεν ματαιότητος· οὔτε κακοῖς προσερχόμενοι νοῆσαι φῶτες οὔτε ποιὸν μάλα προτρέψαι κακότητος ἔχουσιν.*

Suid. s. *Ὀ. Κροτωνιάτης* (test. nr. 177) *Ὀ. Κροτωνιάτης ἐποποιός, ὃν Πεισιστράτωι τῶι τυράννωι Ἀσκληπιάδης* (sc. Myrleanus, v. etiam Heegium 26) *φησὶν ἐν τῶι ἕκτωι βιβλίωι τῶν γραμματικῶν· Δωδεκαετηρίδας* (Diels II³ 164, 7 Tzetzam secutus cf. Lob. I 424 s. et Bollium ap. Heegium 70; *δεκαετηρίδα, δεκαετηρίαν* codd. praeter *δεκαετηρίας* Brux.; *Δωδεκαετηρίαν* Lamb. cf. Gisekium 102; Heegium 18; F. Bollium *Aus der Offenbarung Johannis Στοιχεῖα* I 79 s.), *Ἀργοναυτικὰ καὶ ἄλλα τινά.* Tzetz. Chiliad. XII 144 p. 445 Kiessl. (v. supra p. 267) *κἂν συγχωρήσωμεν αὐτοὺς* (sc. Atlantem et Herculem Metone astrologo antiquiores) *μὴ γράψαι περὶ τούτων, Ὀ. ὁ μέγας, σύγχρονος ὑπάρχων Ἡρακλέϊ, γράψας Ἐφημερίδας τε* (frr. 271—279) *καὶ Δωδεκα⟨ε⟩τηρίδας καὶ περὶ ἄλλων ἀκριβῶς, ἐλέγχει τούτους ψεύστας.* Cf. Tzetz. ad Hesiod. Op. et Dies 568 (Gaisford II 335, 17) *Ὁ δὲ μαθηματικῶς πάντα παρακελεύεται δρᾶν· οἷον* sequuntur frr. 282. 263. 266. Carminis de agriculturae

(*Γεωργία*) partem Dodecaeterides fuisse iure negat Heeg 19 cf. fr. 282. Num fr. 281 ad Georgiam pertinuerit, ambiguum cf. Heegium 47. Forsitan spectat ad Dodecaeterides Orphicas Censorin. De die natali 18, 6 p. 53, 5 Jahn (v. fr. 250) *ob hoc in Graecia multae religiones* (*regiones* D) *hoc intervallo temporis summa caerimonia coluntur, Delphis quoque ludi qui vocantur Pythia post annum octavum olim conficiebantur. proxima est hanc magnitudinem quae vocatur dodecaeteris ex annis vertentibus duodecim. huic anno Chaldaico nomen est, quem genethliaci non ad solis lunaeque cursus sed ad observationes alias habent accomodatum, quod in eo dicunt tempestates, frugumque proventus ac sterilitates, item morbos salubritatesque circumire.*

249. (21) Tzetz. Chiliad. XII 399 vs. 152 p. 44 K. *τῶν Δωδεκα⟨ε⟩τηρίδων δὲ ἡ καταρχὴ τοιάδε·*

δεῦρό νυν οὔατά μοι καθαρὰς ἀκοάς τε πετάσσας
κέκλυθι τάξιν ἅπασαν, ὅσην τεκμήρατο Δαίμων
ἔκ τε μιῆς νυκτὸς ἠδ' ἐξ ἑνὸς ἤματος αὔτως.

Herm. XXXVII 4; Lob. I 416; Giseke 102; Heeg 20. 26 fr. 1. *Δαίμων Εὐχ. πρὸς Μουσ.* 31; Hymn. LXXIII *Δαίμονος* (cf. XXVII *Μητρὸς θεῶν* 4 ss.; supra fr. 83, infra fr. 255 *ὡρίσθη ἀπ' ἀρχῆς πάμφορον* (sive *ὑπὸ Δαίμονος* sive *ὑπὸ παντοκράτορος δημιουργοῦ* Heeg 20 n. 2). Cf. Parmenid. fr. 1 vs. 3 (Diels I³ 148) et fr. 12 (Diels I³ 161) *αἱ γὰρ στεινότεραι πλῆντο πυρὸς ἀκρήτοιο, αἱ δ' ἐπὶ ταῖς νυκτός, μετὰ δὲ φλογὸς ἵεται αἶσα· ἐν δὲ μέσσωι τούτων δαίμων ἣ πάντα κυβερνᾶι* cum Pfeifferi commentatione fr. 83 indicata.

250. (249. 250) Censorin. De die natali 18, 11 p. 55, 6 Jahn *est praeterea annus, quem Aristoteles maximum potius quam magnum appellat, quem solis et lunae vagarumque quinque stellarum orbes conficiunt, cum ad idem signum, ubi quondam simul fuerunt, una referuntur: cuius anni hiemps summa est cataclysmos, quam nostri diluvionem vocant, aestas autem ecpyrosis, quod est mundi incendium. nam his alternis temporibus mundus tum exignescere tum exaquescere videtur. Hunc Aristarchus putavit esse annorum vertentium IICCCCLXXXIIII, Aretes Dyrrhachinus VDLII, Heraclitus* (Diels I³ 74 n. 13) *et Linus XDCCC, Dion XDCCCLXXXIIII,* | 56 Jahn *O. CXX, Cassandrus tricies sexies centum milium: alii vero infinitum esse nec umquam in se reverti existimarunt.* Plutarch. De def. oracul. 12 p. 415 f.

(test. nr. 251) *καὶ ὁ Κλεόμβροτος* (Gerth *RE*[2] XI 679 n. 4) *'ἀκούω ταῦτ'' ἔφη 'πολλῶν καὶ ὁρῶ τὴν Στωικὴν ἐκπύρωσιν ὥσπερ τὰ Ἡρακλείτου καὶ Ὀρφέως ἐπινεμομένην ἔπη οὕτω καὶ τὰ Ἡσιόδου καὶ συνεξάπτουσαν'.*[1]

1 *συνεξάπτουσαν* Wyttenb.; *συνεξαπατουσαν* codd.; *συνεξαπατῶσαν* Ab.

Lob. II 792; Boll ap. Heegium 70; Geffcken *Herm.* XLIX 1914, 336 s.; J. Kroll ibidem L 1915, 143.

251. Dodecaeteris Orphica (V, v. Heegium Diss. 17) *Περὶ τῆς φύσεως τῶν ιβ' ζωιδίων καὶ πρὸς τὰ ἐνιαύσια καταστήματα τῶν φυσικῶν ἰδιωμάτων* vestigiis dactylicis ornata, e codd. Vatican. gr. 1290 fol. 69ᵛ, Monac. gr. 287 fol. 92ᵛ, Mutin. gr. 85 fol. 23ᵛ edita a Bollio Catalog. cod. astrologorum graecor. V 1, 241. *⟨Διὸς Κριὸν περιπολεύοντος⟩*[1] *τὸ [δὲ] ἔτος [ὅπερ αὐτὸς κυριεύσει]*[2] *ὑπάρχει πολεμικὸν ἀπ' ἀρχῆς, πάμφορον πάνυ, παντοίας τροφὰς ἐπιφέρον· πτώσεις δὲ ἀνθρώπων·*[3] *καὶ τετράποδα θάλψουσι πάντα.*[4]

1 add. Heeg. 2 uncis inclus. idem. Eadem vel similia addidit aut uncis inclusit Heeg etiam in sequentibus fragmentis. 3 *πάνυ πάμφορον . . ., παντοίας δὲ τροφὰς ἐπάγει . . . πτώσεις δ' ἀνθρώπων* temptat idem. 4 *⟨οἶνος χρηστὸς⟩* add. post *πάντα* idem afferens Geopon. I 12 p. 22, 16 Beckh (Oder *Rhein. Mus.* LXV 1890, 70 et Diels II[8] 128 n. 8) *ὁ δὲ Δημόκριτος λέγει τὸν οἶνον χρηστὸν καὶ παράμονον εἶναι, εὔθετον δὲ εἶναι τὸ ἔτος πρὸς μόνην ἀμπέλων φυτείαν.*

Boll *Sphaera* 330 s.; Heeg 17. 21. 24. 26 fr. 2.

252. Dodecaeteris V (cf. fr. 251) *⟨Διὸς Ταῦρον περιπολεύοντος⟩ τὸ [δὲ] ἔτος [ὅπερ αὐτὸς κυριεύσει] κατόμβριμόν*[1] *ἐστιν ἀπ' ἀρχῆς καὶ τὰ ὄψιμα τότε μᾶλλον οἴσουσι καρπόν.*

1 *καθόμβριμον* codd.

Heeg 27 fr. 3.

253. Dodecaeteris V (cf. fr. 251) *⟨Διὸς Διδύμους περιπολεύοντος⟩ τὸ [δὲ] ἔτος [οὗπερ αὐτὸ*[1] *ἕξει τὴν κυριότητα] μόνος σῖτος γένηται· αὐχμηρὸς δὲ καιρὸς καὶ τὰ σπέρματα κατακαύσει· ἄμπελος καὶ συκῆ ἀνθέξεται καρπῶν.*[2]

1 *οὗπερ αὐτὸ* i. e. *τὸ δωδεκατημόριον* Boll; *ὅπερ αὐτὸς* codd. 2 *καρπῶν* Boll; *καρπόν* codd.

Heeg 27 fr. 4.

254. Dodecaeteris V (cf. fr. 251) *⟨Διὸς Καρκίνον περιπολεύοντος⟩ τὸ [δὲ] ἔτος [αὐτοῦ] τετράποδα οὔποτε θάλψουσι· πενταμηνιαῖος ὁ χειμὼν κρατήσει τὸ μῆκος· πτώσεις δὲ καὶ*

λοιμός, τετραπόδων πλῆθος ὄλλυται· καὶ τὸ τῶν Διδύμων[1] *ἔτος Καρκίνος*[2] *καταπίνει.*

1 *ὤληται τοῦ Διδύμου* Mon. 2 *Καρκίνος καταπίνει* Boll citans Geopon. I 12, 16 p. 23, 24 Beckh de anno Geminorum *ἄμεινον δὲ καρποὺς ἀποθέσθαι διὰ τὴν ἐν τῶι ἐρχομένωι ἔτει ἐσομένην ἀφορίαν* (cf. *Archiv Religionsw.* XII 1909, 150); *καρκίνον καταπίει* codd.

Heeg 27 fr. 5.

255. Dodecaeteris V (cf. fr. 251) ⟨*Διὸς Λέοντα περιπολεύοντος*⟩ *τὸ* [*δὲ*] *ἔτος* [*αὐτοῦ, ὅπερ κυριεύσει*] *ὡρίσθη ἀπ' ἀρχῆς πάμφορον* (cf. ad fr. 249)· *πλουτήσει ἐν οἴνωι καὶ ἐλαίωι παντί, ἀλλὰ τῶν θηρίων τότε ἐπάνοδος ἔσται· βορὰ τετραπόδων· βροτοῖς δὲ μῆνες ἐρίδων·*[1] *ἐλαίας ὁ καρπὸς ὀλεῖται· συκῆ καρποφορεῖ· καὶ ἄμπελος ἐκβλύσει τὸν οἶνον.*

1 *ἐρίδων* Boll; *ἐρήδουν* codd.; *μῆνες δὲ βροτοῖς ἐρίδων* ⟨*πλέοι*⟩ temptat Heeg.

Heeg 27 fr. 6.

256. Dodecaeteris V (cf. fr. 251) ⟨*Διὸς Παρθένον περιπολεύοντος*⟩ *τὸ* [*δὲ αὐτῆς*] *ἔτος λοιμοῦ ὑπάρχει ποιητικόν,* ⟨*βοῶν δὲ μάλιστα·*⟩[1] *ἀνθρώπων στενώσεις· τετραπόδων βρώματα λήψει· καὶ κεραυνοβόλοι*[2] *νεφέλαι τὰ σπέρματα κατακαύσουσι·*[3] *πτώσεις δὲ ἀνθρώπων ἐπικοίνως τρεῖς ἐπὶ δύο.*

1 ⟨*βοῶν δὲ μάλιστα*⟩ suppl. Heeg. 2 *κεραυνοβόλαι* codd. 3 *κατακαύσει* codd.; *ἢ δὲ κεραυνοβόλοι νεφέλαι* ⟨*κατὰ καρπὸν*⟩ *ἔκαυσαν. πτώσεις δ' ἀνθρώπων ἐπικοίνως* (*ἐπικενεῖς* codd.) *τρεῖς ἐπὶ δοιάς* temptat Heeg.

Heeg 28 fr. 7.

257. (14. 189) Tzetz. Exeges. in Iliad. 26, 1 Herm. *καὶ μαθητὴν δὲ αὐτόν* (sc. *τὸν Ὅμηρον*) *φημι μᾶλλον Ὀρφέως εἶναι ἢ Προναπίδου· εὑρίσκω γὰρ αὐτὸν ἃ μέν τινα τῶν Ὀρφέως ἐπῶν καθ' ὁλοκληρίαν πρὸς τὴν αὐτοῦ μετοχετεύσαντα ποίησιν, ἕτερα δὲ πάλιν καθ' ἡμίσειαν παρασπάσαντα, ἔστι δ' ἃ καὶ μεταφράσαντα ἢ καὶ ἀλληνάλλως μεταστρέψαντα ποίησιν ὡς τὸ* sequitur fr. 268 *καὶ τό·*

ἕκτον ἔτος· τὸ μὲν οὔτις ἐπέφρασεν[1] *οὐδ' ἐνόησεν*

1 *ἐπεφράσατ'* Mullach.

Herm. p. 511 n. 33; Lob. I 554; Heeg 23. 28 fr. 7.

258. Dodecaeteris V (cf. fr. 251) ⟨*Διὸς Ζυγὸν περιπολεύοντος* [*τὸ δὲ ἔτος, ὅπερ αὐτὸς κυριεύσει*] *βοῶν τότε ἀνά-*

στάσις ἔσται· τετράποδα θάλψουσι· βροτοῖς ἐπὶ γῆς κομήεντα πάμφορα.

Heeg 28 fr. 8.

259. Dodecaeteris V (cf. fr. 251) ⟨*Διὸς Σκορπίον περιπολεύοντος*⟩ [*τὸ δὲ ἔτος, ὅπερ αὐτὸς κυριεύσει*] *σῖτος καὶ ἔλαιον γίνεται· τὰ δ' ἄλλα πάντα οὔποτε θάλψουσι· δρύες καρποφορήσουσι· τοῖς ἀκάρποις* ⟨. . . . . .⟩[1] *βρώματα δοῦναι.*

1 Lacunam indicavit Heeg.

Heeg 25. 28 fr. 9.

260. Dodecaeteris V (cf. fr. 251) ⟨*Διὸς Τοξότην περιπολεύοντος*⟩ [*τὸ δὲ ἔτος, ὅπερ αὐτὸς κυριεύσει*] *πολεμικόν ἐστιν ἀπ' ἀρχῆς· καὶ ἐν ἡμέραις θερισμοῦ τὰ ἅρματα πάντα πεσεῖται· καὶ τῆς εὐθηνίας τὸν καρπὸν λοιμὸς ὑποτάσσει.*

Heeg 28 fr. 10.

Cf. Palchi *Περὶ τῶν ιβ' ζωιδίων καὶ τῶν δ' καιρῶν* ap. Bollium Catalog. V 1, 177, 24 *τὸ δὲ ἔτος τοῦτο* (sc. *Τοξότου*) *οὔτε πρὸς φυτείαν οὔτε πρὸς θεραπείαν* ⟨*ἐπιτήδειον* inser. Boll⟩· *ἐκλείψουσι δὲ ἐν αὐτῶι καὶ πηγαί.* Vide Bollii adnotationem.

261. (22) Tzetz. Exeges. in Iliad. 127, 4 Herm. *ὁ παλαιὸς γὰρ Ὀ., ἀφ' οὗπερ ὁ ἐμὸς χρυσοῦς Ὅμηρος ὡς ἀνθεμουργὸς μέλισσα πολλὰ* (Abel; *Ὅμηρος πολλὰ ἀνθεμουργὸν μέλισσαν* Herm.) *ἄνθη ἐπῶν ἀπεδρέψατο, ἐν ταῖς ἑαυτοῦ Δωδεκαετηρίσιν οὐ νήδυμόν φησιν, ἀλλὰ ἤδυμον* (Od. *ν* 79 *ἤδυμος ὕπνος*) *λέγων οὑτωσί·*

ὧδε γὰρ ἂν μίμνοι καθαρός τε ⟨*καὶ*⟩[1] *ἔμπεδος*[2] *οἶνος*
ἤδυμος εὐώδης τε· καλὸν δ' ἔτος ἐστὶ φυτείηι.[3]

1 add. Lob. 2 *ἔμπεδος* Koechly Opusc. phil. I 237; *ἔμπλεος* codd. 3 *φυτείη* codd.; *φυτείης* error Hermanni.

Herm. 512 n. 34; Lob. I 424; Boll *Sphaera* 330 n. 1; Heeg 21. 29 fr. 10.

Cf. fr. 251 n. 4.

262. Dodecaeteris V (cf. fr. 251) ⟨*Διὸς Αἰγοκέρωτα περιπολεύοντος*⟩ [*τὸ δὲ ἔτος, ὅπερ κρατήσει*] *ἡ γῆ οἶνον οἴσει ὡς ὕδωρ· καὶ τὰ πρωτογενῆ τῆς γῆς τότε οἴσουσι καρπόν, ὄψιμον δὲ καρπόν· γαῖαν μήποτε μείξῃς·*[1] *κεραυνοβόλος*[2] *δὲ ὀμίχλη τὰ πάντα μαρανεῖ· καὶ τὸ κρύος τῆς πάχνης ὀλέσει καρπούς.*

1 *μίξῃς* Heeg; *μίξεις* codd. 2 *κεραυνοβόλος* Boll; *κεραυνοβόλως* codd.

Heeg 29 fr. 11.

263. (12) Tzetz. ad Hesiod. Op. et Dies 568 (Gaisford II 335, 17). Cf. supra p. 268. *Ὀ. δὲ μαθηματικῶς πάντα παρακελεύεται δρᾶν· οἷον* . . . v. ad fr. 282, ubi sequitur *Διὸς Ὑδροχόου περιπολεύοντος μὴ πλεύσῃς· χαλεπὴ γὰρ τότε λίαν ἐστὶν ἡ θάλασσα.*

Lob. I 424; Heeg 29 fr. 12.

264. Dodecaeteris V (cf. fr. 251) *τὸ* [*δ' αὐτοῦ*] *ἔτος Ἥλιος καύσωνι ῥίψει·*[1] *αὐχμηρὸς γὰρ καιρὸς γένηται· καὶ τὰ σπέρματα πάντα μαρανεῖ· λοιμὸς γὰρ γένηται μέγας εἰς πάντα.*

1 an ⟨*ἀστάχυας*⟩ *καύσωνι ῥίψει?* Heeg.

Heeg 29 fr. 12.

265. Dodecaeteris V (cf. fr. 251) *τὸ* [*δὲ*] *ἔτος* [*ὅπερ οἱ Ἰχθύες κυριεύσουσιν*] *εὖ μάλα τὰ πάντα ἀναπληροῦσιν.*

Heeg 29 fr. 13.

266. (12) Tzetz. ad Hesiod. Op. et Dies 568 (Gaisford II 335, 21) *τοῦ αὐτοῦ Διὸς ἐν Ἰχθύσιν ὄντος καλὸν γάμους ποιεῖν.*

Heeg 29 fr. 13.

267. (23) Schol. Lycophr. 523 p. 189, 10 ss. Sch. *κοίρανος γὰρ ὁ δικτάτωρ*[1] *λέγεται, τύραννος δὲ ὁ βίαιος μόναρχος, βασιλεὺς δὲ ὁ ἐννόμως καὶ δικαίως κρατῶν. δείκνυσι δὲ καὶ Ὀ. τὴν τούτων διαφορὰν οὑτωσὶ λέγων ἐν ταῖς Δωδεκαετηρίσιν·*

> *ἔστι*[2] *δ' αὖ τις*[3] *ἀνὴρ ἢ κοίρανος ἠὲ τύραννος*
> *ἢ βασιλεύς, ὃς τῆμος ἐς οὐρανὸν ἵξεται αἰπύν.*

1 *διατάκτωρ* priores. 2 *ἔσται* II class. codd. Tzetz. 3 *αὖτις* Lob.; *οὗτος* Koechly Opusc. philol. I 237.

Lob. I 425; Heeg 22. 30 fr. 14; J. Kroll *Lehren des Herm. Trismeg.* 322.

Ad vs. 2 cf. Empedocl. *Καθαρμοί* fr. 146 (I³ 278, 4 Diels) *εἰς δὲ τέλος μάντεις τε καὶ ὑμνοπόλοι καὶ ἰητροὶ καὶ πρόμοι ἀνθρώποισιν ἐπιχθονίοισι πέλονται, ἔνθεν ἀναβλαστοῦσι θεοὶ τιμῇσι φέριστοι.*

268. (14) Tzetz. Exeges. in Iliad. 26, 2 Herm. *εὑρίσκω γὰρ αὐτὸν* . . . (v. fr. 257) *ὡς τό·*

> *σηκάζειν πυρούς*[1] *τε καὶ ἀστάχυας κατ' ἀλωὰς*
> *ἀνδρῶν λικμώντων, ὅτε τε ξανθὴ* ⟨*Δη*⟩*μήτηρ*[2]
> *κρίνῃ ἐπειγομένων ἀνέμων καρπόν τε καὶ ἄχνας.*

1 *πυρούς* codd.; *πυρσούς* error Herm. in Orph. 2 ⟨*Δη*⟩*μήτηρ* Lob.

Herm. *Orph.* 511 n. 33; Lob. I 423; Heeg 30 fr. 15.

269. (15) Tzetz. Exeges. in Iliad. 26, 20 Herm. post fr. 193 (v. fr. 257, ubi Tzetzae verba Orphei sententias introducentia inveniuntur) allatum *καὶ τό·*

σμήνεα δ' ἐργάζοιο[1] *μελισσάων ἀδινάων*

1 *ἐργάζοιο* Lob.; *ἐργάζεο* cod.; *εἰργάζοντο* Mullach.

Herm. 511 n. 33; Lob. I 423.

270. (16) Tzetz. ad Hesiod. Op. et Dies 502 (Gaisford II 308, 23) *τὰ δὲ ἔπη ἐκ τῶν Ὀρφέως μετεβλήθη· φησὶ γὰρ Ὀρφεύς·*

πολλαὶ δ' οὐρανόθεν καὶ ἐπαρτέες ἐκ νεφελάων
τῆμος ἐπόρνυνται φηγοῖς καὶ δένδρεσιν ἄλλοις
οὔρεσί τε σκοπέλοις τε καὶ ἀνθρώποις[1] *ἐριθύμοις*
πηγυλίδες καὶ ἔσονται ἀμειδέες· αἵδε γὰρ[2] *ὄντως*
τρύξουσιν[3] *καὶ θῆρας ἐν οὔρεσιν· οὐδέ τις ἀνδρῶν*
προβλώσκειν μεγάρων δύναται κατὰ γυῖα δαμασθεὶς
ψύχεϊ λευγαλέωι· πάχνηι δ' ὕπο γαῖα μέμυκε.

1 *ἀνθρώποις* Heinsius; *ἀνθρώπων* codd. 2 *αἱ δὲ γὰρ* codd. 3 *τρύξουσιν* vel *τρύζουσιν* codd.; *τρύουσιν* Heinsius.

Herm. XXXI; Lob. I 423; Heeg 22. 30 fr. 16.

Orphicus imitari videtur Hesiodi Op. et Dies 504

μῆνα δὲ Ληναιῶνα, κάκ' ἤματα, βουδόρα πάντα,
τοῦτον ἀλεύασθαι, καὶ πηγάδας, αἵ τ' ἐπὶ γαῖαν
πνεύσαντος Βορέαο δυσηλεγέες τελέθουσιν,
ὅς τε διὰ Θρήικης ἱπποτρόφου εὐρέϊ πόντωι
ἐμπνεύσας ὤρινε· μέμυκε δὲ γαῖα καὶ ὕλη
κτλ.

II. *Ἐφημερίδες*

Huius carminis astrologici titulus solum traditus est ter a Tzetza Chiliad. XII 399 vs. 146 (cf. supra p. 268), in Prolegomenis ad Hesiodi Op. et Dies 18 (II 21 Gaisf.) fr. 271, ad Aristophan. Nub. 1178 (fr. 279). Argumentum leviter indicat Procl. ad Hesiod. Op. et Dies 763 (Gaisf. II 414, 29): *αἱ περὶ τῆς τῶν ἡμερῶν ἐκλογῆς καὶ ἀπεκλογῆς παραινέσεις ἔχουσι μὲν τὰς ἀρχὰς ἐκ τῶν παρατηρήσεων, ἄλλαι δὲ παρ' ἄλλοις ἐκράτησαν, ἐπεὶ καὶ παρ' Ὀρφεῖ τινες αὐτῶν διακρίσεις καὶ ἐν τοῖς Ἀθηναίων πατρίοις* (sc. Philochori et Amphoteri

cf. ad vs. 808 Gaisf. II 441, 17) *διωρίσθησαν, καὶ αἱ μὲν ἀγαθαί τινες, αἱ δὲ φαῦλαι, μέσαι δέ τινες εἶναι. καὶ οὐχ ὅλας ἡμέρας μόνον ὑπέλαβόν τινες εὐκαιρίαν ἔχειν πρὸς καταρχάς τινων πράξεων, ἀλλὰ καὶ μόρια τῆς ἡμέρας, ὅτε μὲν τὰ ἑωθινὰ ἐπαινοῦντες, ὅτε δὲ τὰ* | [415 Gaisf] *περὶ δείλην ὀψίαν, ὅπου δὲ καὶ τοῖς μὲν θεοῖς οἰκεῖα τὰ πρὸς μεσημβρίαν εἰρήκασιν, ἥρωσι δὲ τὰ μετὰ μεσημβρίαν* (Lob. I 411; fr. 24 Ab.). Similiter Procl. ad vs. 822 *αἵδε μὲν ἡμέραι εἰσὶν ἐπιχθονίοις μέγ' ὄνειαρ, αἱ δ' ἄλλαι μετάδουποι, ἀκήριοι, οὔ τι φέρουσαι. ἄλλος δ' ἀλλοίην αἰνεῖ, παῦροι δὲ ἴσασιν. ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ* (Gaisf. II 445, 18) *καὶ γὰρ Ὀ. εἶπε περὶ τῶν ἡμερῶν τούτων, ἄλλας ἐπαινῶν καὶ ἄλλας ἐκβάλλων. καὶ Ἀθηναῖοι κατὰ τὴν παρατήρησιν ἴδια περὶ αὐτῶν ἐδόξασαν.* Cf. Moschopul. ad vs. 822 (Gaisf. II 446, 20; Lob. I 413). Tzetzes ad eundem versum (Gaisf. II 445, 27) *συμπεράνας τὴν τῶν ἡμερῶν διδασκαλίαν νῦν ἐπιλογικῶι κεφαλαίωι ἐπαναληπτικῶς λέγει* (sc. *Ἡσίοδος*)· *αἵδε μὲν ἡμέραι ἀνύσιμοι, αἱ δὲ λοιπαὶ ἀποφράδες· ἄλλος δ' ἄλλην αἰνεῖ. τοῦτο δέ φησιν, ὅτι Ὀ. ἄλλας παραδίδωσιν, ἑτέρας δὲ ὁ Μελάμπους. ὀλίγοι δὲ γινώσκουσι τὸ ἀληθές· ἡ γὰρ ἡμέρα ὅτε μὲν συνεργεῖ καί ἐστι μήτηρ, ὅτε δὲ ἐναντιοῦται καὶ δοκεῖ μητρυιά* (Lob. I 429; fr. 24 Ab.). Melampodis *Μέθοδος περὶ τῶν τῆς Σελήνης προγνώσεων* invenitur in Catalogo cod. astrolog. IV 110; cf. Heegium 33 n. 5. Proclus Plutarchum sequi videtur: Reitzenstein *Nachr. Goett. Ges. Wiss.* 1906, 40. Cf. Vatic. gr. 1056 *Ἐκλογαὶ τῶν ἡμερῶν ἀπὸ τῶν τῆς Σελήνης μονῶν* et *Αἱ ἀπὸ τῶν ζωιδίων ἐκλογαί* et *Αἱ ἐκλογαὶ τῶν ἡμερῶν ἐκ τοῦ εἶναι τὴν Σελήνην εἰς ἕκαστον τῶν δώδεκα ζωιδίων, ἥτις ἐκλογή ἐστι παὶ πλατυτέρα* (Catalog. cod. astrolog. graecor. V 3 p. 90 ss.; Heeg Diss. 33. 71). Aetatem Alexandrinam sapere hanc poesin Orphicam censuit idem 39. 45. Cf. etiam Iuvenal. II Sat. VI 569 *hae tamen ignorant quid sidus triste minetur Saturni, quo laeta Venus se proferat astro, quis mensis damnis, quae dentur tempora lucro: illius occursus etiam vitare memento, in cuius manibus ceu pinguia sucina tritas cernis Ephemeridas, quae nullum consulit et iam consulitur, quae castra viro patriamque petente non ibit pariter numeris revocata Thrasylli. ad primum lapidem vectari cum placet, hora sumitur ex libro; si prurit frictus ocelli angulus, inspecta genesi collyria poscit* et Ammian. Marcellin. XXVIII 4, 24 (II 472, 6 Clark) *multi . . . nec lavari arbitrantur se cautius*

posse, antequam Ephemeride scrupulose siscitata didicerint, ubi sit verbi gratia signum Mercurii, vel quotam cancri sideris partem polum discurrens obtineat luna.

271. (25) Ioann. Tzetz. Prol. ad Hesiod. 18 (Gaisf. II 21, 6) *καὶ τῶν μὲν Ἔργων Ὀρφέως οὕτως* (v. fr. 280) *ἐστὶν ἡ ἀρχή. αἱ δὲ Ἡμέραι, ἤτοι αἱ Ἐφημερίδες αὐτοῦ ἄρχονται οὕτως·*

πάντ' ἰδάῃς, Μουσαῖε θεοφραδές. εἰ δέ σ' ἀνώγει
θυμὸς ἐπωνυμίας Μήνης κατὰ μοῖραν ἀκοῦσαι,[1]
ῥεῖά τοι ἐξερέω. σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν,
οἵην τάξιν ἔχοντα κυρεῖ. μάλα γὰρ χρέος ἐστὶν
ἴδμεναι, ὡς αὕτη παρέχει κλέος ἄντυγι μηνός.

Tres priores versus habet Tzetzes etiam Chiliad. XII 399 vs. 149 p. 445 K. 1 *ἀκοῦσαι* Prol. Hesiod.; *ἀεῖσαι* Chiliad.

Lob. I 414; Heeg 36.

Ad Musaei allocutionem cf. test. nr. 168.

272. Cod. Monacensis gr. 287 fol. 19ᵛ (Boll Catalogus cod. astrolog. VII 101). Cf. VII 12 n. 7. *Περὶ τῶν τῆς Σελήνης ἡμερῶν. Ἡσιόδου·* (fol. 20) *εὔχρησται τῆς Σελήνης ἡμέραι αὗται· δ' ζ' η' θ' ια' ιβ'* [*ις'*] *ιζ'* [*ιη'*] *ιθ' κ' κζ' λ'. Ὀρφέως· πεφωτισμέναι καὶ εὔχρησται τῆς Σελήνης αὗται·* [*α'*] *β' γ' ζ' θ' ια' ιγ' ιδ' ις'* [*ιζ'*] *ιθ' κ' κγ' κς' κη'. ἐν ταύταις, ὥς φησιν Ὀρφεὺς καὶ Ἡσίοδος, ἅπασα ἀρχὴ εὐθετεῖ· καὶ χρὴ ἀφορᾶν καὶ πρὸς τὰ σχήματα τῆς Σελήνης καὶ τοὺς τύπους αὐτῆς καὶ τὰς συναφείας καὶ τὰς ἀπορροίας*[1] *καὶ τοὺς καλοποιοὺς τῶν ἀστέρων καὶ τοὺς συλληπτικούς.*

Unci Heegii sunt. 1 *ἀπορροίας* Boll; *ἀπορίας* cod.

Heeg 44. 71.

Cf. Hesiodi Op. et Dies 765 ss. Ad *πεφωτισμέναι* cf. quae Heeg Diss. 71 edidit e cod. Vatic. gr. 952 fol. 168ᵛ *Διήγησις Πυθαγόρου περὶ πεφωτισμένων ἡμερῶν τῆς Σελήνης καὶ ἀφωτίστων.*

273. (29) Procl. ad Hesiod. Op. et Dies 767 (Gaisf. II 419, 16), quem exscripsit Eustathius v. Lob. I 412, *ἡ μὲν οὖν πρώτη, ἣ καὶ ἕνη ῥηθεῖσα ὡς ἀρχὴ θεῖόν ἐστι· καὶ γὰρ πᾶσαν ἀρχὴν φησι Πλάτων* (Phaedr. 245 d) *εἶναι θείαν, καὶ γενέθλιος αὕτη*[1] *καλεῖται τοῦ μηνός· καὶ ὁ μὴν ἐν αὐτῆι παρ' Ὀρφεῖ προσαγορεύεται* **μονόκερως μόσχος**· *ἁπλῶς μὲν γὰρ ὁ μὴν ὡς γενέσεως ἐργάτης λέγεται βοῦς, ὡς δὲ πρώτην ἔχων τότε τῆς οἰκείας οὐσίας τὴν ἔκφυσιν*[2] *μόσχος, καὶ διὰ τὸ μοναδικὸν*

μονόκερως. Idem testatur Ioann. Protospathar. ad eundem versum (Gaisf. II 451, 27) *ὁ δὲ μὴν παρ' Ὀρφεῖ μόσχος μονόκερως ὀνομάζεται καὶ μόσχος μὲν ὡς πρώτην ἔχων τῆι νέαι τὴν ἔκφυσιν, μονόκερως δὲ διὰ τὸ μοναδικὸν αὐτοῦ.*

1 *αὐτοῦ* Gaisford; *αὕτη* Ab., Heeg. 2 Cf. Protospatharium. *ἔκφυσιν* etiam cod. Rhedig., Herm. Schultz *Abhdlg. Goett. Ges. Wiss.* XII 1910 nr. 4 p. 6; *ἔκφασιν* vulgo.

Lob. I 412; Heeg 37, qui iure papyrum *Mimaut* affert (cf. Reitzenstein *Poimandres* 147. 257).

Hymn. IX *Σελήνης* vs. 2 *ταυρόκερως Μήνη,* vs. 9 *κερασφόρε,* Maxim. *Περὶ καταρχῶν* 50 *κεραῆς ταυρώπιδος ἀργέτιν αἴγλην,* 587 *κερασφόρος ἀργέτα Μήνη.* Forsitan huc pertinent etiam, quae de Lunae nominibus ex Epigenis *Περὶ τῆς Ὀρφέως ποιήσεως* libro Clemens Alex. Strom. V 8, 49, 3 (fr. 33) exposuit; cf. Heegium 38. Ad *μοναδικόν* vide Dieterichii *Abraxas* 47.

274. (26) Tzetz. ad Hesiod. Op. et Dies 763 (Gaisf. II 416, 13) *κατάρχεται γοῦν* (sc. *Ἡσίοδος*) *καί φησιν ὁποία τούτων ποίωι τῶν ἔργων καθέστηκε χρήσιμος, κἂν δεινῶς (δειλῶς?) καὶ συγκεχυμένως καὶ κακοζήλως, ἔτι δὲ καὶ ψευδῶς καὶ οὐχ, ὥσπερ ὁ μέγας Ὀ. διδασκαλικῶς τε καὶ τεταγμένως καὶ κατ' εὐκρίνειαν καὶ τὸ πλέον τεχνικωτέρως καὶ ἀληθῶς. ἐκεῖνος μὲν γὰρ οὕτω φησί·*

πρῶτον[1] *μὲν πρώτωι ἐνὶ ἤματι φαίνεται Ἄρης,*
Μήνη τ' εἰς Ἄρην[2] *ἐπιτέλλεται· ἴσχεο δ' ἔργων.*
. . . .
τήνδε γὰρ ἐξανύσασα φύσιν δίκερων ἀναφαίνει.
. . . .
αὐτὰρ ἐπὴν τρίτον ἦμαρ ἀπόπροθεν ἠελίοιο,
πᾶσιν ἐπιχθονίοισι φυτοσπόρου αἰτίη ἀλκῆς.
τετράδι δ' αὐξομένη πολυφεγγέα λαμπάδα τείνει.

καὶ καθεξῆς πέντε ἓξ ἑπτὰ μέχρι τῆς τριακοστῆς· οὗτος δὲ (sc. *Ἡσίοδος*) *τριακοστὴν λέγει ἕνηνν.*

1 *πρῶτα* EFH. 2 *Μήνη τ' εἰς Ἄρην* Heeg; *Μήνη δ' εἰς τ' Ἄρην* E; *ὥστ' ἄρρην* FH; *φαίνετ' ἀραίη* (*ἄωρος* Heeg 41) *μήνη, ὅτ' εἰς Ἄρην* Lob.

Herm. XLI; Lob. I 419. 428 (J. Scaligeri tentamina); Heeg 40.

De Martis die natali vs. 1 indicato Heeg 43. Ad vs. 6 cf. Cleostrati Tenedii poetae astrologici fr. 1 ap. Dielesium II³ 197 *ἀλλ' ὁπόταν τρίτον ἦμαρ ἐπ' ὀγδώκοντα μένηισι,* Breithaupt De

Parmenisco Grammatico (*Στοιχεῖα* IV) 31. Ex Selenodromiis Catalog astrol. III 32 et IV 142 affert quasdam similitudines Heeg 41.

275. Tzetz. Exeges. in Iliad. 26, 16 Herm. Praeeunt verba initio fr. 257 exscripta; tum post fr. 48 allatum sequitur

ἕκτηι ἐν ἠριγενεῖ ῥοδοδακτύλωι ἀργυροπέζηι[1]

1 *ἕκτη ἐνήριγεν εἰροδοδακτύλω ἀργυροπέζη* codd.; em. Lob.

Herm. 511 n. 33; Lob. I 597.

276. (148) Ioa. Lyd. De mens. II 12 p. 33, 8 W. cf. Fr. Boertzler *Philolog.* LXXVII (*N. F.* XXXI) 1921, 370 *οἵ γε μὴν Πυθαγόρειοι τῶι ἡγεμόνι τοῦ παντὸς τὴν ἑβδόμην ἀνατίθενται, τουτέστι τῶι ἑνί, καὶ μάρτυς*[1] *'Ο.*[2] *λέγων οὕτως·*

ἑβδόμη, ἣν ἐφίλησεν ἄναξ ἑκάεργος Ἀπόλλων.

Cf. Procl. in Tim. 34 a (II 95, 4 Diehl) *διὰ τοῦτο καὶ ὁ περικόσμιος νοῦς μοναδικός τε καὶ ἑβδομαδικός ἐστιν, ὥς φησιν Ὀρφεύς.*

1 *μάρτυς* om. codd. rec. Barber. et Planud. 2 *ὁ ὀρφεὺς* S.

Lob. I 428; Diels *Festschr. Gomperz* 12; Heeg 43; Roscher *Die hippokrat. Schrift von der Siebenzahl. Ber. Saechs. Akad.* 1919 n. 5 p. 57.

Hesiod. Catalog. fr. 116 Rz.[3] (1913) *Ἰλέα, τόν ῥ' ἐφίλησε ἄναξ Διὸς υἱὸς Ἀπόλλων.*

277. (27) Procl. ad Hesiod. Op. et Dies 804 (Gaisf. II 440, 8) *εἰ δέ, ὥς φησιν Ὀρφεύς, τῆι Ἄτηι ἀνεῖται ἡ ἑπτακαιδεκάτη καὶ διὰ τοῦτο τῆι τε τομῆι τῆς ὕλης ἐστὶν οἰκεία καὶ τῆι τοῦ καρποῦ γυμνώσει τῶν περικαρπίων, ὁ* (Heeg] *καὶ* Gaisf.) *Ἡσίοδος* (vs. 805) *οὐκ ἀμούσως τούτοις τοῖς ἔργοις ἀνῆκε τὴν ἡμέραν.*

Lob. I 413; Heeg 42.

In Selenodromio Catalog. astr. III 36, 12 ss. dies septimus et decimus ita significatur: *ἡμέρα ιζ' ⟨τῆς⟩ σελήνης. Ὕπνος καὶ Θάνατος* (*ὕπνοι καὶ θάνατοι* cod. Mediol.) *ἐγεννήθησαν· Σόδομα καὶ Γόμορρα κατεστράφησαν. αὕτη ἡμέρα χαλεπὴ καὶ ἐπικίνδυνός ἐστιν· εἰς ὁδὸν μὴ ἐξέλθηις, εἰς πρᾶγμα μὴ ἐπιχειρήσηις* (*ἐπιχειρήσεις* cod.). *ταύτηι τῆι ἡμέραι φυλάττου ἀπὸ παντὸς πράγματος. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον κρατηθήσεται. τὰ γεννώμενα ἐπίνοσα καὶ δύστυχα καὶ ἐπικίνδυνα καὶ ὀλιγοχρόνια ἔσονται. ὁ ἀρξάμενος νοσεῖν ταχέως τελευτήσει. ἐὰν δέ τις ὄνειρον ἴδηι, γίνεται τῆι αὐτῆι ἡμέραι καὶ ἄφθονον τηρηθή-*

σεται, μέντοι γε χαλεπόν ἐστι καὶ εἰς ἄλλον ἀποβήσεται. Ad Procli verba cf. etiam Verg. Georg. I 284 *septima post decimam felix et ponere vitem et prensos domitare boves et licia telae addere.*

278. (28) Tzetz. ad Hesiod. Op. et Dies 765 (Gaisf. II 418, 8) καὶ τὴν τριακοστὴν δὲ ἡμέραν οὗτος ἀγαθὴν λέγει, ἣν Ὀ. φαύλην πᾶσιν ἔργοις φησί, δοσοληψίαις δὲ μόναις ἐσθλήν.[1]

1 δυσοληψίαις μόνον ἐστιν αἰσθλή Trinc.; δυσοληψίας Heins.; δοσιληψίαις Lob.

Lob. I 419; Heeg 43.

Catalog. astrol. III 39, 18 ss. ἡμέρα λʹ ⟨τῆς σελήνης.⟩ Πλοῦτος καὶ Τύχη ἐγεννήθη. . . . αὕτη ἡμέρα ἀποπληροφορημένη ἐστὶν εἰς πάντα· ἀγοράσαι, πωλῆσαι, σπείρειν, φυτεύειν, κλαδεύειν, δούλους καὶ ζῶια καὶ βόας κτήσασθαι, παῖδας εἰς μαθησίαν παραδιδεῖν κτλ. et IV 145, 4 ss. τὸ ἥμισυ καὶ γʹ, ἥτις λέγεται λʹ ἡμέρα, παρὰ τριῶν ὡρῶν κοινωνεῖ τῶι Ἡλίωι, ἥτις λέγεται σύνοδος· καὶ αὕτη καλὴ σπείρειν, θερίζειν, ὁδεύειν, πωλεῖν, ἀγοράζειν, γάμους ποιεῖν· ὁ γεννηθεὶς εὐτυχής, ἡ δὲ γυνὴ πονηρά, θυμώδης, ἄστοργος τῶι ἀνδρί.

279. Tzetz. in Aristophan. Nub. 1178 ed. ab H. Keilio *Rhein. Mus.* VI 1848, 617; Nauck Lexicon Vindobonense (Petropoli 1867) 249, 9 ἕνην (ἕνη cod.), ὡς πάλιν πρώτην μονάδα, νέαν ὡς ἀρχηγὸν ἑτέρου κύκλου οὖσαν·

οὕνεκεν ὀλλυμένη περ ἀέλπτως γίνεται αὖτις,

ὡς Ὀ. ἐν Ἐφημερίσι φησίν.

III. Γεωργία

Carmen Orphicum, cui nomen Γεωργία inscriptum erat, extitisse excepto Lascare Proleg. in Orph. in Marm. Taurin. I 98, qui Γεωργικά habet (test. nr. 225; cf. A. Baumstark *Philol.* LIII (*N. F.* VII) 1894, 687; Heegium Diss. 50) unus Tzetzes pluribus locis testis est. Maximi momenti sunt, quae initio commentarii ad Hesiodum 17 (Gaisf. II 19, 19) profitetur Ἡσιόδου Ἔργα καὶ Ἡμέραι τὸ βιβλίον ἐπιγέγραπται, ἤτοι διδασκαλία γεωργίας καὶ ἡμερῶν, καθ' ἃς δεῖ τόδε καὶ τόδε ποιεῖν. οὕτω δὲ ἐπιγέγραπται πρὸς ἀντιδιαστολὴν τῶν ἑτέρων | [20 Gaisf.] αὐτοῦ πεντεκαίδεκα βίβλων Ἀσπίδος Θεογονίας Ἡρωογονίας, Γυναικῶν κατα-

λόγου καὶ λοιπῶν ἁπασῶν· ἔτι δὲ καὶ πρὸς ἀντιδιαστολὴν τῶν τοῦ μεγάλου Ὀρφέως Ἔργων καὶ Ἡμερῶν, ὧν Ἔργων Ὀρφέως ἤτοι τοῦ Περὶ Γεωργίας οὕτως ἐστὶν ἡ ἀρχή· fr. 280; Lob. I 414, qui seclusit cum Gaisfordio *Ἔργων Ὀρφέως ἤτοι τοῦ περὶ Γεωργίας,* Heeg 49. Totus Tzetzae locus depravatus esse videtur. An *τῶν ἑτέρων — ἀντιδιαστολὴν* glossema?

Orphea *μαθηματικῶς* res agrarias exposuisse (*οἷον Σελήνης τρεχούσης περὶ Παρθένον πάντα φυτεύειν πλὴν μόνων ἀμπέλων*) Tzetzes ad vs. 568 dicit (cf. supra p. 268); v. Heegium 46. Hoc quoque carmen Musaeo dedicatum fuisse (cf. supra fr. 271) evinci non potest, quod contra C. G. Lenzium (De fragmentis Orphicis ad astronomiam et agrorum culturam spectantibus commentatio Diss. Goetting. 1789, 15) iure monuit Heeg 48.

280. (11) Tzetz. Prol. ad Hesiodum 17 cf. supra p. 279 s.

εἰ δὲ γεωπονίης[1] *σε φιλομβρότου ἵμερος αἱρεῖ*
καί τ' ἐπὶ χρυσείης γενεῆς ἐντύνεαι ἔργα,
γαῖαν ἐπὶ ζείδωρον ἄγων εὐκαμπὲς ἄροτρον,
ἢ γυροῖς ἔνι κλῆμα Μεθυμναίου λελίησαι
κατθέμεναι, καὶ λαρὸν ὀπώρης εἶδαρ ἑλέσθαι
| 21 Gaisf. *ἱμείρεις*[2] *σκαπανῆι τε λαχήμεναι*[3] *ἄμβροτον αἶαν·*
αὐτίκα δή τοι[4] *πᾶσαν ἐτητυμίην καταλέξω,*
ὅππως ἂν πανδῖα Σεληναίη πεπίθοιτο,[5]
ὄμπνιά σοι Δήμητρος ἀερσινόοιο τε Βάκχου
δῶρ' ἀναπεμπέμεναι καὶ ἐπηετανὸν[6] *ὄλβον ὀπάζειν.*

καὶ τῶν μὲν Ἔργων Ὀρφέως οὕτως ἐστὶν ἡ ἀρχή.

1 *γεωργίης* E; *γεωργίας* H. 2 *ἱμείρεις* Ab., Heeg; *ἱμείρῃ* Gaisf.; *ἱμείρει* EG. 3 *λαχῆναι* Tzetz. codd.; *λαχαίνεμεν* v. Maxim. infra. 4 *τοι καὶ* Maxim. 5 Scaliger; *σελήνη πεπύθοιτο* prius. 6 *ἐπηετανὸν* Maxim.; cf. Hom. Hymn. in Mercur. 113 *οὖλα λαβὼν ἐπέθηκεν ἐπηετανά.*

Lob. I 414; Heeg 46.

Ad initium *εἰ δὲ γεωπονίης* cf. exordium carminis *Περὶ σεισμῶν* (fr. 285) *φράζεο δὴ καὶ τόνδε λόγον, τέκος.* Heeg 49. 68. Plane isdem versibus utitur Maxim. 456—465, quos ex Orphei carmine mutuatus esse videtur (cf. frr. 281—284 et Heegium 51. Vs. 6 legitur ap. Maximum vs. 461 *λαχαινέμεν* et vs. 7 Maxim. 462 *τοι καὶ* pro Tzetzae *δή τοι.*

281. (19) Tzetz. Exeges. in Iliad. 33, 14 Herm. *καὶ ὁ Ὀ.* (de Luna)

εἰ μὲν γὰρ στείχῃσιν ἐπ' Ἀρνειοῖο[1] *θοοῖο*[2]

1 *ἀρνίοιο* Maxim. L; *ἀρνείοιο* Fabric. ad. Maxim.; *ἄρ νειοῖο* Tzetz. 2 *θεοῖο* Herm.

Herm. 512 n. 35; Lob. I 422; Heeg 47.
Exscripsit Maxim. 466. Cf. supra p. 269.

282. (12) Tzetz. Chiliad. IV 128 vs. 172 p. 126 Kiessl. (cf. Schol. in Crameri Anecdot. Oxon. III 357) *μέμνηται ταύτης καὶ Ὀ. ἐν Γεωργίαι γράφων·*

Ἀστραίη κούρη δὲ πέλει πρὸς ἅπαντα φερίστη
σπέρματα, καὶ δὲ φυτοῖσιν ἐναίσιμος, ἔν τε βόθροισι
βάλλειν ἔρνεα πάντα, τά τε δρυὸς ἄκρα λέγονται,
οἴνας δ' ἐξαλέασθαι, ἐπεὶ στυγέει περίαλλα
Ἰκαρίου κούρη ληνοὺς καὶ ἀδευκέας οἴνας,
μνωομένη, ὅσα λυγρὰ Διωνύσοιο ἕκητι
Ἀκταῖοι μήσαντο, μέθηι δεδμημένοι αἰνῆι,
Ἰκάριον, καί μιν στυφελαῖς κορύνηισι δάϊξαν,
σφαλλόμενοι δώροισι, χοροιμανέος[1] *Βάκχοιο.*

1 *χοροιμανέος* Lob.; *χοροιμανέοιο* codd. Cetera v. infra.

Lob. I 415; Heeg 19. 47; J. Kroll *Lehren d. Herm. Trismeg.* 128.

Vs. 3 vindicat *Δωδεκαετηρίσιν* Tzetz. ad Lycophr. vs. 83 p. 46, 26 Scheer. Eosdem versus habet Maxim. 488—496; pro Orphei *ληνοὺς* vs. 5 legitur ap. Maxim. 492 *ἑλίνους* (*ελινους* L, *ἑλινοῦσ* corr. man. rec., *ἑλινοῦς* ed. Fabricii, *ἑλίνους* Koechly, *ἑλίνους* J. G. Schneider), vs. 9 ap. Maxim. vs. 495 *κορύναις*. Tzetz. ad Op. et Dies 568 (Gaisf. II 335, 17) *Ὀ. δὲ μαθηματικῶς πάντα παρακελεύεται δρᾶν· οἷον Σελήνης τρεχούσης περὶ Παρθένον πάντα φυτεύειν πλὴν μόνον ἀμπέλων· μισεῖ γὰρ ἡ Παρθένος τὴν ἄμπελον διὰ τὸν πατέρα Ἰκάριον.* Cf. *ΒΑΚΧΙΚΑ* fr. 244.

283. (13) Tzetz. ad Hesiodi Op. et Dies 778 (Gaisf. II 429, 10 ss.) *Ὀ. δὲ ἐκεῖνος ὁ Θράικιος*[1] *ἐν τῆι περὶ Γεωργίας οὐ τὴν ἁπλῶς ἡμέραν τῆς Σελήνης τὴν τοιάνδε λέγει λυσιτελῆ*[2] *ἢ καὶ ἀνόνητον,*[3] *ἀλλ' ὅταν τοιῶσδε σχηματισθῆι καὶ συντρέχηι ζωιδίοις τε καὶ τοῖς ἀστράσιν.*[4]

1 *ὁ θρακήσιος* EGH; *θρακίσιος* ed. Bas. 2 *λυσιτελεῖν* Heins. 3 *ἀνήνυτον* F. 4 *ἄστροις* EH.

Lob. I 418; Heeg 48.
Cf. Maxim. 530—547.

IV. ⟨Περὶ δραπετῶν⟩

Carmen Orphicum *Περὶ δραπετῶν* extitisse non sine veritatis specie coniecit Heeg 56. Quod imitatus est Maximus in carmine *Περὶ καταρχῶν* v. p. 280 fr. 280, cuius pars VIII *Περὶ δραπετῶν* vs. 320 incipit verbis *εἰ δ' ἄρα καὶ δμώων ὀλοφώια ἔργα πίθοιο οἵ τε γ'* (*γ'* add. Ludwich) *ἑοὺς λείποντες ἐνὶ μεγάροισιν ἄνακτας γαῖαν ἐς ὀθνείην ποσὶ καρπαλίμοις ἀλάληνται δρῆσται ἀταρτηροὶ . . . ἀλλὰ σὺ καὶ τοίων μερόπων ἐπιφράζεο μοῖραν. ἢν μὲν ἔῃ πανδῖα μετ' εὐπόκου Ἀρνειοῖο, ὦκά μιν εἰσανάγοιο κτλ.*

284. (18) Tzetz. Chiliad. II 42 vs. 609 p. 64 K. (Exeges. in Iliad. 26, 24 Herm.) *τῆς ἱστορίας μέμνηται ταύτης Ὀ. που λέγων·*

οὐδ' ἦν[1] *Ἰφίκλοιο θοώτερος † αὐδάζοιο,*[2]
ὅς τε καὶ ἀνθερίκεσσιν ἐπέτρεχεν, οὐδέ τι[3] *καρπὸν*
σίνετ' ἀήσυρα[4] *γυῖα φέρων ἐπὶ λήιον αὖον.*[5]

1 *οὐδ' ἦν* Tzetz.; *οὐδ' ἦν* Maxim. L; *οὐδ' εἴ κ'* Ludw. 2 *αὐγάζοιο* Maxim. L; *αἴζηοῖο* Kiessling *nisi versus initium est depravatum*; *αἶψα γένηται* Mullach. 3 *οὐδέ τι* Tzetzae Chiliad. B et Maxim.; *οὐδ' ἔτι* Kiessl. 4 *adiectivo ἀήσυρα superscriptum ἐλαφρὰ* (v. etiam in Iliad. 26, 26) *in cod. B* Kiessling; *κοῦφα, ἐκ τοῦ ἀείρω* Maxim. L in marg.; cf. Hes., Etym. M., Phot. Berol., Suid. s. *ἀήσυρον.* 5 *ἄκρον* Wakefield Ludw. Homerum secuti (v. infra).

Herm. 512 n. 33; Lob. I 422; Heeg 56.

Iphiclus iam e Hesiodi Catalogis notus fr. 117 Rz.[3] ed. 1913

ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέεν οὐδὲ κατέκλα,
ἀλλ' ἐπὶ πυραμίνους ἀθέρας φοίτασκε πόδεσσι
καὶ οὐ (*κοὐ* O. Roßbach) *σινέσκετο καρπόν,*

qui Iliadis *Υ* 227 *ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέον οὐδὲ κατέκλων* imitantur. In Orph. Argon. commemoratur vs. 139. 160. Exscripsit Orphea Maxim. 422—424. Hesiodo usus esse videtur Nonnus XXVIII 284 de Ocythoo *εἰς δρόμον Ἰφίκλωι πανομοίιος, ὅστις ἐπείγων ταρσὰ ποδῶν ἀβάτοιο κατέγραφεν ἄκρα γαλήνης, καὶ σταχύων ἐφύπερθε μετάρσιον εἶχε πορείην, ἀνθερίκων στρατὸν ἄκρον ἀκαμπέα ποσσὶν ὁδεύων.* Ad Hesiodi vs. 1 spectat etiam Lucianus Pro imaginibus 20 p. 500.

V. *Περὶ σεισμῶν*

Carmen, quod in plerisque codicibus *Ἑρμοῦ τοῦ τρισμεγίστου περὶ σεισμῶν, ἐν ἄλλωι Ὀρφέως* inscribitur, in nonnullis aut *Ὀρφέως* aut *Ἑρμοῦ τοῦ τρισμεγίστου,* primum editum est ab Aldo in Florilegio diversorum epigrammatum in septem libris a. 1503. Codices, qui carmen servaverunt, in Catalogo codicum astrolog. Graec. diligenter descripti sunt, quos omnes hic enumerare incommodum esse videtur, cf. Heegium Diss. 57. Recentiorum edd. potiores hae sunt: in Analectis veterum poetarum Graecorum ed. Rich. Phil. Brunck III 1776, 1 cf. 237; Anthologia Graeca ed. F. Jacobs III 1794, 222 cum Animadversionibus XI 1802, 5; E. Abelii Orphica 1885 p. 141; B. Pitra Analecta sacra et classica spicilegio Solesmensi parata V 1888, 275; Epigrammatum anthologia Palatina ed. Ed. Cougny Parisiis 1890, 400 n. 47 cf. 431.

285. (2)

φράζεο δὴ καὶ τόνδε λόγον, τέκος, ὁππότε κεν δὴ
γαῖαν κινήσηι Σεισίχθων κυανοχαίτης,
ὅττι βροτοῖς ἐπί τ' εὐτυχίην κακότητά τε φράζει.

ὁππόταν εἰαρινὴν ἐπ' ἰσημερίην ἀφίκηται
ἠέλιος Κριόν τε διεκτρέχηι, ἐν δ' ἄρα τῶιδε
γαῖαν νυκτερινὸς Γαιήοχος ἀμφελελίξηι,
σῆμα τόδ' ἐστὶ πόληος ἀπόστασις οὐκ ἀλαπαδνῆς·
εἰ δέ κεν ἡμερινός, φράζει τόδε λυγρὰ καὶ ἄτας
πήματος ὁρμήσαντος ἐπ' ἀλλοδαποὺς ἀνθρώπους
ἔσσεσθαι, σφετέραις ἐπὶ πημοσύναις ἰδὲ λύπαις.

εἰ δ' ἀνὰ Ταῦρον ἰόντος ἐφορμήσει διὰ νύκτα
σεισμός, πήματα μέν τε καταφθινύθουσιν ὀπίσσω,
εὐφροσύνη δ' ἀνὰ ἄστυ καὶ εἰρήνη τεθαλυῖα·
ἡμερινὸς δὲ φέρει πολέμου μεγάλοιο πόληι
ἔργον ἐπερχομένου τοῖς κρείττοσιν· ἀλλὰ φυλάσσου.

εἰ δέ κεν, ἐν Διδύμοις στρωφωμένου ἠελίοιο,
νυκτερινὴ μῆνις ἐλελίζηται κατὰ γαῖαν,
⟨σημαίνει ὅτι?⟩ δυσμενέες βροτοὶ ἐγχεσίχειρες
ὑμετέρην πελάσουσιν ἐπ' ἄλγεσι γαῖαν ἅπασαν·

εἰ δέ κεν ἡμερινή, τότε κεν βασιλῆες ἄτιμοι
ἔσσονθ' ἡγεμόνες τε θεῶν διομηνίηι ἐχθρῶν.

εἰ δ', ἀνὰ τὴν μοίρην τοῦ Καρκίνου ἠελίοιο
στείχοντος, ὅθι δὴ θερινὴ τροπή, ἔννυχος ἔσται
γῆς ἔνοσις, τοῦτο φράζει κακότητα βαρεῖαν
ἀργαλέην πενίην ἀλλαξέμεν· ἡμερινὸς δὲ
φράζει πῆμ' αὐτοῖς καὶ ἀνάστασιν ὠλεσίοικον.

εἰ δέ κεν, ἠελίοιο Λέοντος μοῖραν ἰόντος,
νύκτερος ὁρμηθῆι γαίης σάλος, αὐτίκα πένθη
κλαυθμοί τε στυναχαί τε πόλιν καὶ λαὸν ἅπαντα
ἕξουσ'· ἡμερινὸς δὲ φανεὶς καὶ ταῦτα πιφαύσκει.

εἰ δέ κεν, ἠελίου σὺν Παρθένωι ἐρχομένοιο,
ἑσπερινὸς σεισμός, λαοῖς τότε λοιμὸς ἅπασιν
ἔσσεται· ἡμερινὸς δὲ φανεὶς καρποὺς καταβλάψει.

εἰ δ' ἂν ἐπὶ φθινόπωρον ἰσημερίνην ἀφίκηται
ἠέλιος, χηλαῖς διαφαίνων, νυκτερινὸς δὲ
κινήσηι, καρπῶν δηλοῖ φθόρον ἐξαναφύντων
γαίης· ὥραις δ' ἡμεριναῖς, χαλεπῆς τόδε φράζει
ἔργα μάχης· πολλοὺς δ' αὐτῶν κατὰ γαῖα καλύψει.

εἰ δέ κεν, ἠελίου τὸν Σκορπίον ἀμφιθέοντος,
νύκτερος ὁρμηθῆι γαίης σάλος, ἔργα μάταια
ἀνδράσιν ἔσσονται κακοφραδμοσύνηισι νόοιο·
ἡμερινὸς δὲ φανεὶς τότε δὴ τότε ἄλγεα φράζει
ἔσσεσθαι πολέεσσιν ἀπὸ πτολέμου κρυεροῖο,
ἔργα ματαιότατα Ζηνὸς μεγάλου διὰ βουλάς.

εἰ δέ κεν ἐν μοίρηι τοῦ Τοξότου ἠελίοιο
στρωφῶντος γαῖαν κινήσηι Κυανοχαίτης
νυκτερινός, σημεῖον ὀλέθριον ἔσσεται ἀνδρῶν
πολλῶν· ἡμερινὸς δὲ φανεὶς πόλεων βασιλῆι
σημαίνει μεγάλην τιμὴν καὶ σκῆπτρα λιπόντι
ἄλληι ἐποίχεσθαι φεύγοντ' ἀπὸ πατρίδος αἴης.

εἰ δὲ κ' ἐν Αἰγοκέρωτι, ὅθι τροπαὶ ἠελίοιο
χειμεριναί, στείχοντος, ἕδος χθονὸς ἔννυχος ἐλθὼν

Σεισίχθων γαῖαν κινήσηι πνεύματι λάβρωι,
φράζεο δὴ πόλεμον καὶ δάκρυα τοῖσι γενέσθαι
καὶ στάσιν· ἡμερινὸς δὲ φανεὶς καρποφθόρος ἔσται.

εἰ δέ κ' ἐν Ὑδροχόωι διανίσσεται ἠελίοιο
φέγγος, νυκτερινὴ δ' ἐλελιχθῆι γαῖα περιχθών,
ἁρπαγαὶ ὠλεσίοικοι ἀνὰ πτόλιν εὐρυάγυιαν
ἔσσονται δήμου τε κακοφροσύναι τε καὶ ὕβρεις·
εἰ δέ κεν ἡμερινή, δήμου κράτος ἔμπεδον ἔσται.

εἰ δ' ἀνὰ τοὺς Ἰχθῦς στρωφωμένου ἠελίοιο,
γῆς ἔνοσις γίνοιτο θοὴν διὰ νύκτα, τότ' ἔσται
πάσαις ἐν πολίεσσι περίστασις· εἰ δέ κεν ἠοῖ
γῆς κινηθείη πέδον ἱερόν, αὐτίκα πάσαις
εὐφόρβοισι βοῶν ἀγέλαις, οἰῶν τε καὶ ἄλλων
τετραπόδων φθόρος ἔσται ἀν' ἄστεα καὶ κατὰ χώρας.

Textum constitui horum codicum ope adiutus: sunt Vaticanus gr. 1379 fr. 32 saec. XV ex bibliotheca Fulvii Ursini (Catalog. astrol. V 3 1910, 71 n. 24) e collatione J. Heegii, quam misit Bollius = U; Palatinus 102 = P (Pitra p. 275 n. 1); Vossianus D 18, quem exscripsit ignota manus, cuius collationem in Hymnorum apparatu a Dieterichio congesto inveni = V; Laurentianus XXXI, 37 f. 367v saec. XIV, cuius lectiones e Jacobsii editione cognovi = M(ediceus), quas non omnes notavi, quia multa corrupta et interpolata sunt. Nova carminis recensio, quam Heeg Diss. 57 n. 2 pollicitus erat, valde desideratur; collationes, de quibus l. l. dicit, praeter illam a me supra indicatam teste Bollio in Heegii scriniis non inventae sunt. Vs. 1 *φίλον* ante *τέκος* add. M. 2 *σεισίχθων Κυανοχ.* Ab. *κινήσει* M. 3 *ὅττι* Br(unck); *ὅττε* codd.; *τόφρα* Ab. *ἐπί τ' ἀτυχίῃ κακότητα φράζει* M. *τε* om U. *φράξει* V. 4 *ὁππόταν* UV; *ὁππότ' ἂν* M Ab. *ἰσημερινήν* M. In marg. *ἥλιος ἐν κριῷ. μὴν Ἀπρίλλιος* add. M. 5 *τε* Jacobs; *δὲ* codd. *διεκτρέχει* codd. *ἐν δ' ἄρα τῶιδε* vulgo; *ἐνθ' ἄρα τῷ γε* M; *ἐν δ' ἄρα τῷγε* Ab. 6 *νυκτερίη Γ. ἀμφισελίζῃ* M. 7 *πόλιος* MU; *χόλκος* V. *ἀλαπαδνῆς* Br.; *ἀλαπαδνή* codd. praeter P, qui habet *ἀποστάσεις οὐκ ἀλαπαδνῆι.* 8 init. *Ἀδέκεν* V. *φράξει* idem. 10 *ἔσεσθαι* codd. *πημοσύναις τε ὕβρεις* M. 11 *ἰόντες* V. *ἐφορμήσῃ* M. In marg. *Ἥλιος ἐν Ταύρῳ. μηνὶ Μαΐῳ* M. 12 *σεισμοί* V. 13 *ἀφροσύνη* V. *ἄστη* M Ald. 14. 15 *ἔσσεται· ἡμερινὸς δὲ φ. π. μέγα ἔργον. ἐρχομένου, τοῖς ἠρέσοσιν ἀλλὰ φυλάσσου* M, unde Jacobsius elicuit Abelio consentiente (*εἰρήνη τεθαλυῖα*) *ἔσσεται· ἡμερινὸς δὲ φέρει πολέμου μεγάλοιο ἔργον ἐπερχομένου τοῖς κρείσσοσιν· ἀλλὰ φυλάσσου.* *μεγάλοι* U. *χρείττοσιν* U; *κρείττοσιν* V. 16 In marg. *Ἥλιος ἐν Διδύμοις. μηνὶ Ἰουνίωι* add. M. 17 *μῆνι σέ λελίζηται* V. 18 In cod. M omissus: in ceteris initio lacuna; *σημαίνει ὅτι* add. Huetius, quem Br. Jacobsius Abelius alii secuti sunt; *δυσμενέες* ⟨*πίσυνοι μένεϊ*⟩ *βροτοὶ ἐγχεσίχειρες* Ludw. 19 *ὑμετέρην* Br.; *ἡμετέρην* codd. (et Tannery) praeter M, qui habet *ἡμέρην παλὰ σωσὴν ὑπαλγέα.* *ἐπ'*

ἄλγεσι Br.; ὑπ' ἄλγεα codd. 20 ἡμερινός M. τότε κω V. 21 διομηνίη V; διομενίη U; διὰ μήνιας M; διὰ μήνιος Ab. 22 In marg. Ἥλιος ἐν Καρκίνῳ. μηνὶ Ἰουλίῳ add. M. μοίρην codd. praeter M (ἠοῖ ρην τε κ.); μοῖραν Ab. τοῦ codd. praeter τοδ V. 23 ὅθι Br. (cf. vs. 51): τότε codd.; τόθι Ab. θερινὴ τροπὴ codd. praeter M, qui habet θεριναὶ τροπαί, quod Br. Jac. Ab. receperunt (cf. vs. 51. 52 τρ. ἠελίοιο χειμεριναί). 24 ἡ κίνησις τοῦτο φέρει M. 25 ἀλλεξέμεν P. ἀργαλέης πενίης? Ab. 26 ἀνάστασιν Br.; ᾿πόστασιν codd. 27 μοῖρ' ἰόντος M; μοῖραν ἀνιόντος P. In marg. Ἥλιος ἐν λέοντι. μηνὶ Αὐγούστῳ add. M. 30 ἕξουσιν M. ταῦτα vulgo: ταὐτὰ Cougny. πιφάσπει V; πιφάσκει U. 31 ἠελίοιο M. In marg. Ἥλιος ἐν Παρθένῳ. μηνὶ Σεπτεμβρίῳ add. M. 32 λοιμὸς Br.; λιμὸς codd. praeter M, qui servavit λοιμός. 33 καρπὸν M. κατακλάψει U. 34 ἐπὶ φθινόπωρον ἰσημερινὴν ἀφίκηται codd.; ἐ. φ. ἰσημερίην τ' ἀφ. Br.; ἐ. φθινοπωρίδ' ἰσημερίην ἀφ. Ab.; ὀπωρινὴν ἐ. ἰσημερίην ἀφ. Cougny; ἐ. φθινοπώρου ἰσ. ἀφ. Ludw. Cf. Tannery l. l. 57. In marg. Ἥλιος ἐν Ζυγῷ. μηνὶ Ὀκτωβρίῳ add. M. 35 χηλὰς M. 36 φθ. ἐξ ὧν ἀφύντων U; φθορὰν ἐξαναφάντων M. 37 ὥραις δ' ἡμεριναῖς codd.; ἡμεριναῖς δ' ὥραις Ludw. χαλεπὸν τόδε φράζον M. 38 ἔργα μάχην V. πολλὴν δ' αὐτὸν κατὰ γαῖαν κλύψει M. Ad vs. 39 cf. contraria in paraphrasi Cat. astrol. VII 170, 4 ss.; Boll *Aus der Offenbar. Joh.* *Στοιχεῖα* I 88. In marg. Ἥλιος ἐν Σκορπίῳ. μηνὶ Νοεμβρίῳ add. M. 41 ἔσονται P. 42 τότε δὴ τότε non mutandum; cf. Jacobs. p. 8; τότε δὴ τόδ' ἐπ' ἄλγεα φράζει collatis vers. 7. 8. 37 Ludw. 43 ἔσεσθαι VP. 44 om. M, cui adstipulatur Jacobs. ματαιότητα UV. 45 In marg. Ἥλιος ἐν Τοξότηι. Δεκέμβριος M. τοῦ τόξου idem. 46 κινήσει M. 47 ἔσσεται Br.; ἔμμεναι codd. 49 λιπόντι Hiller de Gaertringen cf. paraphrasin l. l. 170, 13; λιπόντα codd. 50 ἄλλῃ ἐ. Br.; ἄλλην ἐ. codd.; ἄλλην οἴχεσθαι Ab. 51 τόθι Ab. εἰ δέ κεν αἰγ. codd.; corr. Jacobs; εἰ δ' ἂν ἐν Br. In marg. Ἥλιος ἐν αἰγοκέρωτι. μηνὶ Ἰανουαρίῳ add. M. 52 χειμερίνου . . . εὔνυχος ἔλθῃ M. 53 γαίῃ M. 54 πόλεμον δακρυτόν τε γ. M, unde Jac. suspicatur fuisse π. πολυδακρυτόν τε γ. 56 εἰ δέ κεν Ὑδροχόῳ διανείσσεται UV; ὑδροχόωι δ' εὖτ' ἂν διανείσσεται M; Ὑδροχόον δ' εὖτ' ἂν διανίσσητ' inde Ab.; εἰ δ' ἄν, ὅθ' ὑδροχόον διανίσσεται Br. Cougny; εἰ δέ κ' ἐν Ὑδροχόωι δινεύσῃ ἠελίοιο Jac. In marg. Ἥλιος ἐν Ὑδροχίῳ. μηνὶ Φεβρουαρίῳ add. M. 57 φεύγος U; νυκτερινὴ δὲ UV; νυκτερινῇ δὲ M; νυκτερίη δὲ nonnulli codd. sec. Ab. γαῖα περιχθών codd.; πᾶσα περὶ χθὼν Ab. 59 δῆμον τι U; δῆμον τε V. κακοφροσύνα V. · 61 In marg. Ἥλιος ἐν ἰχθύσι. μηνὶ Μαρτίῳ add. M; τῶν ἰχθύων idem. 62 γίνοιτο UV; προγένοιτο M Jac. Ab. θοὴ διὰ νύκτα omissis verbis τότ' ἔσται M. 63 πολέσσι U; πολέεσι V. περίστασις UV quod commendat Jac. afferens Hesych. περίστασις· θλῖψις, ἀνάγκη, μέριμνα. διάστασις M. ἠοῖ Jac.; ἠῶ vel ἠώ vel ἦω codd.; εἰ δέ κ' ἀν' ἠῶ (cf. vs. 11. 22. 61) vel εἰ δέ κ' ἐν ἠοῖ (cf. vs. 16. 45. 51) Ludw. 64 γῆς κινηθείη UV; γαίης κινηθῇ M quod commendant Jac. et Ab. 65 οἰῶν τε UV; ὀίων M. 66 φθορά M.

Cf. *Ἑρμοῦ τοῦ Τρισμεγίστου περὶ σεισμοῦ* tractatum in cod. 25 (Berolin. Phill. 1574) f. 15ᵛ (Catalog. cod. astrol. graecor. VII 167), ad quem Boll nonnullis a me praetermissis haec adnotat: *Hoc*

capitulum cum carmine Hermetico sive Orphico de terrae motibus saepius impresso artissime cohaerere eiusque partim paraphrasin esse elucet; quae tamen adeo passim uberior est ut nesciam utrum ex alio fonte suppleta an ad pleniorem carminis formam facta sit. Vestigia sermonis biblici occurrere memoratu dignum. Fere idem capitulum sed Septembri initium faciente inveni in cod. 28 (= Berolin. gr. qu. 16), f. 277ᵛ sub nomine Leonis Sapientis. Hunc codicem saec. XVII non contuli. Iterum invenitur eadem paraphrasis in cod. 26 (Berolin. Phill. 1577) f. 147; inscribitur Σεισμολόγιον Ὀρφέως; incipit a mense Septembri. Varias lectiones non nisi graviores exscripsi. Locum in paraphrasi a carmine dissentientem supra ad vs. 39 notavi. Cf. etiam cod. Bonon. gr. 3632 f. 277ʳ (Catalog. IV 41) *Σεισμολόγιον τοῦ Ὀρφέως* (*Μὴν Σεπτέμβριος· τοῦ Ἄρεως* (!) *ὄντος ἐν Παρθένωι — κακὰ ἔσται ἐν τῆι πόλει ἐκείνηι*) et quae Heeg Diss. 57 congessit.

Fabricius Bibl. Graec. I 159 (ed. Harlesianae); Lob. I 382; Ludwich *Krit. Beitr. zu den poetischen Erzeugnissen griech. Magie u. Theosophie. Verzeichn. der Vorlesungen Koenigsberg* 1899, 11 n. III; Tannery *Rev. philol.* XXIV 1900, 54; Heeg Diss. 8. 10 11. 57.

Quamvis Orphicorum foetum hoc carmen esse haud affirmaverim, tamen *hoc tenue poemation* (Lob.) aetate demum Byzantina conditum esse, ut Tannery voluit, negaverim. Ea, quae Tannery exposuit, iam paraphrasibus inventis refutari Heeg 58 recte monuit. Aetas hodie accuratius definiri nequit.

VI. *Περὶ ἐπεμβάσεων*

Hoc carmen, quod Heeg Diss. 60 aetati Alexandrinae vel imperatoriae ascribit, testatur paraphrasis fr. 286 exscripta. Versus heroicos, qui in paraphrasi inveniuntur, falso Dorothei carmini *Περὶ ἐπεμβάσεων* attribuit Kroll Catalog. astrolog. VI 91 n. IV. Cf. eundem retractantem *Philol.* LVII 1898, 132, qui locum Firmici p. 268 allatum ad hoc carmen Orphicum spectare arbitratur.

286. Codd. Ven. Marc. 334 (6) f. 168 s. *μζʹ. μηʹ* (A, ab Krollio descriptus) et Ven. Marc. 335 (7) f. 137 *ρϛβʹ* (B, ab Olivierio descriptus) = Catalog. codic. astrol. II 1900, 198, 24 (cf. ibidem p. 35). *καὶ ταῦτα μὲν ὁ Δωρόθεος· λέγει δὲ καὶ Ὀ. περὶ ἐπεμβάσεων ταῦτα· ὁ Κρόνος ἐπεμβὰς Διὶ σφάλματα βίον ποιεῖ καὶ*

κτημάτων ἐστὶ φθορεὺς καὶ γάμον σκεδάζει γυναικὸς καὶ εἰς πᾶν ἔργον βλάπτεται·[1] *ὁ Κρόνος εἰς Ἄρην αἴτιος συνοχῶν δεσμῶν νόσων, λυπεῖ*[2] *δὲ ἕνεκεν τέκνων, ὄλεθρον σημαίνει κτημάτων, τινὰς φυγοπάτριδας ποιεῖ ἢ θητεύοντας καὶ πενητεύοντας. ὁ Κρόνος εἰς Ἥλιον*[3] *μετὰ κόπου τὰς πράξεις τελεῖ· φευκτέον δὲ τὸν πλοῦν καὶ τὰς ὁδοιπορίας διὰ φόβον λῃστῶν. ὁ Κρόνος εἰς Ἀφροδίτην ἐχθραίνει τοὺς συγγενεῖς καὶ τοὺς*[4] *φίλους, ἀπάτας καὶ ταραχὰς καὶ ζημίας ἐπάγει, ὁ δὲ ἔχων γυναῖκα αἰσχυνθήσεται διὰ τὴν αὐτῆς μαχλοσύνην. ὁ Κρόνος εἰς Ἑρμῆν φιλονεικίας καὶ κρίσεις σημαίνει καὶ ζημίας καὶ ταραχὰς καὶ θανάτους*[5] *ἀδίκους*[6] *συγγενῶν· φευκτέον δὲ τάς τε ἀγορὰς καὶ τὸ ἀνακοινοῦσθαι ἑτέροις τὰς πράξεις·*[7] *δολοπλοκίας*[8] *γὰρ ποιεῖ καὶ ἀπάτας. ὁ Κρόνος εἰς Σελήνην ἐπαναστάσεις τόπων ποιεῖ ἢ χρονίας νόσους ἢ κτημάτων ὄλεθρον καὶ ζημίαν. ὁ Κρόνος εἰς ἑαυτὸν μεταναστάσεις, ἐπὶ ξένων τόπων* | [199] *τε πλάνας*[9] *σημαίνει, ταραχάς τε καὶ εἱρκτὴν καὶ δεσμά, γονέων θανάτους, οἴκου καὶ χρημάτων ἀφανισμόν. ὁ Κρόνος εἰς τὸν ὡροσκόπον εἰς ἄλλην χώραν μεθιστᾷ, ποιεῖ δὲ καὶ ἀπάτας, ζημίας, κινδύνους. ὁ Κρόνος εἰς τὸ μεσουράνημα εἰς ξένην γῆν ἀπάγει καὶ δόξαν δίδωσιν*[10] *ἀλλ' ἕνεκα χρέους λυπεῖ. ὁ Κρόνος εἰς τὸ δῦνον καὶ τὸ ὑπόγειον ἢ τῶν οἰκείων οἴκων καὶ κτημάτων ἀπελαύνει ἢ εἰς ἀλλοδαπὴν*[11] *ἀπάγει ἢ δορυαλώτους ποιεῖ ἢ τοὺς δούλους θανατοῖ.*[12]

Ὁ Ζεὺς εἰς Κρόνον ἀνώμαλον τὴν πρᾶξιν τοῦ βίου, ποτὲ μὲν ἀγρῶν καὶ[13] *θεμελίων κτῆσιν διδοὺς καὶ οἴκων ἢ ἀλλότριον βίον διέπειν, ποτὲ δὲ τῶν προτέρων ἔργων καὶ πράξεων ἀποσφαλλομένους ποιῶν,*[14] *ἄλλοις δαπάνας καὶ ζημίας* ⟨*καὶ*⟩[15] *μακρονοσίας ἐπάγων. ὁ Ζεὺς εἰς ἑαυτὸν ὅσας θλίψεις εὕροι*[16] *τούτων λυτροῖ καὶ κέρδη παρέχει, φήμας τε κενὰς καὶ θρύλλους*[17] *ἐπάγει, εἰ μὴ τύχηι ἐν ἰδίωι*[18] *οἴκωι κατὰ πῆξιν. ὁ Ζεὺς εἰς Ἥλιον*[19] *ἀργίαν ταῖς πράξεσι δίδωσι καὶ φθείρει τοὺς οἴκους ἢ νόσων ἢ κτημάτων ἀπώλειαν καὶ μάταιον τέλος τῶν πόνων καὶ ἐναντίον τελεῖ.*[20] *ὁ Ζεὺς εἰς Ἄρην ἀγαθός· εἰ γὰρ εὕροι ἐν κακότητι καὶ συνοχῆι καὶ θλίψει, πάντων ἀπολύει, εἰ δὲ ἐν χαρᾶι*[21] *εὕρηι διάγοντα, μείζονα τὴν εὐφροσύνην δίδωσιν, καὶ μειζόνων προσώπων φίλους ποιεῖ καὶ κτήσεις παρέχει καὶ τοὺς ἐχθροὺς λυπεῖ καὶ κέρδη καὶ δόξαν δίδωσι. ὁ Ζεὺς εἰς Ἀφροδίτην πλοῦτον σημαίνει ἀπροσδόκητον καὶ τῶν ἐχθρῶν ὑπέρτερον δείκνυσι καὶ τοῖς μὲν ἀγάμοις γάμον, τοῖς δὲ γεγαμηκόσι τέκνα παρέχει καὶ ταῖς πράξεσι τέλος ἐπιτίθησιν. ὁ Ζεὺς*

εἰς Ἑρμῆν φίλους μεγάλων ἀνδρῶν ποιεῖ, ὧν καὶ τὴν παρουσίαν[22] οἰκονομεῖν πιστεύονται, καὶ αὔξάνουσι τὸν ἴδιον οἶκον· καὶ δῶρα ἐκ φίλων παρέχει· καὶ οὗτοι[23] μὲν εὐφραίνονται, λυποῦσι δὲ τοὺς ἐχθρούς, εἰ δὲ δίκην ἔχουσι, νικῶσι· δεῖ μέντοι τὸν τοῦ[24] Ἑρμοῦ ἀγαθύνεσθαι. ὁ Ζεὺς εἰς Σελήνην τοῖς μὲν γεγαμηκόσι τεκνογονίαν, τοῖς δὲ δικαζομένοις εὐτυχίαν καὶ κέρδος· πλὴν ὀλίγον πρότερον βλάψας ὕστερον νίκην καὶ εὐπραγίαν παρέχει· ἐνίοτε δὲ καί τινας χρυσείαις κοσμεῖ σειραῖς. ὁ Ζεὺς εἰς τὸν ὡροσκόπον καὶ τὸ δῦνον κοινός[25] ἐστιν εἴς τε ἀγαθὰ καὶ κακά, ποτὲ μὲν κρίσεις ἐπιφέρων καὶ μάχας καὶ ζημίας[26] καὶ ἔχθρας, ποτὲ δὲ τούτων λυτροῖ καὶ κέρδη καὶ κτῆσιν[27] δίδωσιν, ἄλλοτε φιλίαν ἄλλοτε χηρείαν σημαίνει καὶ αἰσχρὰν[28] φήμην γάμων καὶ ταραχὴν διὰ ταῦτα, πολλάκις δὲ καὶ συγγενικὸν φόνον ποιεῖται καὶ κληρονομίαν ἐκ τούτων παρέχει, καὶ τὸν πλανήτην[29] ἐπανάγει εἰς τὴν[30] πατρίδα· εἰς δὲ τὸ μεσουράνημα καὶ τὸ ὑπόγειον θανάτους γονέων καὶ νόσους καὶ κόπους καὶ θλίψεις· ἄλλοις γάμον παρέχει· | [200] ἑτέρους τῆς πατρίδος μετανιστᾶι· τὸ δὲ τέλος τῶν πράξεων ἔσται ἐπίμοχθον.

ὁ Ἄρης εἰς Κρόνον, ὅσα ὁ Κρόνος εἴωθε βλάπτειν, σώιζει οὗτος ταῦτα· πάσας γὰρ νόσους καὶ λύπας καταπαύει καὶ πλοῦτον καὶ νίκην καὶ εὐφροσύνην διδοῖ· ὁ Ἄρης εἰς Δία[31] ὀλέθριος καὶ ἀπηνής, χρημάτων δαπάναι εἰς μάτην ἔσονται· καὶ ἐν δίκαις βλάπτει καὶ ἐχθροὺς ἀνιστᾶι. ταῖς δ' ἐγκύοις[32] τὰ ἔμβρυα φθείρεται ἢ τεχθέντα τάχιστον[33] τελευτᾶι· βλάβας καὶ ὕβρεις σημαίνει καὶ τόπων μεταναστάσεις ποιεῖται· τάς τε πράξεις ἀχρειοῖ καὶ χάριν τέκνων ἢ γυναικὸς λυπεῖ καὶ ἔχθρας ἀφ' ἡγεμόνων διδοῖ καὶ ἐκ τοῦ δήμου χόλον.[34] ὁ Ἄρης εἰς ἑαυτόν, ἐκ τόπου μετανιστᾶι ἢ νόσους ποιεῖ ἢ σιδήρωι[35] αἱμάσσει ἢ πυρὶ φλογίζει, εἰς μέντοι τὸν βίον πρῆξιν[36] καὶ κῦδος ὀπάζει. ὁ Ἄρης εἰς Ἥλιον ἐλαττοῖ τὰ κτήματα κἂν ταῖς πράξεσι κακός, λύπας ποιεῖ καὶ βλάπτει τὸν νοῦν, τινὰς χάριν κρυφίων ἔργων λυπεῖ· εἰ δὲ καὶ στηρίζηι, χαλεπωτέρους θορύβους τε καὶ[37] μάχας διὰ πράγματα κινεῖ καὶ ἀρχαίων ἕνεκεν πατρώιον ἔχθος διδοῖ, προδοσίας τε ἐκ τῶν φίλων καὶ ἔχθρας[38] ἐπάγει. ὁ Ἄρης εἰς Ἀφροδίτην· μάχην ἐκ γυναικὸς καὶ χόλον ὑπόπτευε· ποιεῖ γὰρ χωρισμὸν ἐπιπολὺ καὶ ὑποψίας μοιχικάς· ἐνίοτε καὶ τὰ τῶν ἀνδρῶν πάντα συλῶσιν. ὁ Ἄρης εἰς Ἑρμῆν ζημίας καὶ δίκας τὰς πλείους ψευδεῖς καὶ δολίους[39] καὶ ἀποκρύφων ἔργων αἰσχύνας καὶ ἀπάτας καὶ ἐπιορκίας, προ-

δόσεις, φυγάδας τε καὶ δεσμοὺς[40] *ποιεῖ. ὁ Ἄρης εἰς Σελήνην· εἰ μὲν θῆλυ τὸ ζώιδιόν ἐστι, περὶ νόσου μόνης φοβοῦ καὶ μάλιστα τῶν ὀφθαλμῶν, εἰ δ' ἄρσεν, τὴν πρᾶξιν τοῦ βίου ταράσσει, εἰ δὲ καὶ στηρίζηι, ἔτι μᾶλλον· τέκνων γὰρ ἀποστερεῖ*[41] *καὶ ἀδελφοὺς θανατοῖ, κινδύνους καὶ θορύβους ἐπάγει καὶ εἰς ἀλλοδαπὴν ἀπάγει ἢ τὴν οἰκίαν*[42] *μετήμειψε καὶ ἀπὸ ἄλλου ἔργου ἄλλο*[43] *ἔργον ἔδωκεν, εἰ μὴ τοῦ Κρόνου τὸ ζώιδιον τύχηι καὶ ταῦτα κωλύσηι· ἐν δὲ τοῖς κέντροις πᾶσι χαλεπός, ἀστασίας ἐπάγων καὶ ταραχὰς ἐν τοῖς οἴκοις καὶ τῶι βίωι*[44] *λύπας καὶ μάλιστα διὰ γάμον ἐν τῶι δύνοντι· καὶ γὰρ καὶ ὠμοτοκίας ποιεῖ· εἰς δὲ τὸ μεσουράνημα τὴν κοίτην τῶν συζύγων αἰσχύνουσιν ἢ καὶ νόσους ἐν τούτωι τῶι κέντρωι παρέχει.*

ὁ Ἥλιος εἰς Κρόνον ἀρχαίων μνήμας ἐπάγει καὶ τῶι βίωι τε πλοῦτον καὶ χαράν· ὁ Ἥλιος εἰς Δία μέγα κῦδος ὀπάζει καὶ φήμας καλὰς καὶ εὐφροσύνας καὶ ἐξ ἀφανῶν ἐμφανεῖς ποιεῖ.[45] *ὁ Ἥλιος εἰς Ἄρην νόσωι κατακλίνει ἢ τῆς πατρίδος μετανιστᾶι, χρήματα φθείρει*[46] *καὶ ἀκουσίους ζημίας ποιεῖ καὶ τοῖς φίλοις ἐχθρὸν καὶ ἐξ ἰδίων ταραχὸς ἐπεγείρει,*[47] *εἰ μὴ καὶ ὁ Ζεὺς κατ' ἐπέμβασιν ἐκεῖ γένηται. ὁ Ἥλιος εἰς ἑαυτὸν ἢ τὴν* | 201 *Σελήνην, νόσους καὶ ἀχρημοσύνας ποιεῖ καὶ ἐκ τῶν ἰδίων τόπων κινεῖ· πολλάκις δὲ καὶ ἐκ τῶν θλίψεων πλοῦτον φέρει. ὁ Ἥλιος εἰς Ἀφροδίτην ἀκαταστασίας αἴτιος, ταράσσει τὸν οἶκον χάριν γυναικῶν, εἰς δὲ τὰς δόσεις κέρδη παρέχει. ὁ Ἥλιος εἰς τὸν*[48] *Ἑρμῆν πλανᾶι τὸν νοῦν καὶ τὴν ψυχὴν λυπεῖ ἀπατῶν καὶ δαπάνας ματαίας ποιῶν· ὁ Ἥλιος εἰς τὰ κέντρα ἀπὸ τῶν οἴκων εἰς ἄλλους τόπους μετανιστᾶι καὶ νόσους ποιεῖ καὶ τὸ σῶμα χαλεπαίνει, ἐν δὲ μεσουρανήματι πρῆξιν καὶ κῦδος ὀπάζει.*

ἡ Ἀφροδίτη εἰς Κρόνον ἐπίκτησιν δηλοῖ καὶ δόξαν ἐν τῶι δήμωι καὶ ἐκ κρυφίων[49] *βοηθεῖ, ἀλλ' εἰς τὸν γάμον κακοεργός· ἀναστατοῖ γὰρ ἢ ἄλλως*

λέχος ἀντήλλαξε[50] *καὶ ἥττονι φωτὶ συνῆψεν.*

ἡ Ἀφροδίτη εἰς Δία,[51] *πέψεις, κινδύνους, νόσους, ἔχθρας, κρίσεις διὰ τοὺς οἰκείους*[52] *καὶ ἐν τοῖς οἴκοις καὶ τοῖς οἰκείοις φιλονεικίας· εἰ δὲ ἡ τούτου γυνὴ ἔγκυός*[53] *ἐστιν, ἐκτιτρώσκει. ἡ Ἀφροδίτη εἰς τὸν Ἄρην στάσεις καὶ δαπάνας ἐκ γυναικῶν καὶ τόπου μετανάστασιν καὶ ταραχὰς*[54] *εἰς τὸν βίον. ἡ Ἀφροδίτη εἰς Ἥλιον ἀκαταστασίαν*[55] *ποιεῖ καὶ τὸν νοῦν πλανᾶι καὶ τὰς πράξεις καὶ ῥαθυμίας ποιεῖ καὶ ψόγους καὶ στάσεις ἐν τοῖς*

οἰκείοις. ἡ Ἀφροδίτη εἰς ἑαυτήν· κοινή ἐστι καὶ ἐπίμοχθος, πῇ μὲν ἀγαθή, πῇ δὲ φαύλη.[56] *ἡ Ἀφροδίτη εἰς τὸν Ἑρμῆν κληρονομίας δηλοῖ*[57] *καὶ κτήματα αὔξάνει καὶ τέλος ἐν ταῖς πράξεσιν ἐπιτίθησιν· καὶ ἐν δίκαις νίκας παρέχει. ἡ Ἀφροδίτη εἰς τὴν*[58] *Σελήνην εὐφροσύνην δηλοῖ*[59] *καὶ ἐν πράξεσι τέρπει, κέρδος ἄμοχθον διδοῖ καὶ γάμωι συζεύγνυσι,*[60] *καὶ τεκνογονίαν ἐν θηλυκῶι ζωιδίωι οὖσα ποιεῖ. ἡ Ἀφροδίτη εἰς ὡροσκόπον καὶ μεσουράνημα ἱλαρὰ καὶ φαιδρὰ καὶ εὔπρακτος καὶ πλείονα τὴν κτῆσιν καὶ τὰ κέρδη ποιεῖ, εἰ δὲ καὶ στηρίζει,*[61] *ἔτι πλέον. ἡ Ἀφροδίτη εἰς τὸ ὑπόγειον κρυπτὰ πάθη καὶ λύπας ἐξ ἀλόχων, εἰ δὲ καὶ στηρίζει, καὶ μορίων ⟨καὶ⟩*[62] *ἕδρας πάθη ποιεῖ καὶ τῶν κοσμίων ἀπώλειαν καὶ δάκρυα ἐπιφέρει τοῖς οἴκοις.*

ὁ Ἑρμῆς εἰς τὸν Κρόνον αὔξει τὰς πράξεις καὶ τὴν κτῆσιν, τοὺς δὲ ἐχθροὺς βλάπτει. ὁ Ἑρμῆς εἰς Δία πάντηι ἀγαθός, ἐξ ἐμπορίας[63] *κέρδη διδοὺς καὶ φίλους ποιῶν ἐμφανῶν*[64] *καὶ δόξαν ἐν οἴκοις παρέχων καὶ κράτος. ὁ Ἑρμῆς εἰς Ἄρην ἐμπράκτους δηλοῖ καὶ τῶν φόβων ἀπολύει καὶ τέλος τοῖς πόνοις ἐπιτίθησιν. ὁ Ἑρμῆς εἰς Ἥλιον ἄστατος εἰς τέχνην καὶ πρᾶξιν, ἕως διέλθοι τὰς μοίρας*[65] *τοῦ Ἡλίου, μετὰ τοῦτο |* [202] *γὰρ εὔπρακτος.*[66] *ὁ Ἑρμῆς εἰς Ἀφροδίτην πλοῦτον καὶ ἀλλότρια χρήματα δωρεῖται καὶ κλῆρον ἐκ τεθνεώτων,*

ἐκ δ' ἀλόχων πηῶν[67] *τε φιλοφροσύνην κατὰ δῶμα,*

